ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΕΠΙΦΑΝΙΟΣ
ΣΑΛΑΜΙΝΟΣ
(ΜΕΡΟΣ Β')

77

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

**ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ**

Printed in Greece
Athens 1999

© *Ἀποστολικὴ Διακονία*
*Ἰασίου 1 – 115 21 Ἀθῆναι, τηλ. 72.28.008*
*Ἔκδοσις Α΄ 1999*

*Κ.Α. 99.02.077*

*ISBN 960-315-380-X*

*Set 960-315-290-0*

*ISSN 1106-5303*

**ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ**

**ΤΟΜΟΣ ΕΒΔΟΜΗΚΟΣΤΟΣ ΕΒΔΟΜΟΣ**

# ΕΠΙΦΑΝΙΟΣ ΣΑΛΑΜΙΝΟΣ ΚΥΠΡΟΥ

**(ΜΕΡΟΣ Δ΄)**

Γενικὴ Ἐπιστασία καὶ Ἐπιμέλεια
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ
Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν

Ἐπιμεληταὶ
ΓΕΩΡΓΙΑ Π. ΚΟΥΝΑΒΗ
ΔΗΜΗΤΡΙΟΣ Χ. ΚΑΛΛΙΝΤΕΡΗΣ
Θεολόγοι

**ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1999**

# ΠΕΡΙΕΧΟΜΕΝΑ

## ΕΠΙΦΑΝΙΟΣ ΣΑΛΑΜΙΝΟΣ ΚΥΠΡΟΥ
## (ΜΕΡΟΣ Δ')

ΚΕΙΜΕΝΑ

ΕΠΙΣΤΟΛΑΙ


Κατὰ τῶν ἐπιτηδευόντων... [Κατὰ τὴν ἔκδοσιν τοῦ G. Ostrogorski, Studien zur Geschichte des byzantinischen Bilderstreites (Historische Untersuchungen 5), Breslau 1929, σσ. 68-71] .......... 11

Πρὸς Θεοδόσιον τὸν Βασιλέα [Κατὰ τὴν ἔκδοσιν τοῦ G. Ostrogorski, Studien zur Geschichte..., Breslau 1929, σσ. 71-73] .......... 13

Διαθήκη πρὸς τοὺς τῆς Ἐκκλησίας αὐτοῦ [Κατὰ τὴν ἔκδοσιν τοῦ G. Ostrogorski, Studien zur Geschichte..., Breslau 1929, σσ. 67-68] .......... 16

Δογματικὴ ἐπιστολὴ [Κατὰ τὴν ἔκδοσιν τοῦ G. Ostrogorski, Studien zur Geschichte..., Breslau 1929, σ. 68] .......... 16

Πρὸς Ἄραβας [Ἐμπεριέχεται εἰς τὸ Πανάριον (Ἰδὲ K. Holl, Epiphanius... III, σσ. 452-475. ΒΕΠΕΣ τόμ. 76, σσ. 439-464)] 16

Πρὸς Ἰωάννην τὸν Αἰλείας Ἐπίσκοπον... [Κατὰ τὴν ἔκδοσιν τοῦ P. Maas, Die ikonoklastische Episode in dem Brief des Epiphanios an Johannes, in BZ 30 (1929-1930), Berlin, σσ. 281-283] .......... 16

Ad Hieronymum [Κατὰ τὴν ἔκδοσιν τοῦ J. Hilberg, CSEL 55 σσ. 145-146 (Hieronymi Epist. 91). (J-P. Migne, PG 43,391-392)] .......... 17

Πρὸς Εὐσέβιον, Μάρκελλον, Βιβιανόν, Κάρπον καὶ πρὸς Αἰγυπτίους [Κατὰ τὴν ἔκδοσιν K. Holl, Ein Bruchstück aus einem bisher unbekannten Brief des Epiphanius, in Gesammelte Aufsätze zur Kirchengeschichte II, 2, Tübingen 1928, σσ. 205-207] .......... 19

Ad presbyteros Pisidiae [Κατὰ τὴν ἔκδοσιν τοῦ J. Lebon, Severi Antiocheni liber contra impium Grammaticum, CSCO 102 (1952²), σ. 235] ..... 21
Ad Basilianum [Κατὰ τὴν ἔκδοσιν τοῦ J. Lebon, Severi Antiocheni..., σ. 235] ..... 22
Ad Magnum, Antiochiae presbyterum [Κατὰ τὴν ἔκδοσιν τοῦ J. Lebon, Seberi Antiocheni..., σ. 235] ..... 22

ΕΡΜΗΝΕΥΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

Εἰς τὴν Γένεσιν [Κατὰ τὴν ἔκδοσιν τοῦ R. Devreesse, Les anciens Commentateurs grecs de l' Octateuque et des Rois, Città del Vaticano 1959, σσ. 173-174] ..... 23
Εἰς τοὺς Ψαλμοὺς [Ἀναφέρεται εἰς τὸ «Περὶ μέτρων καὶ σταθμῶν» ἔργον Ἐπιφανίου Σαλαμῖνος. Ἔκδοσις Ἠ. Μουτσούλα, Ἀθῆναι 1971, σσ. 146-147. (ΒΕΠΕΣ τόμ. 76, σσ. 519-520)] ..... 23
Εἰς τὸ κατὰ Ματθαῖον [Κατὰ τὴν ἔκδοσιν τοῦ J.A. Cramer, Catenae graecorum Patrum in N.T., Hildesheim 1967, τόμ. I, σ. 25] ..... 23
Εἰς τὸ κατὰ Μάρκον [Κατὰ τὴν ἔκδοσιν τοῦ P. Possinus, Catena graecorum Patrum in evangelium secundum Marcum..., Romae 1673, σ. 320] ..... 24
Εἰς τὸ κατὰ Ἰωάννην [Κατὰ τὴν ἔκδοσιν τοῦ B. Corderius, Catenae Patrum Graecorum in s. Iohannem, Antverpiae 1630, σ. 482] ..... 24
Εἰς τὰς Πράξεις [Κατὰ τὴν ἔκδοσιν τοῦ J.A. Cramer, Catenae graecorum Patrum in N.T., Hildesheim 1967, τομ. III, σσ. 135, 178-179, 193-194] ..... 24
Εἰς τὴν πρὸς Ἑβραίους [Κατὰ τὴν ἔκδοσιν τοῦ J.A. Cramer, Catenae graecorum Patrum in N.T., Hildesheim 1967, τόμ. VII, σσ. 555-556] ..... 27

ΝΟΘΑ

Ἀνακεφαλαίωσις [Περιλαμβάνεται εἰς τὸ ἔργον «Πανάριον» (Ἰδὲ ΒΕΠΕΣ τόμ. 74, 75 καὶ 76)] ..... 28
Φυσιολόγος [Κατὰ τὰς ἐκδόσεις α' τοῦ F. Sbordone, Physiologi graeci..., Mediolani 1936, σσ. 1-145 καὶ β' τοῦ D. Offermans, Der Physiologus nach dem Handschriften G und M, Meisenheim 1966, σσ. 14-159] ..... 29
Ὁμιλία, Εἰς τὰ Βαΐα [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 43, 428-437] ..... 132
Ὁμιλία, Εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου... [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 43, 440-464] ..... 139
Ὁμιλία, Εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἀνάστασιν [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 43, 465-477] ..... 158
Ὁμιλία, Εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 43, 477-485] ..... 167
Ἐγκώμιος εἰς τὴν ἁγίαν τὴν Θεοτόκον [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 43, 485-501] ..... 173
Ὁμιλία, Περὶ Βαΐων [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 43, 501-505] ..... 183
Λόγος εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἀνάστασιν [Κατὰ τὴν ἔκδοσιν τοῦ P. Nautin, Le dossier d' Hippolyte et de Meliton, Paris 1953, σσ. 155-159] ..... 186
Λόγος εἰς τὸν Συμεῶνα καὶ εἰς τὴν Ὑπαπαντὴν [Πρώτη ἔκδοσις ὑπὸ τοῦ κ. Π. Νικολοπούλου] ..... 189
Λόγος εἰς τὴν Γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [Τὸ κείμενον ἐλήφθη ἐκ τοῦ κώδικος Brixiensis A III 3 (16ου αἰ.), ff. 175-176, τῆς Βιβλιοθήκης Queriniana (Brescia τῆς Ἰταλίας). Ἡ ἐπεξεργασία τοῦ κειμένου ἐγένετο τῇ ἐπιμελείᾳ τοῦ κ. Π. Νικολοπούλου] ..... 191
Περὶ τῶν ἀριθμῶν μυστηρίων [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 43, 508-517] ..... 196
Περὶ τῶν προφητῶν, πῶς ἐκοιμήθησαν καὶ ποῦ κεῖνται [Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae fabulosae, indices apostolorum discipulorumque domini Dorotheo, Epiphanio, Hippolyto aliisque vindicatae (Bibliotheca Teubneriana), Leipzig 1907, σσ. 4-25 (J.-P. Migne, PG 43,393-413)] ..... 203
Περὶ τῶν ις' προφητῶν, πόθεν ἦσαν καὶ ποῦ ἐτελειώθησαν [Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae fabulosae..., Leipzig 1907, σσ. 55-67 (J.-P. Migne, PG 43,415-428)] ..... 216
Περὶ τῶν οβ' προφητῶν καὶ προφητίδων [Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae fabulosae..., Leipzig 1907, σσ. 1-3] ..... 225
Τὰ ὀνόματα τῶν δώδεκα Ἀποστόλων... [Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae fabulosae..., Leipzig 1907, σσ. 107-117] ..... 226
Περὶ τῶν ο' Ἀποστόλων [Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae fabulosae..., Leipzig 1907, σσ. 118-127] ..... 231

Τὰ ὀνόματα τῶν ιβ' Ἀποστόλων [Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Propheten- und Apostellegenden nebst Jüngerkatalogen (TU 31,3), Leipzig 1907, σ. 232] ..... 238

Μαρτυρίαι τῶν θεοπνεύστων Γραφῶν... [Κατὰ τὴν ἔκδοσιν τοῦ S.A. Morcelli, Opusculum sancti Epiphanii de divina inhumanatione, Mutinai 1828, σσ. 10-85] ..... 239

Ἔκθεσις πρωτοκλησιῶν Πατριαρχῶν τε καὶ Μητροπολιτῶν [Κατὰ τὴν ἔκδοσιν τοῦ H. Gelzer, Ungedruckte und ungenügend veröffentlichte Texte der Notitiae episcopatuum, AAM 21,3, München 1901, σσ. 534-542] ..... 269

Ἀποφθέγματα [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 65, 161-168] ..... 279

Ἐκ τοῦ περὶ πίστεως λόγου [Κατὰ τὴν ἔκδοσιν τοῦ F. Diekamp, Doctrina Patrum de incarnatione Verbi, Münster 1981, σ. 299] ..... 282

Ἐκ τοῦ περὶ Τριάδος λόγου [Κατὰ τὴν ἔκδοσιν τοῦ F. Diekamp, Doctrina Patrum..., Münster 1981, σ. 317] ..... 283

Ἐκ τῆς πρὸς Θεοδώρητον βασιλέα ἐπιστολῆς [Τὸ κείμενον ἐλήφθη ἐκ τοῦ κώδικος Vat. gr. 375 (16ου αἰ.), ff. 153ᵛ-154, τῆς Βιβλιοθήκης Queriniana (Brescia τῆς Ἰταλίας). Ἡ ἐπεξεργασία τοῦ κειμένου ἐγένετο τῇ ἐπιμελείᾳ τοῦ κ. Π. Νικολοπούλου] ... 284

Ἡ λειτουργία τῶν προηγιασμένων [Κατὰ τὴν ἔκδοσιν τοῦ Δ. Ν. Μωραΐτου, Ἡ λειτουργία τῶν προηγιασμένων, Θεσσαλονίκη 1955, σσ. 53-59 (J.-P. Migne, PG 43, 1285-1328) ..... 285

Πρὸς τοὺς κατηγοροῦντας τὸ ἅγιον τῆς Μυσταγωγίας Ποτήριον... [Κατὰ τὴν ἔκδοσιν τοῦ G. Garitte, Un opuscule grec traduit de l' arménien, in Muséon 73 (1960), σσ. 298-299] ..... 289

Δέησις καὶ ἐξορκισμὸς [Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, PG 43, 537] ..... 291

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ ..... 293

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ ..... 309

# ΕΠΙΦΑΝΙΟΣ ΣΑΛΑΜΙΝΟΣ ΚΥΠΡΟΥ

# ΕΠΙΣΤΟΛΑΙ (ΑΠΟΣΠΑΣΜΑΤΑ)

## ΚΑΤΑ ΤΩΝ ΕΠΙΤΗΔΕΥΟΝΤΩΝ ΠΟΙΕΙΝ ΕΙΔΩΛΙΚῼ ΘΕΣΜῼ ΕΙΚΟΝΑΣ ΕΙΣ ΑΦΟΜΟΙΩΣΙΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΚΑΙ ΤΗΣ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΤΩΝ ΜΑΡΤΥΡΩΝ ΕΤΙ ΔΕ ΚΑΙ ΑΓΓΕΛΩΝ ΚΑΙ ΠΡΟΦΗΤΩΝ*

**68** Ἴδωμεν τοὺς κατὰ τὸ θέλημα τοῦ Θεοῦ πολιτευσαμένους πατριάρχας καὶ προφήτας καὶ μιμησώμεθα αὐτούς, ἵνα ὄντως Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας υἱοὶ ὀνομασθῶμεν· εἰδόσιν οὖν νόμον λαλῶ.

Εἰπάτωσαν δὲ καὶ οἱ ἀδήλως τρέχοντες· τίς τῶν ἁγίων Πατέρων χειροποίητον προσεκύνησεν; ἢ τίς τοῖς ἰδίοις σέβειν παρέδωκεν; τίς τῶν Ἁγίων καταλιπὼν τὸν ἀνεκλειπῆ πλοῦτον — τὴν εἰς Θεὸν ἐλπίδα ἐν γνώσει αὐτὸν ζωγραφήσας, προσκυνεῖσθαι ἐκέλευσεν; ὁ ἡγούμενος τῶν ἐν πίστει Ἀβραὰμ οὐχὶ φεύγων τὰ νεκρὰ φίλος ζῶντος Θεοῦ ἐκλήθη; ἢ Μωσῆς οὐχὶ φεύγων τὴν τοιαύτην πλάνην, ἠρνήσατο τὴν παροῦσαν ἀπόλαυσιν;

Ἀλλ' ἐρεῖς μοι, ὅτι οἱ Πατέρες εἴδωλα ἐθνῶν ἐβδελύξαντο, ἡμεῖς δὲ τὰς εἰκόνας τῶν Ἁγίων ποιοῦμεν εἰς μνημόσυνον αὐτῶν, καὶ εἰς τιμὴν ἐκείνων ταύτας προσκυνοῦμεν. Καὶ πάντως γὰρ ταύτῃ τῇ ὑποθέσει ἐτόλμησάν τινες ὑμῶν ἔνδον τοῦ ἁγίου οἴκου τὸν τοῖχον κονιάσαντες χρώμασι διηλλαγμένοις εἰκόνας ἀνατυπώσαντες Πέτρου καὶ Ἰωάννου καὶ Παύλου, ὡς ὁρῶ κατὰ τὴν ἐπιγραφὴν **69** ἑκάστης τῶν ψευδωνύμων εἰκόνων ὑπὸ τῆς μωρίας τοῦ ζωγράφου κατὰ τὸν νοῦν αὐτοῦ τυπωθεῖσαν. Καὶ πρῶτον μὲν οἱ νομίζοντες ἐν τούτῳ τιμᾶν τοὺς Ἀποστόλους, μαθέτωσαν, ὅτι ἀντὶ τῆς τιμῆς πλέον αὐτοὺς ἀτιμάζουσιν. Παῦλος γὰρ τὸ ψευδώνυμον ἱερέα ἐνυβρίσας «τοῖχον κενονιασμένον»[1] ἀπεφήνατο· οὐκ οὖν εἰκόνας αὐτῶν τὰς αὐτῶν ἐντολὰς

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ G. Ostrogorski, Studien zur Geschichte des byzantinischen Bilderstreites (Historische Untersuchungen 5), Brèslau 1929, σσ. 68-73.

**1.** Πράξ. 23,3.

διαρετῶν στήσωμεν. Ἀλλ' ἐρεῖς, ὅτι εἰς ὑπόμνησιν τῆς ἰδέας αὐτῶν τὰς εἰκόνας αὐτῶν θεωροῦμεν. Καὶ ποῦ γάρ σοι ταῦτα προενετείλαντο· προῃτιασάμεθα γὰρ τοὺς τοιούτους, ὅτι ἀγνοίᾳ φερόμενοι κοπιῶσιν εἰκῇ.

«Οἴδαμεν γάρ», φησὶν Ἰωάννης, «ὅτι ὅταν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα»[1]. Καὶ Παῦλος δὲ τοὺς Ἁγίους συμμόρφους τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐκήρυξεν[2]. Πῶς οὖν τοὺς ἐν δόξῃ μέλλοντας φαιδρύνεσθαι Ἁγίους ἐν ἀδόξῳ καὶ νεκρῷ καὶ ἀλάλῳ θέλεις ὁρᾶν, τοῦ Κυρίου λέγοντος περὶ αὐτῶν· ἔσονται γάρ, φησίν, ὡς ἄγγελοι Θεοῦ[3].

Τοῦ Ἀρχαγγέλου ὀστέα καὶ νεῦρα ἐνηρμοσμένα κατάδηλα.

Πῶς δὲ καὶ ἀγγέλους πνεύματα ὑπάρχοντας καὶ ἀεὶ ζῶντας ἐν νεκροῖς γράφων προσκυνεῖς, τοῦ προφήτου λέγοντος· «ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»[4].

Λέγω δὲ ὅτι οὐδὲ αὐτοὶ θέλουσι προσκυνεῖσθαι.

Ὅρα μή· σύνδουλος γάρ σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ. Τῷ Θεῷ, φησίν, προσκύνησον[5].

Ἀλλ' οὐδὲ οἱ Ἀπόστολοι ἠθέλησαν προσκυνεῖσθαι[6]. Καὶ γὰρ ὅτε εὐαγγελίζεσθαι ἀπεστάλησαν, ἑαυτοὺς προσκυνεῖσθαι οὐκ ἤθελον, ἀλλὰ τὸν αὐτοὺς ἀποστείλαντα Χριστόν[7]. Ὁ γὰρ ἐξουσίαν παρ' αὐτοῦ λαβὼν δεσμεύειν καὶ λύειν ἐπὶ γῆς[8] καὶ οὐρανοῦ, ἔλεγε Κορνηλίῳ ὅτι ὁμοιοπαθής εἰμι κατὰ σὲ ἄνθρωπος[9], καὶ ἐδίδασκε μὴ ἑαυτὸν προσκυνεῖσθαι ἀλλὰ τὸν Σωτῆρα Χριστόν[10]. **70** Περὶ δὲ τῶν ἀγγέλων οἱ πατέρες οἱ ἐν Λαοδικείᾳ συνελθόντες — πάντως γὰρ ὅτι διὰ τοιαύτην ὑπόθεσιν συνήχθησαν — λέγουσιν· 'εἴ τις ἐγκαταλείπει τὴν Ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἀγγέλους ὀνομάζει, ἀνάθεμα ἔστω· ὅτι ἐγκατέλιπε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰδωλολατρείᾳ προσελήλυθε'.

Ἤκουσα δὲ ὅτι καὶ τὸν ἀκατάληπτον Υἱὸν τοῦ Θεοῦ τινὲς

1. Α' Ἰω. 3,2. 2. Πρβλ. Ρωμ. 8,29. 3. Πρβλ. Ματθ. 22,30. 4. Ψαλ. 103,4. 5. Πρβλ. Ἀποκ. 22,9. 6. Πρβλ. Πράξ. 10,26. 14,15. 7. Ἐνθ' ἀν. 8. Πρβλ. Ματθ. 16,19. 18,18. 9. Πρβλ. Πράξ. 10,26. 10. Πρβλ. Πράξ. 14,15.



γράφειν ἐπαγγέλλονται· ὃ φρίξαι ἐπὶ τοῦ ἀκοῦσαι, καὶ τὸ πιστεῦσαι βλάσφημον.

Πῶς γὰρ τὸν ἀκατάληπτον καὶ ἀνεκδιήγητον καὶ ἀπερινόητον, ἀπερίγραφόν τε γράφειν λέγει τις, ὃν οὐκ ἴσχυσε Μωσῆς ἀτενίσαι;

Φασίν τινες ὅτι ἐπειδὴ τέλειος ἄνθρωπος ἐγένετο ἐκ Μαρίας τῆς ἀειπαρθένου, διὰ τοῦτο ἄνθρωπον αὐτὸν ποιοῦμεν.

Καὶ διὰ τοῦτο ἐνηνθρώπησεν, ἵνα σὺ τὸν ἀκατάληπτον δι' οὗ τὰ πάντα ἐγένετο διὰ χειρός σου γράψαι δυνηθῇς;

Οὐκοῦν οὐκ ἔστιν ὅμοιος τοῦ Πατρὸς οὐδὲ ζωοποιεῖ τοὺς νεκρούς;

Ποῦ γάρ σοι διέταξε ταῦτα ἐλθὼν ἐπὶ τῆς γῆς, ποιῆσαι ὅμοιον αὐτοῦ καὶ προσκυνεῖν ἢ ὁρᾶν. Αὕτη ἡ διάταξις τοῦ πονηροῦ δῆλον, ἵνα καταφρονήσῃς Θεοῦ.

Δεῖ οὖν αὐτῷ ζῶντι προσκυνεῖν, ὡς εἶπεν, «ἐν πνεύματι καὶ ἀληθείᾳ»[1].

Ὁ Θεὸς γὰρ ἐν πάσῃ τῇ Παλαιᾷ καὶ Καινῇ ταῦτα ἀναιρεῖ, ἀκριβῶς λέγων· «Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις»[2] λέγων· «ζῶ ἐγώ, λέγει Κύριος, καὶ ἐμοὶ κάμψει πᾶν γόνυ»[3]. Οὐ δυνάμεθα **71** οὖν «δυσὶ κυρίοις δουλεύειν»[4] ζῶντι καὶ νεκρῷ. Ἐπικατάρατος γάρ, φησίν, ὃς κτίσμα παρὰ τὸν κτίσαντα προσκυνήσει[5]. Πάντα γὰρ ταῦτα περιέχει αὐτὸς καὶ οὐ περιέχεται ὑπό τινος.

## ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΘΕΟΔΟΣΙΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ

**71** Τὴν εἰδωλολατρίαν ἐν τῷ κόσμῳ τῇ ἑαυτοῦ κακοτεχνίᾳ ὁ διάβολος ἐμηχανήσατο καὶ ἐν τῷ κόσμῳ ἔσπειρε τοῦτο καὶ ἐθεμελίωσε καὶ τοὺς ἀνθρώπους ἀπὸ τοῦ Θεοῦ ἀπέστρεψε· νῦν δὲ πάλιν μετὰ τὰς αἱρέσεις καὶ τὰ εἴδωλα εἰς ἀρχαίαν εἰδωλολατρείαν τοὺς πιστοὺς καθείλκυσε καὶ ἠπάτησε. Νοήσει γὰρ ἡ σὴ εὐσέβεια καὶ ἡ ἐκ Θεοῦ σοι δοθεῖσα σοφία καὶ ἐν βάθει νοημάτων ἐρευνήσει, εἰ πρέπον ἐστὶ Θεὸν ἔχειν ἡμᾶς ζωγραφητὸν διὰ χρωμάτων. Τίς ἤκουσε τοῦτο ποτέ;

1. Ἰω. 4,24. 2. Ματθ. 4,10. 3. Ρωμ. 14,11. 4. Ματθ. 6,24. 5. Πρβλ. Ψαλ. 118,21.

Τίς τῶν παλαιῶν πατέρων Χριστοῦ εἰκόνα ζωγραφήσας ἐν ἐκκλησίᾳ ἢ ἐν οἴκῳ ἰδίῳ κατέθετο; τίς ἐν βήλοις θυρῶν τῶν ἀρχαίων ἐπισκόπων Χριστὸν ἀτιμάσας ἐζωγράφησε; τίς τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Μωσέα τε καὶ τοὺς λοιποὺς προφήτας καὶ πατριάρχας, ἢ Πέτρον, ἢ Ἀνδρέαν, ἢ Ἰάκωβον, ἢ Ἰωάννην, ἢ Παῦλον, ἢ τοὺς λοιποὺς Ἀποστόλους ἐν βήλοις ἢ ἐν τοίχοις ζωγραφήσας, οὕτως παρεδειγμάτισε καὶ ἐθριάμβευσε;

Ἅμα δὲ καὶ ψεύδονται ἐξ ἰδίας αὐτῶν ἐννοίας μορφὰς τῶν Ἁγίων ἄλλως καὶ ἄλλως ἀνατυποῦντες, ποτὲ μὲν γέροντας ποτὲ δὲ νεωτέρους τοὺς αὐτοὺς ‹γράφοντες›, ἃ μὴ ἑωράκασιν ἐμβατεύοντες. Κόμην γὰρ ἔχοντα τὸν Σωτῆρα γράφουσιν ἐξ ὑπονοίας διὰ τὸ Ναζωραῖον αὐτὸν καλεῖσθαι, ἐπείπερ οἱ Ναζωραῖοι κόμας ἔχουσιν. Σφάλλονται δὲ οἱ τοὺς τύπους αὐτῷ συνάπτειν πειρώμενοι· οἶνον γὰρ ἔπινεν ὁ Σωτήρ, ὃν οἱ Ναζωραῖοι οὐκ ἔπινον.

Καὶ αὐτὸ γὰρ ὅπερ πλάσσουσιν ἀπὸ ἰδίας ἐννοίας διανοούμενοι, ψεύδονται· γράφουσι γὰρ Πέτρον τὸν ἅγιον ἀπό**72**στολον οἱ πλάνοι γέροντα ἄνδρα, τὴν κεφαλὴν καὶ τὸ γένειον κεκαρμένον· γράφουσι δὲ καὶ τὸν ἅγιον Παῦλον ἄλλοι μὲν ἀναφαλαντέα, ἄλλοι δὲ φαλακρὸν γενειήτην καὶ τοὺς ἄλλους μαθητὰς ψιλῶς κεκαρμένους.

Εἰ τοίνυν κόμην εἶχεν ὁ Σωτήρ, οἱ δὲ ἄλλοι μαθηταὶ ἦσαν κεκαρμένοι, καὶ μὴ ἦν αὐτὸς κεκαρμένος καὶ ἴσος αὐτοῖς φαινόμενος, τίνι λόγῳ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς τριάκοντα ἀργύρια ἐδίδουν τῷ Ἰούδᾳ μισθοῦ χάριν[1], ὅπως φιλήσας αὐτόν, ὑποδείξῃ αὐτοῖς, ὅτι οὗτός ἐστιν ὃν ζητεῖτε[2], δυνάμενοι καὶ δι' ἑαυτῶν καὶ ὑπ' ἄλλων γνῶναι διὰ τοῦ σημείου τῆς κόμης ὃν ἐζήτουν εὑρεῖν καὶ μὴ μισθὸν δοῦναι;

Οὐχ ὁρᾷς, θεοφιλέστατε βασιλεῦ, τὸ ἔργον οὐ πρέπον Θεῷ· διὸ παρακαλῶ, βασιλεῦ θεοσεβέστατε καὶ μισοπόνηρε, πᾶσαν πλάνην ἐλέγχων, τῷ ἐν σοὶ ζήλῳ Θεοῦ ἐν ἀληθείᾳ διὰ στερεᾶς σου νομοθεσίας μετὰ προστίμου ὁριζομένης, εἰ δυνατόν, — πιστεύω δὲ ὅτι ἐὰν θέλῃς ἐν Θεῷ δύνασαι, — ὅπως τὰ βῆλα, ὅπου ἐὰν εὑρεθῇ ἔχοντα ψευδῶς μὲν ὅμως δὲ ἢ Ἀποστόλων ἢ προφητῶν ζωγραφίας ἢ αὐτοῦ τοῦ Κυρίου καὶ Χριστοῦ, ταῦτα πάντα συλλεγέντα ἀπὸ ἐκκλησιῶν ἢ βαπτιστηρίων ἢ οἰκιῶν ἢ μαρτυρίων εἰς ταφὴν πτωχῶν προχωρήσεις· τὰ δὲ ἐν τοίχοις διὰ χρωμάτων λευκανθῆναι· τὰ δὲ ἐν μουσαρίῳ προληφθέντα γραφῆναι, ἐπειδὴ δυσχερές ἐστι τὸ τοιοῦτο ἀνασκεύασμα, ἐν τῇ δοθείσῃ σοι ὑπὸ Θεοῦ σοφίᾳ εἰδέναι, πῶς προστάξεις· εἰ μὲν δυνατὸν ταῦτα ἀνασκευασθῆναι, εὖ ἂν ἔχοι· εἰ δὲ ἀδύνατον, ἀρκεσθῆναι τοῖς προγεγονόσι καὶ μηκέτι τινὰ ζωγραφεῖν οὕτως· καὶ γὰρ οἱ ἡμέτεροι πατέρες οὐδὲν ἄλλο ἔγραφον, εἰ μὴ τὸ σημεῖον τοῦ Χριστοῦ τὸ σωτήριον ἐν ταῖς ἑαυτῶν θύραις καὶ πανταχοῦ.

1. Πρβλ. Ματθ. 26,15. 2. Πρβλ. Ματθ. 26,48.



Ὅτι ἀεὶ μὲν οὖσα καὶ ὑπὸ ὀλίγων πάλαι φυλαχθεῖσα διὰ δὲ τὴν τοῦ Ἀρείου κακο**73**δοξίαν ὑπὸ Οἰκουμενικῆς Συνόδου ἁγίων Πατέρων ἡμῶν ἐπισκόπων ἐν Νικαίᾳ τῇ πόλει ὁμολογηθεῖσα, καὶ ἔστιν αὕτη, ὡς ὡμολόγησαν καὶ ὑπέγραψαν τριακόσιοι δεκαοκτὼ ἐπίσκοποι, οὐ πρόσφατον ἐκθέμενοι πίστιν, ἀλλὰ τὴν ἀεὶ οὖσαν ὁμολογήσαντες, οἷς καὶ ἡμεῖς ὡς υἱοὶ ἀκολουθοῦντες ἀπὸ νέας ἡλικίας, αὐτοί τε καὶ οἱ ἡμῶν γονεῖς ἐν αὐτῇ γεγεννημένοι, τὴν αὐτὴν ὁμολογοῦμεν τε καὶ κατέχομεν· ὡς καὶ σύ, εὐσεβέστατε βασιλεῦ· καὶ ἔστιν αὕτη· πιστεύομεν 'εἰς ἕνα Θεὸν Πατέρα Παντροκράτορα'... (καὶ τὰ ἑξῆς τοῦ Συμβόλου).

Εἰ δὲ ἔτι ἀπαναισχυντοῖεν τῆς ἐπιστολῆς ταύτης ἀντεχόμενοι, ἐκβιασθήσονται καὶ τοῖς ἄλλοις οἷς περιέχει ἀτόποις ἐξακολουθεῖν, ὡς ἐξεῖναι αὐτοῖς καὶ τοῖς Σάββασιν οὐ τῆς Τεσσαρακοστῆς μόνον, ἀλλὰ καὶ ἐν ἄλλοις καιροῖς ἀσιτεῖν ἄχρις ἐνάτης ὥρας, μεθ' ἣν ἀπονηστίζεσθαι καὶ καταλύειν τὰς ἀσιτίας.

(Πρῶτα μὲν ὡμολόγησεν, ὅτι γέλως καὶ χλεύη τῆς φλυαρίας τοιαύτης ἕνεκεν τοῖς πολλοῖς πρόκειται· ἔπειτα δὲ ἐπήγαγεν·) ὅτι πολλάκις τοῖς δοκοῦσι σοφοῖς ταῦτα περιαιρεθῆναι συμβουλεύσας, καίτοι γε ἐπισκόποις οὖσι καὶ διδασκάλοις καὶ συλλειτουργοῖς, ὑπὸ πάντων οὐκ ἠκούσθην, ἀλλ' ὑπ' ἐνίων καὶ τούτων ὀλίγων παντελῶς.

## ΔΙΑΘΗΚΗ ΠΡΟΣ ΤΟΥΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΑΥΤΟΥ*

**67** «Προσέχετε ἑαυτοῖς»[1]· καὶ «κρατεῖτε τὰς παραδόσεις»[2] ἃς παρελάβετε· μὴ ἐκκλίνητε δεξιὰ ἢ ἀριστερά.

Καὶ εἰ τούτῳ μνήμην ἔχετε, τέκνα ἀγαπητά, τοῦ μὴ ἀναφέρειν εἰκόνας **68** ἐπ' Ἐκκλησίας μήτε ἐν τοῖς κοιμητηρίοις τῶν ἁγίων· ἀλλ' ἀεὶ διὰ μνήμης ἔχετε τὸν Θεὸν ἐν ταῖς καρδίαις ὑμῶν· ἀλλ' οὔτε κατ' οἶκον κοινόν· οὐκ ἔξεστι γὰρ Χριστιανῷ δι' ὀφθαλμῶν μετεωρίζεσθαι καὶ ῥεμβασμῷ τοῦ νοός, ἀλλ' ἐγγεγραμμένα καὶ ἐντετυπωμένα ἔστω πᾶσι τὰ πρὸς τὸν Θεόν.

## ΔΟΓΜΑΤΙΚΗ ΕΠΙΣΤΟΛΗ

**68** Εἴ τις τὸν θεῖον τοῦ Θεοῦ Λόγον χαρακτῆρα κατὰ τὴν σάρκωσιν ἐξ ὑλικῶν χρωμάτων ἐπιτηδεύει κατανοῆσαι...

## ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΡΑΒΑΣ**

## ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΤΟΝ ΑΙΛΕΙΑΣ ΕΠΙΣΚΟΠΟΝ ΕΠΙΓΕΓΡΑΜΜΕΝΗ ΕΠΙΣΤΟΛΗ***

**281** ⟨Τῷ αἰδεσιμωτάτῳ ἀδελφῷ πάπᾳ Ἰωάννῃ, Ἐπιφάνιος ἐπίσκοπος ἐν Κυρίῳ χαίρειν⟩.

Ἔδει ἡμᾶς ἀγαπητὲ μὴ τῇ οἰήσει τῶν κλήρων φέρεσθαι, ⟨ἀλλὰ...⟩ **282** ⟨...φησὶ γὰρ ἡ Θεία Γραφή· «μηδὲ γογγύζετε καθάπερ τινὲς ἐγόγγυσαν καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ»[3]... «ὑπὸ τῶν ὄφεων ἀπώλοντο»[4])...

... ⟩ὁ δὲ Θεὸς τῆς εἰρήνης ποιήσει μεθ' ἡμῶν κατὰ τὴν

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ G. Ostrogorski, Studien zur Geschichte des byzantinischen Bilderstreites (Historische Untersuchungen 5), Brèslau 1929, σσ. 67-68

** Ἐμπεριέχεται εἰς τὸ Πανάριον. (Ἰδὲ K. HOLL, Epiphanius... III, σσ. 452-475. ΒΕΠΕΣ τόμ. 76 σσ. 439-464)

*** Κατὰ τὴν ἔκδοσιν τοῦ Paul Maas, Die ikonoklastische Episode in dem Brief des Epiphanios an Johannes, in BZ 30 (1929-1930), Berlin, (σσ. 279-286) σσ. 281-283.

**1.** Πράξ. 20,28. **2.** Β' Θεσ. 2,15. **3.** Α' Κορ. 10,10. **4.** Α' Κορ. 10,9.



αὐτοῦ φιλανθρωπίαν εἰς τὸ συντριβῆναι τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν[1] τῶν Χριστιανῶν καὶ ἀποδιωχθῆναι πᾶσαν πρόφασιν πονηρὰν εἰς τὸ μὴ σχισθῆναι τὸν σύνδεσμον ἐξ ἡμῶν τῆς τοῦ Χριστοῦ ἀνυποκρίτου ἀγάπης καὶ εἰρήνης[2] καὶ ὀρθῆς πίστεως καὶ ἀληθείας.

Ἐπεὶ δὲ ἤκουσα ὅτι τινὲς ἐγόγγυσαν καθ' ἡμῶν, ὅτι ἐν τῷ διαβαίνειν ἡμᾶς ἐπὶ τὸν ἅγιον τόπον τῆς Βεθὴλ τοῦ συναγελασθῆναι τῇ σῇ τιμιότητι ὡς ἤλθομεν εἰς τὴν κώμην τὴν λεγομένην Ἀναυθά, θεασάμενοι λύχνον καιόμενον καὶ ἐρωτήσαντες ἔγνωμεν Ἐκκλησίαν εἶναι ἐν τῷ τόπῳ, εἰσερχόμενοι δε τοῦ εὐχὴν ἐπιτελέσαι εὕρομεν βῆλον ἐν τῇ θύρᾳ βαπτὸν ἐν ᾧ ἐζωγράφητο ἀνδροείκελόν τι εἰδωλοειδὲς ὃ ἔλεγον τάχα ὅτι Χριστοῦ ἦν τὸ ἐκτύπωμα ἢ ἑνὸς τῶν ἁγίων (οὐ γὰρ μέμνημαι ἐγὼ θεασάμενος), καὶ εἰδὼς ὅτι μύσος ἐστὶν ἐν Ἐκκλησίᾳ τοιαῦτα εἶναι, διέῤῥηξα αὐτὸ καὶ συνεβούλευσα ἀμφιάσαι ἐν αὐτῷ πένητα τελευτήσαντα, οἱ δὲ γογγύσαντες ἔλεγον· 'ἔδει αὐτὸν ἀλλάξαι ἐκ τῶν ἰδίων τὸ βῆλον πρινὴ αὐτὸ σχίσῃ', καίτοιγε ἐμοῦ ὑποσχομένου ὅτι ἀντ' αὐτοῦ ἀπο**283**στελῶ ἕτερον, ἐβράδυνα δὲ τοῦ ἀποστεῖλαι διὰ τὸ ἀναγκαῖόν με ζητεῖν (προσεδόκων γὰρ ἀπὸ Κύπρου ἀποστέλλεσθαι), νῦν οὖν ὅπερ εὗρον ἀπέστειλα. Καταξίωσον οὖν κελεῦσαι τῷ πρεσβυτέρῳ τῆς παροικίας δέξασθαι παρὰ τοῦ ἀναγνώστου τὸ ἀπεσταλμένον, καὶ παρακαλῶ πρόσταξον ἵνα μὴ τοιαῦτα ἁπλοῦται ἐν ταῖς Ἐκκλησίαις· πρέπει γὰρ τῇ σῇ τιμιότητι περὶ πάντων φροντίζειν καὶ ἀκριβολογεῖν περὶ τῶν συμφερόντων τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ καὶ τοῖς λαοῖς ⟨τοῖς ἐμπεπιστευμένοις σοι⟩.

## EPISTULA EPIPHANII AD HIERONYMUM*

**145 [391]** Domino amantissimo, filio ac fratri Hieronymo presbytero et cunctis fratribus, qui tecum uersantur in monasterio, Epiphanius in domino salutem.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. Hilberg, CSEL 55 σσ. 145-146 (Hieronymi Epist. 91). (J-P. Migne, PG 43, 391-392).

**1.** Πρβλ. Ρωμ. 16,20. **2.** Πρβλ. Ἐφ. 4,3.

Generalis epistula, quae ad omnes catholicos scripta est, ad te proprie pertinet, qui zelum fidei aduersus cunctas hereses habens. **146** Origenis proprio et Apollinaris discipulos auersaris; quorum uenenatas radices et in altum defixam inpietatem omnipoteus deus protraxit in medium, ut in Alexandria proditae in toto orbe arescerent, scito enim, fili carissime, Amalech usque ad stirpem esse deletum et in monte Raphidim erectum tropaeum crucis, et, quomodo porrectis in altum Moysi manibus uincebat Israhel[1], sic dominus confortauit famulum suum Theophilum, ut supra altare ecclesiae Alexandrinae contra Origenem uexillum poneret et inpleretur in eo, quod dicitur: 's c r i b e  s i g n u m  h o c,  q u i a  d e l e b o  f u n d i t u s Origenis heresim a  f a c i e  t e r r a e eum ipso **[392]** Amalech[2]. ne uidear eadem rursum iterare et prolixiorem epistulam texere, ipsa ad uos scripta transmisi, ut seire possitis, quae nobis scripserit et quantum boni ultimae aetati meae concesserit dominus, ut, quod semper clamabam, tanti pontificis testimonio probaretur. iam autem puto et te aliquid operis edidisse et iuxta priorem epistulam, qua te super hae re fueram cohortatus, elimasse libros, quos tuae linguae homines legant. audio enim et ad occidentem quorundam hominum naufragia peruenisse, qui non contenti perditione sua uolunt plures mortis habere participes, quasi multitudo peccantium scelus minuat et non numerositate lignorum maior gehennae flamma succrescat. sanctos fratres, qui tecum in monasterio domino seruiunt, et tecum et per te plurimum salutamus.

1. Exod. 17,8-16. 2. Exod. 17,14.

## ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ, ΜΑΡΚΕΛΛΟΝ, ΒΙΒΙΑΝΟΝ, ΚΑΡΠΟΝ ΚΑΙ ΠΡΟΣ ΑΙΓΥΠΤΙΟΥΣ*

**205** Ἔφαγον οὖν οἱ Ἰουδαῖοι τὸ Πάσχα, μεθ' ὧν ὁ Κύριος τοῦτο συνέφαγε, πρὸ δύο ἡμερῶν τοῦ τεταγμένου ἀληθινοῦ Πάσχα[1]· ὡς ἔλεγον οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ὅτι προλάβωμεν ποιῆσαι τὸ Πάσχα, ἵνα μὴ ἐν τῷ θορύβῳ συλληφθέντος αὐτοῦ μὴ δυνηθῶμεν φαγεῖν τὸ Πάσχα[2]· ὡς φησι καὶ ὁ ἱερώτατος Ματθαῖος περὶ τοῦ Σωτῆρος ὅτι εἴρηκε τοῖς μαθηταῖς· «οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι»[3]. Τοῦτο δὲ ἀκριβῶς ἐτελέσθη ὁπηνίκα ὁ Χριστὸς εἰς τὸ μυστήριον ἤγετο τῇ δευτέρᾳ τοῦ Σαββάτου, σύμβολον οὔσης τῆς δεκάτης τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ διὰ τὸ ἰῶτα. Τότε γὰρ ὁ Ἰούδας ἔλαβε τὸ τίμημα τοῦ τετιμημένου, οὗ διετιμήσαντο παρὰ τῶν υἱῶν Ἰσραὴλ κατὰ τὸ γεγραμμένον, καὶ ἐζήτει εὐκαιρίαν ὅπως αὐτὸν παραδῷ[4]. Προέλαβον δὲ τεθορυβημένοι ἀντὶ τοῦ φυλαχθῆναι παρ' αὐτοῖς τὸ ἠγορασμένον αὐτοῖς πρόβατον διὰ τῶν τῷ Ἰούδᾳ δοθέντων ἀργυρίων ἕως πέμπτης Σαββάτων καὶ ἀπὸ δεκάτης ἀριθμουμένων ἕως τεσσαρεσκαιδεκάτης ⟨ἥτις ἦν⟩ ἡ πέμπτη Σαββάτων. Προλαμβάνουσι δὲ θορυβούμενοι διὰ τὸν λαὸν καί φασι· προλάβωμεν ποιῆσαι τὸ Πάσχα, ἵνα μὴ ὅταν ἔλθῃ ὁ λαὸς μὴ δυνηθῶμεν συλλαβέσθαι αὐτόν[5]. Καὶ τούτου ἕνεκα οὐκέτι τῇ Πέμπτῃ ἔφαγον τὸ Πάσχα, ἥτις κατήντα τῇ ιδ τῆς σελήνης, ἀλλὰ τῇ τρίτῃ Σαββάτων ἐπιφωσκούσης Τετράδος συλλαμβάνουσι τὸν Χριστόν, ἐν ᾗ καὶ τὸ Πάσχα προλαμβάνοντες ἐπετέλουν. **206** Βεβρώκει τοίνυν μετ' αὐτῶν τὸ Πάσχα πρὸς ἑσπέραν τῇ δωδεκάτῃ πρὸ δύο ἡμερῶν τοῦ Πάσχα, ἐπιφωσκούσης ιγ, λογιζομένης τῆς νυκτὸς εἰς τὴν ἡμέραν τουτέστιν ἀπὸ τρίτης εἰς Τετράδα Σαββάτων· ὅθεν ἡ Ἐκκλησία τὴν τετράδα φυλάττει

* Κατὰ τὴν ἔκδοσιν τοῦ K. Holl, Ein Bruchstuck aus einem bisher unbekannten Brief des Epiphanius, in Gesammelte Aufsätze zur Kirchengeschichte II, 2, Tübingen, 1928, σσ. 205-207.

1. Πρβλ. Ματθ. 26,2. Μάρκ. 14,1. 2. Πρβλ. Ματθ. 26,5. Μάρκ. 14,2. 3. Ματθ. 26,2. 4. Πρβλ. Ματθ. 26,14-18. 27,9. Ζαχ. 11,12. 5. Πρβλ. Ματθ. 26,5.

διὰ τὴν τοῦ Κυρίου σύλληψιν, νηστεύουσα δι' ὅλου τοῦ ἔτους πάρεξ μόνον Πεντηκοστῆς καὶ Ἐπιφανίων. Συλληφθεὶς δὲ πρὸς ἑσπέραν ἐπιφωσκούσης τετράδος μένει ἐν τῇ αὐλῇ τοῦ Καϊάφα ὅλην τὴν νύκτα. Μὴ γὰρ νόμιζε ἐν τῇ πέμπτῃ πρὸς ἑσπέραν αὐτὸν συνειλῆφθαι, ἀνάγνωθι εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον καὶ διάσκεψαι καὶ ὁρᾷς, ὅτι ὅτε μὲν ἀπὸ Γεθσημανῆ συλλαμβάνεται πρὸς Καϊάφαν φέρεται[1]. Ἔμεινεν δὲ ἐν τῇ οἰκίᾳ τοῦ Καϊάφα ἕως τῆς ἕω. Πρωίας δὲ παραδίδοται Ποντίῳ Πιλάτῳ[2]· γέγονε δὲ τοῦτο τετάρτῃ τῶν Σαββάτων. Καὶ ποιεῖ τὴν ἡμέραν ἐκείνην παρὰ Ποντίῳ Πιλάτῳ καὶ τὴν νύκτα ἕως πρωΐ. Πέμπτῃ δὲ Σαββάτων ἀποστέλλεται πρὸς Ἡρῴδην, ὄντα τότε ἐν Ἱεροσολύμοις[3], διὰ τὸ καὶ αὐτὸν ἐληλυθέναι μετὰ τῶν ἄλλων φαγεῖν τὸ Πάσχα. Καὶ ὡς ἐκεῖνος πολλὰ αὐτὸν ἐρωτήσας καὶ μὴ καταξιωθεὶς ἀποκρίσεως ἀντιπέμπει αὐτὸν Πιλάτῳ[4], καὶ ἐπιμείνας ἕως ἐνάτης ὥρας ἐν τῷ πραιτωρίῳ συγκεκλεισμένος. Παράδοσις δέ τις ἔδραμε λεγόντων ἕως καὶ τῶν ἡμετέρων χρόνων, ὅτι τὴν ἐνάτην ὥραν εἰσῆλθον οἱ μαθηταὶ κρυφῇ πρὸς αὐτὸν καὶ ἔκλασεν ἄρτον ψιλὸν καὶ συνεγεύσατο μετ' αὐτῶν ἐν τῇ φυλακῇ. Ἔμεινε δὲ ἐκεῖ ὅλην τὴν νύκτα καὶ πρωΐ λίαν προφέρει αὐτὸν ἀπὸ τοῦ πραιτωρίου ἡμέρᾳ προσαββάτου τῇ Παρασκευῇ καλουμένῃ καὶ οὕτως ὥρᾳ γ σταυροῦται[5] κατὰ τὴν ἀκριβῆ τοῦ Μάρκου εἰσήγησιν καὶ Ἰωάννου τῶν θεσπεσίων Εὐαγγελιστῶν· εἰ καὶ ἔν τισιν ἀντιγράφοις τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου γραφικοῦ ἕνεκεν σφάλματος παραπεποίηται τὸ Γ στοιχεῖον, ὅπερ τὸν τρεῖς ψῆφον δηλοῖ, εἰς τὸ ἐπισήμου, ὅπερ τὸν ἓξ παρίστησι διὰ τὸ ἀμφοτέρων τῶν στοιχείων τὰς κεραίας ἐκ τῶν εὐωνύμων εἰς τὰ δεξιὰ ἐπιβλέπειν ἡμᾶς· ὃ καὶ πρὸ ἡμῶν ἠκρίβωσαν Κλήμης τε καὶ Ὠριγένης καὶ ὁ Πάμφιλος Εὐσέβιος. Καὶ οὐ χρὴ τοὺς φιλομαθεῖς ἀκροατὰς διὰ τὴν τοῦ στοιχείου ἀναίρεσιν ἢ παράθεσιν διασπᾶν τὴν τῶν θείων Εὐαγγελίων συμφωνίαν.

Ὅρα γὰρ πῶς καὶ Ματθαῖος ὁ σοφώτατος τὸν τοῦ σταυροῦ καιρὸν ἀκριβῶς ἐπισημαίνεται τῷ εἰπεῖν «καὶ ἐλθόντες εἰς

**1.** Πρβλ. Ἰω. 18,24. **2.** Πρβλ. Ἰω. 18,28. Ματθ. 27,2. Μάρκ. 15,1. Λουκ. 23,1. **3.** Πρβλ. Λουκ. 23,7. **4.** Πρβλ. Λουκ. 23,9-11. **5.** Πρβλ. Μάρκ. 15,25. Ἰω. 19,14.



τόπον λεγόμενον Γολγοθά, ὅ ἐστι Κρανίου τόπος»[1], ἔπειτα καὶ τὸν οἶνον μετὰ τῆς σμύρνης[2] λοιπὸν **207** καὶ τὴν τῶν ἱματίων διαμέρισιν ⟨διηγησάμενος⟩ ἐπάγει[3]· «ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας θ»[4] καὶ τὰ ἑξῆς. Τινὲς δὲ οἴονται τὸν ἅγιον Ματθαῖον ἕκτῃ ὥρᾳ αὐτὸν ἐσταυρῶσθαι λέγειν· μεμελέτ⟨ηται⟩ δὲ τῷ ἁγίῳ τὸ ἀπὸ ἕκτης ὥρας σκότος.

Σταυροῦται μὲν οὖν ὡς εἴρηται προσαββάτῳ ὥρᾳ γ καὶ ἐλογίσθη αὐτῷ ἡμέρα μία ἀπὸ ὥρᾳ γ εἰς ς. Μετὰ τὸ σταυρωθῆναι γὰρ λοιπὸν τῶν καταχθονίων εἰργάζετο τὴν σωτηρίαν, καὶ ἀπὸ τῆς ἕκτης εἰς θ μία νύξ, ἀπὸ δὲ ἐνάτης εἰς ἑσπέραν μία ἡμέρα. ⟨Ἀπὸ ἑσπέρας δὲ νὺξ ἡ ἐπιφώσκουσα εἰς Σάββατον⟩. Καὶ γεγόνασι τρεῖς ἡμέραι καὶ δύο νύκτες. Καὶ δι' ὅλου τοῦ Σαββάτου μία ἡμέρα καὶ ἡ νὺξ ἡ ἐπιφώσκουσα εἰς τὴν Κυριακήν. Καὶ ἐπληρώθη τὸ περὶ αὐτοῦ εἰρημένον ὅτι δεῖ ποιῆσαι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας[5].

Ὥρᾳ γ ἐσταυρώθη πλήρης ἕκτῃ Σαββάτων τεσσαρεσκαιδεκάτῃ κατὰ σελήνην, τετάρτῃ καὶ εἰκάδι τοῦ Φαμενὼθ μηνός, πρὸ ιγ καλάνδων Ἀπριλλίων. Διὸ νηστεύομεν καὶ τῷ προσαββάτῳ. Ἀνέστη δὲ τῇ ἡμέρᾳ τῆς Κυριακῆς, ἐξότε οἱ ἀλεκτρυόνες ἐφώνησαν, ἐν νυκτὶ τῆς ἰσονυκτίας συνημμένῃ τῇ ἰσημερίᾳ τουτέστι τῇ ς καὶ εἰκάδι τοῦ Φαμενὼθ μηνός, ὃς ἦν Νισὰν παρ' Ἑβραίοις ὁ ἑρμηνευόμενος Φαρμουθί. Προλαμβάνουσι δὲ οἱ τῶν Ἑβραίων μῆνες τοὺς τῶν Αἰγυπτίων μῆνας καὶ οἱ τῶν εὐδαιμόνων Ἀθην⟨αί⟩ων ὡσαύτως καὶ Λακεδαιμονίων ὀκτὼ ἡμέρα⟨ι⟩ς, ἐὰν οὕτω τύχοι. Ἦν δὲ ἡ νὺξ ἡ ἔχουσα τὰς αὐτὰς ὥρας καὶ ἡ παρελθοῦσα ἡμέρα τὰς αὐτάς.

## EPISTULA AD PRESBYTEROS PISIDIAE

(ἀπόσπασμα συριακὸ σὲ λατινικὴ μετάφραση)*

**235** «Non enim propter ipsum pascha celebramus, sed propter nos; illos autem labores pro nobis in ipso

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. Lebon, Severi Antiocheni liber contra impium Grammaticum, CSCO 102 (1952²), σ. 235.

**1.** Ματθ. 27,33. **2.** Πρβλ. Ματθ. 27,34. **3.** Πρβλ. Ματθ. 27,36. **4.** Ματθ. 27,45. **5.** Πρβλ. Ματθ. 12,40.

accidisse confitemur; non perinde ae si ipse Dominus illis indiguisset: ipse enim Dominus noster impassibilis in caelo, passus est carne, vivit autem spiritu; nam passus est pro nobis, impassibilis vero est propter se. Quod autem passus sit, non passionis vi adactus passus est, sed sua voluntate, neque potentia neque impassibilitate divinitatis deficientibus; invisibilis non comprehensus est, sed in visibili incomprehensibilis voluntarie comprehendebatur incomprehensus; volens patiebatur non patiens, et impassibilis semper manet».

## EPISTULA AD BASILIANUM
(ἀπόσπασμα συριακὸ σὲ λατινικὴ μετάφραση)

**235** «Sed vivum Dei Verbum per se corpus formavit et caro factum est, non mutationem perferens, sed quia ex eadem Virgine inhumanatum et natum est, et vere humanam animan assumpsit, sicut novimus eum vere hominem factum esse perfectum, qui est Deus praeexsistens, sed homo ex Maria; et vere crucifixum et sepultum esse et surrexisse in hoc corpore et in hac sancta anima et in ipsa divinitate, impassibilem passum et passum impassibilem, cum unus sit Dominus et unus sit Christus, homo et Deus, non duo sed unus, idemque Deus et homo».

## EPISTULA AD MAGNUM, ANTIOCHIAE PRESBYTERUM
(ἀπόσπασμα συριακὸ σὲ λατινικὴ μετάφραση)

**235** «Galatae quidem insipientes» et «Cretes semper mendaces» et «Ephraim columba stolida»; Dominus vero inhumanatus in mundo omnia naturalia perfecte assumpsit, immo assumpsit ipse proprii corporis plasmator factus, ipse sibi assumens animam, qui dixit: Potestatem habeo dandi illan, id est, ponendi illam iterumque sumendi illam».

## ΕΡΜΗΝΕΥΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ*

**173** *Γεν, 3,22$^{b}$ (Br, f. 76$^{r}$; Bs, f. 57: Ἐπιφανίου ἐπισκόπου Κύπρου).*

Ἐπειδὴ οὖν ἐν ἐλαττώματι γέγονεν ὁ Ἀδάμ, οὐκ ἠθέλησεν αὐτὸν ὁ Θεὸς ζῆν εἰς τὸν αἰῶνα ἐν ἐλαττώματι, ἀλλ' ὡς ἄριστος κεραμεὺς εἰς τὸ ἴδιον φύραμα, τὸ ἀφανισθὲν σκεῦος δι' ἑαυτοῦ εὐδόκησεν μεταβαλεῖν, ἵνα δὲ ἐν τῇ παλιγγενεσίᾳ τοῦ ἰδίου φυράματος πάλιν, ὡς **174** ἐπὶ τὸν τροχὸν μεταβάλοι, ἀνασκευάσας καὶ ἀνακαινίσας τὸ σκεῦος ἄνευ ἐλαττώματος εἰς τὸ δύνασθαι διηνεκῶς ζῆν[1].

*Γεν. 4,9-10 (Br, f. 82$^{r}$: Ἐπιφανίου ἐπισκ. Κύπρου; Bs, f. 60$^{r}$: Ἐπιφανίου).* Οὐκ ἠγνόει ὁ λέγων ὅτι τὸ αἷμα «βοᾷ»[2], ἀλλ' ὅπως δῷ αὐτῷ τόπον μετανοίας εἰς ἀπολογίαν.

*Γεν. 18,9 (Br, f. 136: Ἐπιφ. ἐπισκ. Κύπρου; Bs, f. 103; N, 235**).*

Βούλεται αὐτῆς ὑποδεῖξαι τὴν σεμνότητα ὑπογραμμὸν τῶν θελουσῶν εὐσεβεῖν ἐν ἀληθείᾳ — σεμνότητος ὑπογραμμὸν ὑποδεικνύουσα τοῖς μετὰ ταῦτα.

## ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ**

## ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ***

**25** *Ματθ. 4,1-2 «Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, καὶ νηστεύ-*

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ R. Devreesse, Les anciens Commentateurs grecs de l' Octateuque et des Rois, Città del Vaticano, 1959, σσ. 173-174. (Br: Barberinus 569 Bs: Basileensis Bibl. Univ. A.N. III 13).

** Ἀναφέρεται εἰς τὸ «Περὶ μέτρων καὶ σταθμῶν» ἔργον Ἐπιφανίου Σαλαμῖνος. Ἔκδοσις Ἠλία Μουτσούλα, Ἀθῆναι 1971. σσ. 146-147. (ΒΕΠΕΣ τόμ. 76 σσ. 519-520).

*** Κατὰ τὴν ἔκδοσιν τοῦ J. A. Cramer, Catenae graecorum Patrum in novum Testamentum, Hildesheim, 1967, τόμ. I, σ. 25.

**1.** Πρβλ. Γεν. 3,22. **2.** Γεν. 4,10.

*σας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα»*[1].

«Ἐπείνασεν»[2] ἵνα δείξῃ τὴν ἀληθινὴν ἐνανθρώπησιν.

## ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ*

**320** Ἐπιφανίου. Οὐκ εἰρωνείᾳ, ἀλλ' ἀληθείᾳ τό, μὴ τὸ θέλημα τὸ ἐμόν. Ἵνα δείξῃ σαρκὸς ὑπόστασιν ἀληθινήν, καὶ ἵνα ἐλέγξῃ τοὺς λέγοντας, νοῦν μὴ ἐσχηκέναι αὐτὸν ἀνθρώπινον.

## ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ**

*Ἰω. 20,19. «Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν»*[3].

**482** Ἀλλ' εἰσερχόμενος θυρῶν κεκλεισμένων, ψηλαφόμενος δὲ ὑπὸ τοῦ Θωμᾶ[4], ἵνα μὴ φαντασία ἀπεικασθῇ, ἀλλ' ἀλήθεια, ὁ ὑπὸ τοῦ Θωμᾶ πιστευθείς, μετὰ τὸ πληρωθῆναι τὸ εἰρημένον, Ταῖς χερσί μου τὸν Θεὸν ἐξεζήτησα, καὶ οὐκ ἠπατήθην[5]. Ὁ αὐτὸς Θεός, ὁ αὐτὸς ἄνθρωπος, οὐ σύγχυσιν ἀπεργασάμενος, ἀλλὰ τὰ δύο κεράσας εἰς ἕν, οὐκ εἰς ἀνυπαρξίαν χωρήσας, ἀλλὰ συνδυναμώσας σῶμα γήϊνον τῇ θεότητι εἰς μίαν δύναμιν, εἷς ὢν Κύριος Ἰησοῦς Χριστός[6], οὐ δύο Χριστοί, οὐ δύο Θεοί.

## ΕΙΣ ΤΑΣ ΠΡΑΞΕΙΣ***

**135** Πράξ. 8,9. «Ἀνὴρ δέ τις ὀνόματι Σίμων, προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξι-

* Κατὰ τὴν ἔκδοσιν τοῦ P. Possinus, Catena graecorum Patrum in evangelium secundum Marcum. Collectore atque interprete Petro Possino Presbytero..., Romae 1673, σ. 320.

** Κατὰ τὴν ἔκδοσιν τοῦ B. Corderius, Catena Patrum Graecorum in s. Iohannem, Antverpiae 1630, σ. 482.

*** Κατὰ τὴν ἔκδοσιν τοῦ J. A. Cramer, Catenae graecorum Patrum in N.T., Hildesheim 1967, τομ. III, σσ. 135,178-179,193-194.

**1.** Ματθ. 4,1. **2.** Πρβλ. Ματθ. 4,2. **3.** Ἰω. 20,19. **4.** Πρβλ. ἔνθ' ἀν. **5.** Πρβλ. Ψαλ. 76,3. **6.** Πρβλ. Α' Κορ. 8,4.



στῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν»[1].

Ἐκ τοῦ Β' Λόγου τοῦ Παναρίου. Ὁ Σίμων οὗτος ὑπεκορίσατο τοὺς Ἀποστόλους· καὶ αὐτὸς δὲ τοῖς ἄλλοις ὁμοίως ὑπὸ Φιλίππου ἐβαπτίσθη μετὰ πολλῶν· οἱ δὲ πάντες χωρὶς αὐτοῦ ἐξεδέξαντο τὴν τῶν μεγάλων Ἀποστόλων παρουσίαν, καὶ διὰ τῆς αὐτῶν χειροθεσίας ἔλαβον Πνεῦμα Ἅγιον· ἐπειδήπερ ὁ [Ἀπόστολος] Φίλιππος Διάκονος ὤν, οὐκ εἶχεν ἐξουσίαν τῆς χειροθεσίας, τοῦ δι' αὐτῆς διδόναι Πνεῦμα Ἅγιον.

**178** Πράξ. 10,13-14. «Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν, ἀναστάς, Πέτρε, Θῦσον καὶ φάγε. Ὁ δὲ Πέτρος εἶπε, μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον»[2].

Ἐκ τοῦ Α' Βιβλίου τῶν Παναρίων κατὰ Ἐβιωναίων. Εὑρεθήσεται ἐκ δύο τρόπων τῆς ἀληθείας ἡ σύστασις· εἰ μὲν γὰρ ἐροῦσι κατὰ πάντων τῶν βρωμάτων διεξεληλυθέναι λόγον τὸν ἅγιον Πέτρον, καὶ λέγειν ὅτι οὐδέποτε κοινὸν ἢ ἀκάθαρτον, ὡς καὶ βόας καὶ αἶγας, καὶ πρόβατα καὶ ὄρνις κοινὰ λέγεσθαι παρ' αὐτῷ, εὐθὺς ἐλεγχθήσονται ἐκ τῆς προτέρας αὐτοῦ ἀναστροφῆς· μετὰ γὰρ τὸ γῆμαι, καὶ τέκνα κεκτῆσθαι, καὶ πενθερὰν ἔχειν[3], συνέτυχε τῷ Σωτῆρι ἐξ Ἰουδαίων ὁρμώμενος· Ἰουδαῖοι δὲ καὶ σάρκας ἐσθίουσι, καὶ κρεωφαγία παρ' αὐτοῖς οὐκ ἔστι βδελυκτή, οὐδὲ ἀπηγόρευται· ἄρα οὖν αὐτοῦ βεβρωκότος ἀπ' ἀρχῆς, εἰ καὶ εὐθέως τοῦ συναντῆσαι τῷ Σωτῆρι εἴποιμεν, δειχθήσεται ὅτι οὐδὲν ἡγήσατο κοινὸν τῶν οὐ κοινῶν λεγομένων· καὶ γὰρ οὐ κατὰ πάντων ἀπεφήνατο τὸ κοινὸν καὶ ἀκάθαρτον, ἀλλὰ περὶ ὧν ἔλεγεν ὁ νόμος κοινῶν καὶ ἀκαθάρτων· πάλιν δὲ τούτου δειχθέντος, ὅτι οὐ περὶ πάντων κρεῶν ἔλεγεν ὡς κοινῶν, ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ κοινῶν τε καὶ ἀκαθάρτων, ὁ Θεὸς τῆς ἁγίας Χριστοῦ Ἐκκλησίας τὸν χαρακτῆρα παραδούς, ἔλεγεν αὐτῷ μηδὲν κοινὸν ἡγεῖσθαι· πάντα γὰρ αὐτῷ ἐστι καθαρὰ **179** μετὰ εὐχαριστίας καὶ εὐλογίας Θεοῦ λαμβανόμενα· ἀλλ' εἰ καὶ περὶ τῆς κλήσεως τῶν ἐθνῶν τὸ αἴνιγμα, ἵνα μὴ ἡγήσηται τοὺς ἐν ἀκροβυστίᾳ κοινοὺς ἢ ἀκαθάρ-

**1.** Πράξ. 8,9. **2.** Πράξ. 10,13-14. **3.** Πρβλ. Ματθ. 8,14.

τους, ὅμως ὁ λόγος τοῦ Πέτρου οὐ περὶ ἀνθρώπων εἶχε τὴν ἔμφασιν, ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ ἀπηγορευμένων, ὡς καὶ παντὶ σαφὲς ἂν εἴη.

**193** Πράξ. 11,4-6. «Ἀρξάμενος δὲ Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων, ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ· εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ»[1].

Τοῦ Παναρίου Κεφαλαίου ΚΗ΄.

Κήρινθος ὁ αἱρετικὸς παρεκίνει περὶ τοῦ Πέτρου ἐπανελθόντος εἰς Ἱερουσαλὴμ τὰ πλήθη τῶν ἐκ περιτομῆς, λέγων, «ὅτι εἰσῆλθε πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας»[2]· ἐποίησε δὲ τοῦτο ὁ Κήρινθος πρὶν ἢ ἐν τῇ Ἀσίᾳ κηρύξαι τὸ αὐτοῦ κήρυγμα, καὶ ἐμπεσεῖν εἰς τὸ περισσότερον τῆς αὐτοῦ ἀπωλείας βάραθρον· διὰ γὰρ τὸ εἶναι αὐτὸν ἐμπερίτομον δῆθεν, ἀντιδικίας ἕνεκα τῶν ἐν ἀκροβυστίᾳ πιστῶν διὰ τῆς περιτομῆς τὴν πρόφασιν ἐθηράσατο· τοῦ δὲ καὶ δόντος τῷ Πέτρῳ τὸν πρὸς αὐτὸν καὶ τοὺς αὐτοῦ ἔλεγχον ποιήσασθαι, φανερὰ γίνεται ἡ τοῦ Κηρίνθου ἄνοια· ἕως τότε γὰρ ἐδίσταζεν ὁ ἅγιος, ἕως ὅτε ὁ Κύριος ἐναργῶς ἔδειξεν αὐτῷ, ἃ διὰ τῶν λόγων καὶ τύπων αὐτὸν ἐδίδασκεν· εὐθὺς γὰρ αὐτοῦ ἀνοίξαντος τὸ στόμα, ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ **194** Κορνήλιον, καὶ ἰδὼν ὁ Πέτρος εἶπε· «μήτι τὸ ὕδωρ δύναταί τις κωλῦσαι»[3], καὶ τὰ ἑξῆς· τὸ πᾶν δὲ τοῦτο μυστήριον, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον· ὅπως ὅ τε ἅγιος Πέτρος καὶ πᾶς τις γνώσεται, ὅτι οὐκ ἐξ ἀνθρώπων ἡ τῶν ἐθνῶν σωτηρία, ἀλλ' ἐκ Θεοῦ ὑπῆρχεν[4].

---

**1.** Πράξ. 11,4-6. **2.** Πράξ. 11,3. **3.** Πράξ. 10,47. **4.** Πρβλ. Πράξ. 10,35 ἑξ.

## ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ*

**555** Ἑβρ. 7,2. «Πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ βασιλεὺς Σαλήμ, ὅ ἐστι βασιλεὺς εἰρήνης»[1].

Παναρίων. Οὐκοῦν ληροῦσιν οἱ τὸν Μελχισεδὲκ δύναμιν εἶναί τινα μεγάλην δοξάζοντες, καὶ ἐν τοῖς ἀκατονομάστοις αὐτὸν διατρίβειν τόποις ἡγούμενοι, καὶ τοῦ Χριστοῦ μείζονα τυγχάνειν **556** τοῦ τῆς ἐκείνου κατηξιωμένου τάξεως. Εἰ μὴ γὰρ ἣν φησιν ἐν δευτέρᾳ τινὶ κείμενος ὁ Χριστὸς μοίρᾳ, οὐκ ἂν ἱερατεύειν ἐλέγετο «κατὰ τὴν τάξιν Μελχισεδέκ»[2]. Βλασφημοῦντες δὲ ἀπεδείχθησαν καὶ οἱ τολμήσαντες εἰπεῖν τὸν Μελχισεδὲκ αὐτὸν εἶναι τὸν πατέρα τοῦ Χριστοῦ, καὶ διὰ τοῦτο καλεῖσθαι παρὰ τῆς Γραφῆς ἀπάτορα καὶ ἀμήτορα καὶ ἀγενεαλόγητον[3] πολλοὺς γὰρ κατηναλώσαμεν λόγους τὴν ἐκείνων ἐλέγχοντες ἄνοιαν.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. A. Cramer, Catenae graecorum Patrum in Novum Testamentum, Hildesheim 1967. τόμ. VII, σσ. 555-556.

**1.** Ἑβρ. 7,2. **2.** Ἑβρ. 6,20. **3.** Πρβλ. Ἑβρ. 7,3.

# ΝΟΘΑ

## ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ*

* Περιλαμβάνεται εἰς τὸ ἔργον «Πανάριον» (Ἴδε K. Holl, Epiphanius... I, σσ. 162-168, 234-237. ΒΕΠΕΣ τόμ. 74, σσ. 185-190, 242-244. II, σσ. 1-4, 211-214. ΒΕΠΕΣ τόμ. 75, σσ. 11-13, 187-189. III, σσ. 1-2, 230-232, 415. ΒΕΠΕΣ τόμ. 76, σσ. 11-12, 216-217, 400-401).

## ΦΥΣΙΟΛΟΓΟΣ*

### Α΄

### 1. Περὶ τοῦ λέοντος.

**1** Ἀρξόμεθα λαλῆσαι περὶ τοῦ λέοντος, τοῦ βασιλέως τῶν θηρίων [ἤτοι ζῴων]. Καὶ γὰρ ὁ Ἰακώβ, εὐλογῶν τὸν Ἰούδα, ἔλεγε· «σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης»[1]· καὶ τὰ ἑξῆς. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ λέοντος, ὅτι τρεῖς φύσεις ἔχει. Πρώτη αὐτοῦ φύσις ἐστὶν **2** αὕτη· ὅταν περιπατῇ ἐν τῷ ὄρει καὶ ἔρχηται αὐτῷ ὀσμὴ τῶν κυνηγῶν, τῇ οὐρᾷ αὐτοῦ συγκαλύπτει αὐτοῦ τὰ ἴχνη, ἵνα μὴ ἀκολουθοῦντες τοῖς ἴχνεσιν αὐτοῦ οἱ κυνηγοὶ εὕρωσιν αὐτοῦ τὴν μάνδραν καὶ κρατήσωσιν αὐτόν.

Οὕτω καὶ ὁ Χριστὸς ἡμῶν, ὁ νοερὸς λέων [νικήσας, ἐκ φυλῆς **3** Ἰούδα[2], ἡ ῥίζα Δαβίδ][3], ἀποσταλεὶς ἀπὸ τοῦ ἀοράτου Πατρός[4], ἐκάλυψε τὰ νοερὰ ἴχνη αὐτοῦ, τουτέστι τὴν θεότητα.

Μετὰ ἀγγέλων ἄγγελος ἐγένετο, μετὰ ἀρχαγγέλων ἀρχάγγελος, μετὰ θρόνων θρόνος, μετὰ ἐξουσιῶν ἐξουσία, ἕως καταβάσεως αὐτοῦ· καὶ ἦλθεν **4** εἰς τὴν μήτραν τῆς ἁγίας παρθένου Μαρίας, ὅπως σώσῃ τὸ πεπλανημένον γένος τῶν ἀνθρώπων, «καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[5]. Ἐκ τούτου **[517]** οὖν ἀγνοοῦντες αὐτὸν οἱ ἄνωθεν κατελθόντες, ἔλεγον· «τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης»[6]; εἶτα τὸ Ἅγιον Πνεῦ-

* Κατὰ τὰς ἐκδόσεις α) τοῦ Francisci Sbordone, Physiologi graeci..., Mediolani 1936, σσ. 1-145 καὶ β) τοῦ Dieter Offermans, Der Physiologus nach den Handschriften G und M, Meisenheim 1966, σσ. 14-159. Τὰ ἐκ τῆς ἐκδόσεως F. Sbordone χαρακτηρίζομεν διὰ τοῦ γράμματος A, τὰς δὲ δύο μορφὰς τῆς ἐκδόσεως D. Offermans διὰ τῶν γραμμάτων B καὶ Γ. (J. P. Migne PG 43,517-533).

**1.** Γεν. 49,9. **2.** Πρβλ. ἔνθ' ἀν. **3.** Πρβλ. Λουκ. 2,4. Ρωμ. 1,3. **4.** Πρβλ. Πράξ. 3,25. **5.** Ἰω. 1,14. **6.** Ψαλ. 23,10.

μα λέγει· «Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης»[1].

**5** Δευτέρα φύσις τοῦ λέοντος. Ὅταν καθεύδῃ ὁ λέων ἐν τῷ σπηλαίῳ, ἀγρυπνοῦσιν αὐτοῦ οἱ ὀφθαλμοί· ἀνεῳγμένοι γάρ εἰσι. Καὶ ἐν τοῖς Ἄσμασιν ὁ Σολομὼν μαρτυρεῖ λέγων· «ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ»[2].

**6** Οὕτω καὶ τὸ μὲν σῶμα τοῦ Κυρίου μου καθεύδει ἐπὶ τοῦ σταυροῦ, ἡ δὲ θεότης αὐτοῦ ἐκ δεξιῶν[3] τοῦ Θεοῦ καὶ Πατρὸς ἀγρυπνεῖ· «οὐ γὰρ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ»[4].

Τρίτη φύσις τοῦ λέοντος. Ὅταν ἡ λέαινα γεννᾷ τὸν σκύμνον, νεκρὸν αὐτὸν γεννᾷ, καὶ περιτηρεῖ τὸ τέκνον, ἕως οὗ ὁ πατὴρ ἐλθὼν **7** τῇ τρίτῃ ἡμέρᾳ, ἐμφυσήσει αὐτῷ εἰς τὸ πρόσωπον, καὶ ἐγερεῖ αὐτόν.

Οὕτω καὶ ὁ Θεὸς ἡμῶν ὁ Παντοκράτωρ, ὁ Πατὴρ τῶν ὅλων, τῇ τρίτῃ ἡμέρᾳ ἐξήγειρε τὸν πρωτότοκον Υἱόν αὐτοῦ τὸν πρὸ πάσης κτίσεως[5], τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ τῶν νεκρῶν, [ὅπως σώσῃ τὸ πεπλανημένον γένος τῶν ἀνθρώπων].

**8** Καλῶς οὖν ὁ Ἰακὼβ ἔλεγεν· «ἀναπεσὼν ἐκοιμήθη ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν»[6];

## Β′

### 14 Σὺν Θεῷ βίβλος φυσιολογική.

### 1. Περὶ φύσεως λέοντος.

Ἄρξομαι λαλῆσαι περὶ τοῦ λέοντος, τοῦ βασιλέως τῶν θηρίων ἤτοι ζώων. Καὶ γὰρ ὁ Ἰακὼβ εὐλογῶν τὸν Ἰούδα καὶ λέγων· «σκύμνος λέοντος ⟨Ἰούδα⟩, ἐκ βλαστοῦ, ⟨υἱέ⟩ μου, ἀνέβης»[7] καὶ τὰ ἑξῆς.

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ λέοντος, ὅτι τρεῖς φύσεις ἔχει. Πρώτη φύσις αὐτοῦ· ὅταν περιπατῇ καὶ ὁδεύῃ ἐν τῷ ὄρει, ἔρχεται αὐτῷ ἡ ὀσμὴ τῶν κυνηγῶν, καὶ τῇ οὐρᾷ συγκαλύπτει

**1.** Ψάλ. 23,10. **2.** Ἆσμ. 5,2. **3.** Πρβλ. Ψαλ. 109,1. Ματθ. 26,64. Μάρκ. 16,19. Λουκ. 22,69. Πράξ. 7,55. **4.** Ψαλ. 120,4. **5.** Πρβλ. Ρωμ. 1,4. Ἀποκ. 1,5. Κολ. 1,15. **6.** Γεν. 49,9. **7.** Ἐνθ' ἀν.



τὰ ἴχνη αὐτοῦ, ἵνα μὴ οἱ κυνηγοὶ ἐλθόντες εὕρωσι τὴν μάνδραν αὐτοῦ καὶ πιάσωσι αὐτόν.

**16** Οὕτως καὶ ὁ Κύριος ἡμῶν, ὁ νοερὸς λέων...

**18** Δευτέρα φύσις αὐτοῦ. Ὅταν καθεύδῃ ἐν τῷ σπηλαίῳ αὐτοῦ ὁ λέων, ἀγρυπνοῦσιν αὐτοῦ οἱ ὀφθαλμοὶ καὶ ἀνεῳγμένοι εἰσιν. Οὕτως καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ νοερὸς λέων· τὸ μὲν σῶμα αὐτοῦ ἐν τῷ σταυρῷ ἐκάθευδε, ἡ δὲ θεότης ἠγρύπνει «ἐκ δεξιῶν τοῦ Πατρός»[1], καθὼς ἐν τοῖς Ἄσμασιν ὁ Σολομὼν μαρτυρεῖ λέγων· «ἐγὼ καθεύδω, ἡ δὲ καρδία μου ἀγρυπνεῖ»[2]. «Οὐ γὰρ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ»[3].

**20** Τρίτη φύσις λέοντος· ὅταν ἡ λέαινα γεννᾷ τὸν σκύμνον, νεκρὸν αὐτὸν γεννᾷ καὶ περιφυλάττει τὸ τέκνον, ἕως οὗ ὁ πατὴρ αὐτοῦ τῇ τρίτῃ ἡμέρᾳ ἔλθῃ καὶ ἐμφυσήσῃ εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐγείρῃ αὐτόν. Οὕτως καὶ ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ Πατὴρ τῶν ὅλων, τῇ τρίτῃ ἡμέρᾳ ἐξήγειρεν τὸν πρωτότοκον Υἱὸν αὐτοῦ ἐκ τῶν νεκρῶν[4], τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅπως σώσῃ τὸ πεπλανημένον γένος τῶν ἀνθρώπων.

Καλῶς οὖν καὶ ὁ Ἰακὼβ ἔλεγεν· «καὶ ὡς σκύμνος· τίς ἐγείρει αὐτόν;»[5].

## Γ′

**15** Περὶ τὰς φύσεις καὶ θέσεις τῶν ζῴων, καὶ πῶς ἀπὸ τῶν αἰσθητῶν εἰς πνευματικὰ μεταβάλλονται, καὶ πῶς ἀπὸ τῆς τῶν ζῴων φύσεως τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρεμφαίνει καὶ ἀποσημαίνει ὁ Φυσιολόγος.

### Περὶ λέοντος.

Ἀρξώμεθα λαλῆσαι περὶ λέοντος, τοῦ ἐν θηρίοις βασιλεύοντος ἤτοι ζῴοις. Καὶ γὰρ Ἰακὼβ εὐλογῶν τὸν Ἰούδα ἔλε-

**1.** Ψαλ. 109,1. Ματθ. 26,64. Μάρκ. 16,19. Λουκ. 22,69. Πράξ. 7,55. **2.** Ἆσμ. 5,2. **3.** Ψαλ. 120,4. **4.** Πρβλ. Ρωμ. 1,4. Ἀποκ. 1,5. **5.** Γεν. 49,9.

γε· «σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ μου ἀνέβης, υἱέ μου»[1] καὶ τὰ ἑξῆς.

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ λέοντος, ὅτι τρεῖς φύσεις ἔχει ὁ λέων. Καὶ πρώτη αὐτοῦ φύσις ἐστὶν αὕτη· ὅταν περιπατῇ ἐν τῷ ὄρει, ἔρχεται αὐτῷ ὀσμὴ τῶν θηρευτῶν, καὶ τῇ κέρκῳ αὐτοῦ συνκαλύπτει τὰ ἴχνη αὐτοῦ, ἵνα μὴ ἀκολουθοῦντες τοῖς ἴχνεσιν αὐτοῦ οἱ θηρευταὶ εὕρωσιν αὐτοῦ τὴν μάνδραν καὶ κρατήσωσιν αὐτόν.

**17** Οὕτω καὶ ὁ Χριστὸς ἡμῶν, ὁ νοερὸς λέων, ἐλθὼν ἀπὸ τοῦ ἀοράτου Πατρός, ἐκάλυψε τὰ ἴχνη αὐτοῦ, τουτέστι τὴν θεότητα· μετὰ ἀγγέλων ἄγγελος ἐγένετο, μετὰ ἀρχαγγέλων ἀρχάγγελος, μετὰ θρόνων θρόνος, μετὰ ἐξουσιῶν ἐξουσία, ἕως καταβάσεως αὐτοῦ. Καὶ ἦλθεν εἰς τὴν μήτραν τῆς ἁγίας παρθένου Μαρίας, ὅπως σώσῃ τὸ πεπλανημένον γένος τῶν ἀνθρώπων, καὶ «ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[2]. Ἐκ τούτου ἀγνοοῦντες οἱ ἄνωθεν κατελθόντ* ἔλεγον· «τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;»[3].

«Σκύμνος γάρ», φησί, «λέοντος Ἰούδα, ἐκ βλαστοῦ μου, υἱέ μου, ἀνέβης»[4]. Τίνα τοῦτον ἢ Χριστὸν προδήλως, τὸν ἐκ βασιλικοῦ καταγόμενον σπέρματος; λέγω δὴ τὸν «Δαβὶδ» ⟨ὡς χαρακτηρίζων τοῦ βασιλικοῦ ἀξιώματος⟩, «σκύμνος δὲ λέοντος» ⟨τὸν ἐξ αὐτοῦ φυέντα κατὰ σάρκα Χριστόν, «βλαστὸν» δὲ⟩ ἐκ τοῦ ἀκολούθου νοήσεις τὴν ἁγίαν Θεοτό**19**κον καὶ τῶν ἁπάντων ἁγιωτέραν Μαρίαν, τὴν Δαβιτικὴν ὄρπηκα, τὴν τοῦ Ἰεσσαί, τὴν ἀειθαλῆ, ἐξ ἧς ὁ τοῦ Θεοῦ παῖς σαρκικῶς ἀνεβλάστησεν· καὶ τεχθεὶς ἀσπόρως τὸ τῆς παρθενίας μυστήριον ἀκατάληπτον πᾶσι καταλέλοιπεν, καθὼς φησι ὁ προφήτης· «καὶ ἄνθρωπός ἐστιν, καὶ τίς γνώσεται αὐτόν;»[5].

Δευτέρα φύσις τοῦ λέοντος· ὅταν καθεύδῃ ὁ λέων ἐν τῷ σπηλαίῳ, ἀγριαίνουσιν αὐτοῦ οἱ ὀφθαλμοί· ἠνεῳγμένοι γάρ εἰσιν. Καὶ ἐν τοῖς Ἄσμασιν Σολομὼν μαρτυρεῖ λέγων· «ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ»[6]. Οὕτω καὶ τὸ μὲν σῶμα τοῦ Κυρίου μου καθεύδει ἐν τῷ τάφῳ, ἡ δὲ θεότης αὐτοῦ ἐκ

---

**1.** Γεν. 49,9. **2.** Ἰω. 1,14. **3.** Ψαλ. 23,8. **4.** Γεν. 49,9. **5.** Ἱερ. 17,9. **6.** Ἆσμ. 5,2.



δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς ἀγρυπνεῖ[1]. «Οὐ γὰρ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ»[2].

**21** Τρίτη φύσις τοῦ λέοντος· ὅταν ἡ λέαινα γεννᾷ τὸν σκύμνον, νεκρὸν αὐτὸν γεννᾷ καὶ περιτηρεῖ αὐτόν, ἕως οὗ ὁ πατὴρ αὐτοῦ τῇ τρίτῃ ἡμέρᾳ ἐμφυσήσῃ αὐτοῦ τὸ πρόσωπον καὶ ἐγείρῃ αὐτόν. Οὕτω καὶ ὁ Πατὴρ τῶν ὅλων ἡμέρᾳ τῇ τρίτῃ ἐξήγειρε τὸν πρωτότοκον Υἱὸν ἐκ τῶν νεκρῶν **[520]** τὸν πάσης κτίσεως[3], τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅπως σώσῃ τὸ πλανώμενον γένος τῶν ἀνθρώπων.

Καλῶς οὖν ὁ Ἰακὼβ ἔλεγεν· «ἀναπεσὼν ἐκοιμήθη ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγείρει αὐτόν;»[4].

Τὰ εὐαλωτότερα τῶν ζῴων πολυγονώτερα· διὰ τοῦτο πολυτόκοι λαγωοί, καὶ αἶγες ἄγριαι καὶ πρόβατα ἄγρια διδυμοτόκα, ἵνα μὴ ἐπιλείπῃ τὸ γένος ὑπὸ τῶν αἱμοβόρων δαπανώμενον· τὰ δὲ φθαρτικὰ τῶν ἄλλων ὀλιγοτόκα, ὅθεν λέοντος ἑνὸς μόλις ἡ λέαινα μήτηρ γίνεται. Ταῖς γὰρ ἀκμαῖς τῶν ὀνύχων διασπαράξας τὴν μήτραν, οὕτως πρόεισιν, ὥς φασι· καὶ αἱ ἔχινδαι τὰς μήτρας ἐκφαγοῦσαι προέρχονται, ὥστε καὶ τὸν σκορπίον μὴ ἄλλως τίκτεσθαι ἢ διὰ τὸ ἀναιρεῖν τὴν κυήσασαν. Οὕτω καὶ πονηρὰ πρᾶξις...

## Α΄

### 2. Περὶ σαύρας ἡλιακῆς.

**8** Ἔστι σαύρα καλουμένη ἡλιακή, ὥς φησιν ὁ Φυσιολόγος. Ὅταν οὖν **9** γηράσῃ, ἐμποδίζεται τοὺς ὀφθαλμοὺς καὶ πηροῦται, μὴ βλέπουσα τοῦ ἡλίου τὸ φῶς. Τί οὖν ποιεῖ ἐν ἑαυτῇ ἡ καλὴ φύσις; ζητεῖ τοῖχον βλέποντα τὴν ἀνατολήν, καὶ εἰσέρχεται εἰς τὴν ῥαγάδα τοῦ τοίχου [βλέπουσα τὴν ἀνατολήν]· καὶ ἀνατέλλοντος τοῦ ἡλίου, ἀνοίγονται αὐτῆς οἱ ὀφθαλμοί, καὶ γίνονται πάλιν ὑγιεῖς.

**10** Τοῦτον οὖν τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, εἰ τὸ τοῦ

---

**1.** Πρβλ. Ψαλ. 109,1. Ματθ. 26,64. Μάρκ. 16,19. Λουκ. 22,69. Πράξ. 7,55. **2.** Ψαλ. 120,4. **3.** Πρβλ. Κολ. 1,15. **4.** Γεν. 49,9.

παλαιοῦ ἀνθρώπου ἔχεις ἔνδυμα[1] καὶ οἱ ὀφθαλμοὶ τῆς καρδίας σου ἀμβλυωποῦσι, ζήτησον ἀνατέλλοντα τὸν ἥλιον τῆς δικαιοσύνης[2], Χριστὸν τὸν Θεὸν ἡμῶν, [οὗ τὸ ὄνομα ἀνατολὴ[3] καλεῖται ἐν τῷ προφήτῃ], καὶ αὐτὸς ἀνοίξει τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου.

## Β'

### 2. Περὶ σαύρας ἡλιακῆς.

**22** Ἔστιν σαύρα καλουμένη ἡλιακή, φησὶν ὁ Φυσιολόγος· ὅταν γηράσῃ ἐμποδίζεται τῶν ὀφθαλμῶν καὶ πηροῦται μὴ βλέπουσα τοῦ ἡλίου τὸ φῶς. Τί οὖν ποιεῖ ἡ νέα αὐτὴ καλὴ φύσις; ζητεῖ τοῖχον βλέποντα πρὸς τὴν ἀνατολὴν καὶ εἰσέρχεται εἰς τὴν ῥαγάδα τοῦ τοίχου, καὶ ἀνατέλλοντος τοῦ ἡλίου ἀνοίγονται αὐτῆς οἱ ὀφθαλμοὶ καὶ γίνονται πάλιν ὑγιεῖς.

Τοῦτον τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, εἰ τὸ τοῦ παλαιοῦ ἀνθρώπου ἔχεις ἔνδυμα[4] καὶ οἱ ὀφθαλμοὶ τῆς καρδίας σου ἀμβλυωποῦσιν, λοιπὸν ζήτησον τὸν ἀνατέλλοντα ἥλιον τῆς δικαιοσύνης[5], τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὗ τὸ ὄνομα ἐν τῷ προφήτῃ «ἀνατολὴ ὄνομα αὐτοῦ»[6] καλεῖται· καὶ αὐτὸς ἀνοίξει τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου.

## Γ'

### Περὶ σαύρας.

**23** Ἔστιν σαύρα καλουμένη ἡλιακή, ὥς φησι ὁ Φυσιολόγος· ὅταν οὖν γηράσῃ, ἐμποδίζεται τῶν ὀφθαλμῶν καὶ πηροῦται μὴ βλέπουσα τοῦ ἡλίου τὸ φῶς. Τί οὖν ποιεῖ; Ζητεῖ τοῖχον βλέποντα τὴν ἀνατολὴν καὶ εἰσέρχεται εἰς ῥαγάδα τοῦ τοίχου, καὶ ἀνατέλλοντος τοῦ ἡλίου ἀνοίγονται αὐτῆς οἱ ὀφθαλμοὶ καὶ γίνονται πάλιν ὑγιεῖς ὡς τὸ πρότερον.

Τοῦτον οὖν τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, εἰ τὸ τοῦ

**1.** Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. **2.** Πρβλ. Μαλ. 3,20. **3.** Πρβλ. Ζαχ. 6,12. Λουκ. 1,78. **4.** Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. **5.** Πρβλ. Μαλ. 3,20. **6.** Ζαχ. 6,12. Πρβλ. Λουκ. 1,78.



παλαιοῦ ἀνθρώπου ἔχεις ἔνδυμα[1] καὶ οἱ ὀφθαλμοὶ τῆς καρδίας σου ἀμβλυωποῦσι, ζήτησον ἀνατέλλοντα τὸν τῆς δικαιοσύνης ἥλιον[2], Χριστὸν τὸν Θεόν. Καὶ αὐτὸς ἀνοίξει τοὺς τῆς καρδίας σου ὀφθαλμούς.

## Α'

### 3. Περὶ χαραδριοῦ.

**11** Ἔστι πετεινὸν λεγόμενον χαραδριός, ὡς ἐν τῷ Δευτερονομίῳ γέγραπται[3]. Ὁ Φυσιολόγος ἔλεξε περὶ αὐτοῦ ὅτι ὁλόλευκόν ἐστι τὸ πετεινόν, μὴ ἔχον ὅλως μελανίαν, καὶ τὰ ἔνδοθεν αὐτοῦ ἀφοδεύματα θεραπεύει τοὺς ἀμβλυωποῦντας ὀφθαλμούς· ἐν δὲ ταῖς αὐλαῖς τῶν βασιλείων εὑρίσκεται.

**12** Ἐάν τις ᾖ νοσῶν, ἐκ τοῦ χαραδριοῦ γινώσκεται ἢ ζῇ ἢ ἀποθνήσκει· φέρουσι γὰρ αὐτὸν ἔμπροσθεν τοῦ νοσοῦντος ἐν τῇ κλίνῃ, καὶ ἐὰν ἡ νόσος τοῦ ἀνθρώπου ᾖ πρὸς θάνατον, ἀποστρέφει ὁ χαραδριὸς τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ νοσοῦντος καὶ πάντες γινώσκουσιν ὅτι ἀποθνήσκει· ἐὰν δὲ ἡ νόσος τοῦ **[532]** ἀνθρώπου ᾖ πρὸς ζωήν, ἀτενίζει ὁ **13** χαραδριὸς τῷ νοσοῦντι καὶ ὁ νοσῶν τῷ χαραδριῷ, καὶ καταπίνει ὁ χαραδριὸς τὴν νόσον τοῦ νοσοῦντος, καὶ ἀνίπταται εἰς τὸν αἰθέρα τοῦ ἡλίου, καὶ καίει τὴν νόσον τοῦ νοσοῦντος ἀνθρώπου, καὶ σκορπίζει αὐτήν, καὶ σώζεται ὅ τε χαραδριὸς καὶ ὁ νοσῶν **[533]** ἅμα.

Καλὸν οὖν ἐστι λαβεῖν τοῦτο εἰς πρόσωπον τοῦ Σωτῆρος· ὁλόλευ**14**κος γάρ ἐστιν ὁ Κύριος ἡμῶν, μὴ ἔχων ὅλως μελανίαν[4]· εἶπε γὰρ ὅτι ἐλεύσεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν[5]. Ἐλθὼν γὰρ ὁ Κύριος ἐκ τῶν οὐρανῶν πρὸς τοὺς Ἰουδαίους, ἀπέστρεψεν ἀπ' αὐτῶν τὴν θεότητα· ἐλθὼν δὲ καὶ πρὸς ἡμᾶς τὰ ἔθνη καὶ ἄρας ἡμῶν τὰς ἀσθενείας καὶ τὰς νόσους βαστάσας[6], ὑψώθη ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ, καὶ πάσας ἡμῶν τὰς ἀσθενείας καὶ ἁμαρτίας ἐξήλειψεν[7]· «ἀναβὰς γὰρ εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν»[8].

**1.** Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. **2.** Πρβλ. Μαλ. 3,20. **3.** Πρβλ. Δευτ. 14,18. Λευϊτ. 11,19. **4.** Πρβλ. Α' Ἰω. 1,5. **5.** Πρβλ. Ἰω. 14,30. **6.** Πρβλ. Ματθ. 8,17. Ἡσ. 53,4,11,12. **7.** Πρβλ. Α' Πέτρ. 2,24. **8.** Ἐφ. 4,8. Ψαλ. 67,19.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ χαραδριοῦ.

**15** Ἀλλ' ἐρεῖς μοι ὅτι ὁ χαραδριὸς ἀκάθαρτός ἐστι κατὰ τὸν Νόμον[1], καὶ πῶς φέρεται εἰς πρόσωπον τοῦ Σωτῆρος; Καὶ ὁ ὄφις ἀκάθαρτός ἐστι, καὶ ἐμαρτύρησεν Ἰωάννης, λέγων ὅτι «καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου»[2]. Διπλᾶ γάρ ἐστι τὰ κτίσματα, ἐπαινετὰ καὶ ψεκτά.

## Β'

### 3. Περὶ χαραδριοῦ πετεινοῦ.

**24** Ἔστιν πετεινὸν λεγόμενον χαραδριός, ὡς ἐν τῷ Δευτερονομίῳ γέγραπται[3].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ αὐτοῦ, ὅτι ὁλόλευκον πετεινὸν ὑπάρχει μὴ ἔχον μελανίαν, καὶ τὰ ἔνδοθεν αὐτοῦ ἀφοδεύματα θεραπεύει τοὺς ἀμβλυωποῦντας ὀφθαλμούς, ἐν ταῖς αὐλαῖς τῶν βασιλέων εὑρισκόμενος. Εἴ τις γὰρ εἴη νοσῶν, ἐκ τοῦ χαραδριοῦ γινώσκεται, ἢ ζῇ ἢ ἀποθνήσκει· ἐὰν ἡ νόσος τοῦ ἀνθρώπου ἐστὶν πρὸς θάνατον, ἀποστρέφει τὸ πρόσωπον αὐτοῦ ὁ χαραδριὸς ἀπὸ τοῦ νοσοῦντος ἀνθρώπου, καὶ πάντες γινώσκουσιν, ὅτι ἀποθνήσκει· ἐὰν δὲ ἡ νόσος τοῦ ἀνθρώπου ἐστὶν πρὸς ζωήν, ἀτενίζει ὁ χαραδριὸς πρὸς τὸν νοσοῦντα καὶ ὁ νοσῶν πρὸς τὸν χαραδριόν, καὶ πίνει ὁ χαραδριὸς τὴν νόσον τοῦ νοσοῦντος ἀνθρώπου καὶ ἵπταται εἰς τὸν αἰθέρα τοῦ ἡλίου καὶ καίει τὴν νόσον τοῦ νοσοῦντος ἀνθρώπου· καὶ σῴζεται ὁ χαραδριὸς καὶ ὁ νοσῶν ἅμα.

**26** Καλὸν οὖν ἐστιν τοῦτο λαβεῖν εἰς πρόσωπον τοῦ Σωτῆρος· ὁλόλευκος γάρ ἐστιν ὁ Κύριος ἡμῶν μὴ ἔχων μελανίαν ὅλως[4]. Εἶπεν γὰρ ὅτι ἐλεύσεται ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν[5]. Ἐλθὼν γὰρ ἐκ τῶν οὐρανῶν πρὸς τοὺς Ἰουδαίους ἀπέστρεψεν ἀπ' αὐτῶν τὴν θεότητα, ἐλθὼν δὲ πρὸς ἡμᾶς τὰ ἔθνη καὶ ἄρας ἡμῶν τὰς ἀσθενείας καὶ τὰς νόσους

**1.** Πρβλ. Λευϊτ. 11,13-19. Δευτ. 14,18-19. **2.** Ἰω. 3,14. Πρβλ. Ἀριθ. 21,4-9. **3.** Πρβλ. Δευτ. 14,18. Λευϊτ. 11,19. **4.** Πρβλ. Α' Ἰω. 1,5. **5.** Πρβλ. Ἰω. 14,30.



βαστάσας[1] ὑψώθη ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ· «ἀναβὰς γὰρ εἰς ὕψος ᾐχμαλώτευσεν τὴν αἰχμαλωσίαν»[2].

Ἀλλ' ἐρεῖ μοί τις ὅτι «ὁ χαραδριὸς ἀκάθαρτός ἐστιν κατὰ τὸν νόμον καὶ πῶς ἔρχεται εἰς πρόσωπον τοῦ Σωτῆρος»[3]; Ἀνταποκρινόμεθα αὐτῷ· καὶ ὁ ὄφις ἀκάθαρτός ἐστιν, καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι «καθὼς Μωϋσῆς ὕψωσεν τὸν ὄφιν ἐν τῷ ἐρήμῳ, οὕτως δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου»[4]. Διπλᾶ γάρ ἐστι τὰ κτίσματα, ἐπαινετὰ καὶ ψεκτά.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ χαραδριοῦ.

## Γ'

### Περὶ χαραδριοῦ καὶ νοσοῦντος ἀνθρώπου.

**25** Ἔστι πετεινὸν λεγόμενον χαραδριός, ὡς ἐν τῷ Δευτερονομίῳ γέγραπται[5].

Περὶ οὗ ὁ Φυσιολόγος ἔλεξεν, ὅτι ὅλον ἐστὶ λευκὸν μὴ ἔχον μελανίαν, καὶ τὰ ἔνδοθεν αὐτοῦ ἀφοδεύματα θεραπεύουσι τοὺς ἀμβλυωποῦντας ὀφθαλμούς, εὑρίσκεται δὲ ἐν ταῖς τῶν βασιλέων αὐλαῖς. Ἐάν τις νοσῶν ᾖ, ἐκ τοῦ χαραδριοῦ γινώσκεται, ἢ ζῇ ἢ ἀποθνήσκει· ἐὰν οὖν ἡ νόσος τοῦ ἀνθρώπου ἐστὶ πρὸς θάνατον, ἀποστρέφει ὁ χαραδριὸς ἀπὸ τοῦ νοσοῦντος τὸ πρόσωπον αὐτοῦ, καὶ πάντες γινώσκουσι, ὅτι ἀποθνήσκει· ἐὰν δὲ πρὸς ζωήν ἐστιν ἡ νόσος τοῦ ἀνθρώπου, ἀτενίζει ὁ χαραδριὸς τῷ νοσοῦντι καὶ ὁ νοσῶν χαραδριῷ, καὶ καταπίνει τὴν νόσον τοῦ νοσοῦντος ὁ χαραδριὸς καὶ ἀνίπταται εἰς τὸν αἰθέρα τοῦ ἡλίου καὶ καίει τὴν νόσον· καὶ σῴζεται ὅ τε χαραδρίων καὶ ὁ νοσῶν.

**27** Καλῶς οὖν ἐστι λαβεῖν τοῦτο εἰς πρόσωπον τοῦ Σωτῆρος· ὁλόλευκος γάρ ἐστιν ὁ Κύριος ἡμῶν μηδ' ὅλως ἔχων μελανίαν[6]· εἶπε γὰρ ὅτι εἰσελεύσεται ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν[7]. Ἐλθὼν γὰρ ὁ Κύριος ἐκ τῶν οὐρανῶν πρὸς τοὺς Ἰουδαίους ἀπέστρεψεν ἀπ' αὐτῶν τὴν θεότητα,

**1.** Πρβλ. Ματθ. 8,17. Ἡσ. 53,4,11,12. **2.** Ἐφ. 4,8. Ψαλ. 67,19. **3.** Πρβλ. Λευϊτ. 11,13-19. Δευτ. 14,18-19. **4.** Ἰω. 3,14. Πρβλ. Ἀριθ. 21,4-9. **5.** Πρβλ. Δευτ. 14,18. Λευϊτ. 11,19. **6.** Πρβλ. Α' Ἰω. 1,5. **7.** Πρβλ. Ἰω. 14,30.

ἐλθὼν δὲ καὶ πρὸ ἡμᾶς τὰ ἔθνη καὶ ἄρας ἡμῶν τὰς ἀσθεν[είας καὶ] τὰς νόσους βαστάσας[1] ὑψώθη ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ· «ἀναβὰς γὰρ εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν»[2].

Ἀλλ' ἐρεῖς μοι ὅτι χαραδριὸς ἀκάθαρτός ἐστι κατὰ τὸν νόμον[3]· καὶ πῶς φέρεται εἰς πρόσωπον τοῦ Σωτῆρος; Καὶ ὁ ὄφις ἀκάθαρτός ἐστι, καὶ μαρτυρεῖ Ἰωάννης λέγων ὅτι «καθὼς ὁ Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου»[4]. Διπλᾶ γάρ ἐστι τὰ κτίσματα, ἐπαινετὰ καὶ ψεκτά.

## Α'

### 4. Περὶ πελεκάνου.

**16** Καλῶς ὁ Δαβὶδ λέγει· «ὡμοιώθην πελεκᾶνι ἐρημικῷ»[5]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ πελεκάνου ὅτι φιλότεκνός ἐστι πάνυ· ὅταν γεννᾷ τοὺς **17** νεοσσοὺς καὶ ὀλίγον αὐξήσωσι, τύπτουσιν εἰς τὸ πρόσωπον τῶν γονέων· οἱ δὲ γονεῖς κολαφίζουσι τὰ τέκνα καὶ ἀποκτείνουσιν. Ὕστερον δὲ σπλαγχνίζονται οἱ τούτων γονεῖς, καὶ τρεῖς ἡμέρας πενθοῦσι τὰ τέκνα ἃ ἀπέκτειναν. Τῇ οὖν τρίτῃ ἡμέρᾳ ἡ τούτων μήτηρ ἑαυτῆς τὰς πλευρὰς **18** ἀναπτύσσει, καὶ τὰ αἵματα αὐτῆς στάζοντα ἐπὶ τὰ νεκρὰ σώματα τῶν νεοσσῶν ἐγείρει αὐτά.

Οὕτω καὶ ὁ Κύριος ἐν τῷ Ἡσαΐᾳ εἶπεν· «υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν»[6]. Ἐγέννησεν ἡμᾶς ὁ Δημιουργὸς πάσης κτίσεως, καὶ ἐτύψαμεν αὐτόν· πῶς οὖν ἐτύψαμεν; Ἐλατρεύσαμεν τῇ κτίσει παρὰ τὸν κτίσαντα[7]. Ἀνελθὼν οὖν ἐπὶ τὸ ὕψωμα τοῦ Σταυροῦ ὁ Σωτὴρ **19** ἡμῶν καὶ ἀνοίξας τὴν ἑαυτοῦ πλευράν, ἔσταξε τὸ αἷμα **[524]** καὶ τὸ ὕδωρ[8] εἰς σωτηρίαν καὶ ζωὴν αἰώνιον· τὸ μὲν αἷμα διὰ τὸν εἰπόντα· λαβὼν τὸ ποτήριον εὐλόγησε[9], τὸ δὲ ὕδωρ ἐπὶ τὸ βάπτισμα τῆς μετανοίας[10].

---

**1.** Πρβλ. Ματθ. 8,17. Ἡσ. 53,4,11,12. **2.** Ἐφ. 4,8. Ψαλ. 67,19. **3.** Πρβλ. Λευϊτ. 11,13-19. Δευτ. 14,18-19. **4.** Ἰω. 3,14. Πρβλ. Ἀριθ. 21,4-9. **5.** Ψαλ. 101,7. **6.** Ἡσ. 1,2. **7.** Πρβλ. Ρωμ. 1,25. **8.** Πρβλ. Ἰω. 19,34. **9.** Πρβλ. Ματθ. 26,27. **10.** Πρβλ. Μάρκ. 1,4. Λουκ. 3,3. Πράξ. 13,24. 19,4.



Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ πελεκάνου.

## Β'

### 4. Περὶ πελεκάνου.

**28** Ὁ μὲν Δαβὶδ λέγει· «Ὁμοιώθην πελεκᾶνι ἐρημικῷ»[1]. **[525]** Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ πελεκάνου, ὅτι φιλότεκνός ἐστιν πάνυ· ὅταν οὖν γεννᾷ τοὺς νεοσσούς, τύπτουσιν εἰς τὸ πρόσωπον τῶν γονέων ἐν τῷ αὐξηθῆναι μικρὸν αὐτούς· οἱ δὲ γονεῖς κολαφίζουσι τὰ τέκνα καὶ ἀποκτείνουσιν αὐτά· ὕστερον σπλαγχνίζονται οἱ τούτων γονεῖς καὶ πενθοῦσιν τὰ τέκνα τρεῖς ἡμέρας θεωροῦντες νεκρά· τῇ οὖν τρίτῃ ἡμέρᾳ ἡ τούτων μήτηρ ἑαυτῆς τὰς πλευρὰς ἀναπλήσσει, καὶ τὸ αἷμα αὐτῆς στάζει ἐπὶ τὰ νεκρὰ σώματα τῶν νεοσσῶν, ‹καὶ› ἐγείρει αὐτά.

Οὕτω καὶ ὁ Κύριος ἐν τῷ Ἡσαΐᾳ εἶπεν· «υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν»[2]. Ἐγέννησεν ἡμᾶς ὁ Δημιουργὸς πάσης τῆς κτίσεως, καὶ ἐτύψαμεν αὐτὸν εἰς τὸ πρόσωπον. Πῶς οὖν ἐτύψαμεν αὐτόν; προσεκυνήσαμεν τῇ κτίσει παρὰ τὸν κτίσαντα[3]. Ἀνελθὼν οὖν ἐπὶ τὸ ὕψωμα τοῦ Σταυροῦ ὁ Σωτὴρ καὶ ἀνοίξας τὴν ἑαυτοῦ πλευρὰν ἔσταξεν τὸ αἷμα καὶ τὸ ὕδωρ[4] εἰς σωτηρίαν καὶ ζωὴν αἰώνιον· τὸ αἷμα διὰ τὸν εἰπόντα· λαβὼν τὸ ποτήριον εὐλόγησεν[5]· τὸ ὕδωρ διὰ **30** τὸ βάπτισμα τῆς μετανοίας[6].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ πελεκάνου.

## Γ'

### Περὶ πελεκάνου πετεινοῦ. Φύσις πρώτη.

**29** Ὁ μὲν Δαβὶδ λέγει· «ὡμοιώθην πελεκάνῳ ἐρημικῷ»[7]. Ὁ δὲ Φυσιολόγος ἔλεξεν περὶ τούτου, ὅτι πάνυ ἐστὶ φιλότεκνος· ὅταν οὖν γεννᾷ τοὺς νεοττούς, τύπτουσι τὸ πρόσωπον αὐτοῦ οἱ νεοττοί, καὶ ὅταν ὀλίγον αὐξηθῶσι, κολαφίζουσι καὶ ἀποκτενοῦ-

---

**1.** Ψαλ. 101,7. **2.** Ἡσ. 1,2. **3.** Πρβλ. Ρωμ. 1,25. **4.** Πρβλ. Ἰω. 19,34. **5.** Πρβλ. Ματθ. 26,27. **6.** Πρβλ. Μάρκ. 1,4. Λουκ. 3,3. Πράξ. 13,24. 19,4. **7.** Ψαλ. 101,7.

σι τὰ τέκνα· ὕστερον σπλαγχνίζονται καὶ τρεῖς ἡμέρας πενθοῦσι ἀποκτείναντες τὰ τέκνα· τῇ οὖν τρίτῃ ἡμέρᾳ ἀναπτύσσει ἡ τούτων μήτηρ τὰς πτέρυγας καὶ σταλάσσει αἷμα δὲ ⟨ἐπὶ⟩ τὰ τῶν νεοττῶν νεκρὰ σώματα, καὶ ἐγείρονται.

Οὕτω καὶ ἐν τῷ Ἡσαΐᾳ γέγραπται· «υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν»[1]. Ἐγέννησεν ἡμᾶς ὁ Δημιουργὸς πάσης κτίσεως, καὶ ἐτύψαμεν αὐτὸν τὴν κτίσιν παρὰ τὸν κτίσαντα λατρεύσαντες[2]. Ἀναβὰς οὖν ἐν τῷ Σταυρῷ ὁ Σωτὴρ ἡμῶν καὶ νυγείσης αὐτοῦ τῆς πλευρᾶς, ἀπέσταξε τὸ αἷμα καὶ τὸ ὕδωρ[3] εἰς σωτηρίαν καὶ ζωὴν αἰώνιον· καὶ τὸ μὲν αἷμα διὰ τὸν εἰπόντα· λαβὼν τὸ ποτήριον εὐλόγησεν[4], τὸ δὲ ὕδωρ διὰ τοῦ βαπτίσματος τῆς μετανοίας[5].

### Δευτέρα φύσις τοῦ πελεκάνου.

**31** Ὁ πελεκὰν οὗτος ὄρνεόν ἐστιν· ὁ ὄφις πολὺ ἐχθραίνει τῶν νεοττῶν αὐτοῦ· αὐτὸς δὲ τί μηχανᾶται; Εἰς ὕψος πήγνυσιν αὐτοῦ τὴν καλιάν, πανταχοῦ περιφυλάσσει αὐτὴν διὰ τὸν ὄφιν. Τί οὖν ποιεῖ ὁ κακομήχανος ὄφις; Περισκοπεῖ, ὅθεν πνεῖ ὁ ἄνεμος, κἀκεῖθεν ἐμφυσᾷ τοῖς νεοσσοῖς τὸν ἰὸν καὶ τελευτῶσιν. Ἔρχεται οὖν ὁ πελεκᾶς καὶ θεωρεῖ, ὅτι ἀπέθανον αὐτοῦ τὰ παιδία, ⟨καὶ σκοπεῖ νεφέλην⟩ καὶ πετᾶται εἰς ὕψος καὶ τύπτει αὐτοῦ μετὰ τῶν πτερῶν τὰς πλευράς, καὶ ἐξέρχεται αἷμα, καὶ ⟨διὰ τῆς νεφέλης⟩ ἐπιστάζει τούτοις, καὶ ἐγείρονται.

Λαμβάνεται οὖν ὁ πελεκᾶς εἰς τὸν Κύριον, τὰ δὲ παιδία αὐτοῦ ὁ Ἀδὰμ καὶ ἡ Εὔα καὶ ἡ ἡμετέρα φύσις, ἡ δὲ καλιὰ ὁ παράδεισος καὶ ὁ ὄφις ὁ ἀποστάτης διάβολος· ἐνεφύσησε γὰρ τοῖς πρωτοπλάστοις διὰ τῆς παρακοῆς, καὶ γεγόνασιν νεκροὶ τῇ ἁμαρτίᾳ[6]. Ὁ οὖν Κύριος ἡμῶν καὶ Θεός, ὑψωθεὶς ἐπὶ τοῦ τιμίου Σταυροῦ διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην καὶ νυγεὶς τὴν πλευράν[7], διὰ τῆς τοῦ Ἁγίου Πνεύματος νεφέλης ζωὴν ἡμῖν ἐδωρήσατο αἰώνιον.

**1.** Ἡσ. 1,2. **2.** Πρβλ. Ρωμ. 1,25. **3.** Πρβλ. Ἰω. 19,34. **4.** Πρβλ. Ματθ. 26,27. **5.** Πρβλ. Μάρκ. 1,4. Λουκ. 3,3. Πράξ. 13,24. 19,4. **6.** Πρβλ. Ἐφ. 2,1. Κολ. 2,13. **7.** Πρβλ. Ἰω. 19,34.



## Α′

### 5. Περὶ νυκτικόρακος.

**19** Φησὶν ὁ Ψαλμῳδός· «ἐγενόμην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ»[1]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ νυκτικόρακος ὅτι τοῦτο τὸ πετεινὸν ἀγαπᾷ τὴν νύκτα ὑπὲρ τὴν ἡμέραν.

Οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἠγάπησεν ἡμᾶς τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους[2], τὸν λαὸν τῶν ἐθνῶν ὑπὲρ τὸν λαὸν τῶν Ἰουδαίων, τῶν καὶ τὴν υἱοθεσίαν καὶ τὴν τῶν πατέρων ἐπαγγελίαν **21** κληρωσαμένων. Ἐκ τούτου καὶ ὁ Σωτὴρ ἔλεγε· «μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ Πατὴρ δοῦναι ὑμῖν τὴν βασιλείαν»[3], καὶ τὰ ἑξῆς.

Ἀλλ' ἐρεῖς μοι ὅτι ὁ νυκτικόραξ ἀκάθαρτός ἐστι κατὰ τὸν Νόμον[4], καὶ πῶς φέρεται εἰς πρόσωπον τοῦ Σωτῆρος; Καλῶς· καὶ πῶς ὁ Ἀπόστολος λέγει· «τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν»[5]; ἑαυτὸν ἐταπείνωσεν, ἵνα πάντας σώσῃ **[532]** καὶ ὑψωθῶμεν[6].

**22** Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ νυκτικόρακος.

## Β′

### 5. Περὶ νυκτικόρακος.

**32** Φησὶν ὁ ψαλμῳδός· «ἐγενόμην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ»[7].

Φησὶν ὁ Φυσιολόγος· τὸ πετεινὸν τοῦτό ἐστιν ἀγαπῶν τὴν νύκτα ὑπὲρ τὴν ἡμέραν.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἠγάπησεν ἡμᾶς, τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους[8], τὸν λαὸν τῶν ἐθνῶν, ὑπὲρ τῶν Ἰουδαίων ⟨τῶν⟩ καὶ τὴν τῶν πατέρων ἐπαγγελίαν κομισαμένων. Ἐκ τούτου καὶ ὁ Σωτὴρ ἔλεγεν· «μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ Πατὴρ δοῦναι ὑμῖν τὴν βασιλείαν»[9] καὶ τὰ ἑξῆς.

**1.** Ψαλ. 101,7. **2.** Πρβλ. Ἡσ. 9,1. Ματθ. 4,16. Λουκ. 1,79. **3.** Λουκ. 12,32. **4.** Πρβλ. Λευϊτ. 11,17. Δευτ. 14,17. **5.** Β′ Κορ. 5,21. **6.** Πρβλ. Β′ Κορ. 11,7. **7.** Ψαλ. 101,7. **8.** Πρβλ. Ἡσ. 9,1. Ματθ. 4,16. Λουκ. 1,79. **9.** Λουκ. 12,32.

Ἀλλ' ἐρεῖς μοι ὅτι ὁ νυκτικόραξ ἀκάθαρτός ἐστιν κατὰ τὸν νόμον[1], καὶ πῶς ἀναφέρεται εἰς πρόσωπον τοῦ Σωτῆρος; Καλῶς ὁ ἀπόστολος λέγει· τὸν μὴ γνώσαντα ἁμαρτίαν[2] ἑαυτὸν ἐταπείνωσεν, ἵνα πάντας σώσῃ καὶ ὑψώσῃ[3].

## Γ'

## Περὶ νυκτικόρακος.

**33** Φησὶν ὁ ψαλμῳδός· «ἐγενόμην ὡσεὶ νυκτοκόραξ ἐν οἰκοπέδῳ· ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος»[4]. Ὁ δὲ Φυσιολόγος περὶ τούτου· ὅτι τοῦτο τὸ πετεινὸν ἀγαπᾷ τὴν νύκτα ὑπὲρ τὴν ἡμέραν.

Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἠγάπησεν ἡμᾶς, τοὺς ἐν σκότει καθημένους[5], τὸν λαὸν τῶν ἐθνῶν, ὑπὲρ τοὺς Ἰουδαίους τού⟨ς⟩ καὶ τὴν υἱοθεσίαν καὶ τὴν τῶν πατέρων εὐαγγελίαν κληρωσαμένων. Ἐκ τούτου καὶ ὁ Σωτὴρ ἡμῶν ἔλεγε· «μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ Πατὴρ δοῦναι ὑμῖν τὴν βασιλείαν»[6] καὶ τὰ ἑξῆς.

Ἀλλ' ἐρεῖς μοι ὅτι ὁ νυκτοκόραξ ἀκάθαρτός ἐστι κατὰ τὸν νόμον[7], καὶ πῶς φαίνεται εἰς πρόσωπον τοῦ Σωτῆρος; Καλῶς ὁ ἀπόστολος λέγει· τὸν μὴ γινώσκοντα ἁμαρτίαν[8]· ἑαυτὸν ἐταπείνωσεν, ἵνα πάντας σώσῃ, καὶ ἵνα ἡμεῖς ὑψωθῶμεν[9].

## Α'

## 6. Περὶ ἀετοῦ.

**22** Ὁ μὲν Δαβὶδ λέγει· «ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου»[10]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ἀετοῦ ὅτι ὅταν γηράσῃ, βαρύνονται αὐτοῦ οἱ ὀφθαλμοὶ καὶ αἱ πτέρυγες καὶ ἀμβλυωπεῖ. Τί οὖν ποιεῖ; ζητεῖ πηγὴν **23** ὕδατος καθαράν, καὶ ἀνίπταται εἰς τὸν αἰθέρα τοῦ ἡλίου, καὶ καίει τὰς πτέρυγας

1. Πρβλ. Λευϊτ. 11,17. Δευτ. 14,17. 2. Πρβλ. Β' Κορ. 5,21. 3. Πρβλ. Β' Κορ. 11,7. 4. Ψαλ. 101,7-8. 5. Πρβλ. Ἡσ. 9,1. Ματθ. 4,16. Λουκ. 1,79. 6. Λουκ. 12,32. 7. Πρβλ. Λευϊτ. 11,17. Δευτ. 14,17. 8. Πρβλ. Β' Κορ. 5,21. 9. Πρβλ. Β' Κορ. 11,7. 10. Ψαλ. 102,5.



αὐτοῦ τὰς παλαιὰς καὶ τὴν ἀμαυρίαν τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ καταβαίνει ἐπὶ τὴν πηγήν, καὶ βαπτίζεται τρίς, καὶ ἀνακαινίζεται, καὶ νέος γίνεται.

Τοῦτον οὖν τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, εἰ τὸ τοῦ παλαιοῦ ἀνθρώπου ἔχεις ἔνδυμα[1] καὶ οἱ ὀφθαλμοὶ τῆς καρδίας σου ἀμβλυωποῦσι, **24** ζήτησον τὴν νοερὰν πηγήν, τὸν τοῦ Θεοῦ Λόγον, τὸν λέγοντα· «ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος»[2], καὶ ἀνίπτασο εἰς τὸ ὕψωμα τοῦ ἡλίου τῆς δικαιοσύνης[3] Ἰησοῦ Χριστοῦ, καὶ ἀπόδυσαι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ[4], καὶ βάπτισαι τρὶς ἐν τῇ ἀεννάῳ πηγῇ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος[5]· καὶ ἀπόδυσαι τὸν παλαιὸν ἄνθρωπον, τουτέστι τὸ παλαιὸν ἔνδυμα τοῦ διαβόλου, καὶ ἔνδυσαι τὸν νέον τὸν κατὰ Θεὸν κτισθέντα[6], καὶ πληρωθήσεται καὶ ἐν **25** σοὶ ἡ προφητεία Δαβίδ· «ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου»[7].

## Β'

## 6. Περὶ ἀετοῦ.

**34** Ὁ μὲν Δαβὶδ λέγει· «ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου»[8].

**[524]** Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ ἀετοῦ, ὅτι τοιαύτην φύσιν ἔχει· ὅταν γηράσῃ, βαρύνονται αὐτοῦ οἱ ὀφθαλμοὶ καὶ αἱ πτέρυγες καὶ ἀμβλυωπεῖ. Τί οὖν ποιεῖ; Ζητεῖ πηγὴν ὕδατος καθαρὰν καὶ ἀνίπταται εἰς τὸν αἰθέρα τοῦ ἡλίου καὶ καίει τὰς πτέρυγας αὐτοῦ τὰς παλαιὰς καὶ τὴν ἀμαυρίαν τῶν ὀφθαλμῶν αὐτοῦ· καὶ καταβαίνει ἐπὶ τὴν πηγὴν καὶ βαπτίζεται τρίτον καὶ ἀνακαινίζεται.

Τοῦτον οὖν τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, εἰ τὸ τοῦ παλαιοῦ ἀνθρώπου ἔχεις ἔνδυμα[9] καὶ οἱ ὀφθαλμοὶ τῆς καρδίας σου ἀμβλυωποῦσιν, ζήτησον τὴν νοερὰν πηγήν, τὸν τοῦ Θεοῦ Λόγον τὸν λέγοντα· «ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος»[10],

1. Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. 2. Ἱερ. 2,13. 3. Πρβλ. Μαλ. 3,20. 4. Πρβλ. Κολ. 3,9. 5. Πρβλ. Ματθ. 28,19. 6. Πρβλ. Ἐφ. 4,24. Κολ. 3,10. 7. Ψαλ. 102,5. 8. Ἔνθ' ἀν. 9. Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. 10. Ἱερ. 2,13.

καὶ ἀνυψώθητι εἰς τὸ **36** ὕψωμα τοῦ ἡλίου τῆς δικαιοσύνης[1], Ἰησοῦ Χριστοῦ, ἀποδυσάμενος τὸ ἔνδυμα τοῦ παλαιοῦ ἀνθρώπου σὺν ταῖς πράξεσιν [αὐτ]οῦ[2], καὶ βάπτισαι τρὶς ἐν τῇ ἀεννάῳ πηγῇ εἰς τὸ ὄνομα τοῦ Π[ατρό]ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος[3], καὶ ἀπόδυσαι τὸν παλαιὸν ἄνθρωπον, [τουτ]έστιν τὸ παλαιὸν ἔνδυμα τοῦ διαβόλου, καὶ ἔνδυσαι τὸν νέον ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα[4], καὶ πληρωθήσεται ἐν σοὶ ἡ προφητεία τοῦ Δαβίδ· «ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου»[5].

## Γ′

### Περὶ ἀετοῦ, πῶς ἀνακαινίζεται.

**35** Ὁ μὲν Δαβὶδ λέγει· «ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου»[6].

Ὁ δὲ Φυσιολόγος εἶπεν, ὅτι ὅταν γηράσῃ, βαρύνονται αὐτοῦ οἱ ὀφθαλμοὶ καὶ αἱ πτέρυγες καὶ ἀμβλυωπεῖ. Τί οὖν ποιεῖ; Ζητεῖ πηγὴν ὕδατος καθαροῦ καὶ ἀνίπταται εἰς τὸν αἰθέρα τοῦ ἡλίου καὶ καίει τὰς πτέρυγας αὐτοῦ τὰς παλαιὰς καὶ τὴν ἀμαυρότητα τῶν ὀφθαλμῶν αὐτοῦ καὶ καταβαίνει ἐπὶ τὴν πηγὴν καὶ βαπτίζεται τρεῖς καὶ ἀνακαινίζεται καὶ νέος γίνεται.

Τοῦτον οὖν τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, εἰ τὸ τοῦ παλαιοῦ ἀνθρώπου ἔχεις ἔνδυμα[7] καὶ οἱ ὀφθαλμοὶ τῆς καρδίας σου ἀμβλυωποῦσιν, ζήτησον τὴν νοερὰν πηγήν, τὸν τοῦ Θεοῦ Λόγον τὸν εἰπόντα· «ἐμὲ ἐγκατέλειπον, πηγὴν ὕδατος ζῶντος»[8], καὶ ἀνίπτασο εἰς τὸ ὕψωμα τοῦ τῆς δικαιοσύνης **37** ἡλίου[9], Ἰησοῦ Χριστοῦ, καὶ ἀποδυσάμενος τὸ τοῦ παλαιοῦ ἀνθρώπου ἔνδυμα σὺν ταῖς πράξεσιν αὐτοῦ[10] βάπτισαι τρεῖς ἐν τῇ ἀεννάῳ πηγῇ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος[11] καὶ ἀπόδυσαι τὸ παλαιὸν ἔνδυμα, τουτέστι τὸν διάβολον, καὶ ἔνδυσαι τὸν νέον ἄνθρωπον τὸν κατὰ Θεὸν κτι-

**1.** Πρβλ. Μαλ. 3,20. **2.** Πρβλ. Κολ. 3,9. **3.** Πρβλ. Ματθ. 28,19. **4.** Πρβλ. Ἐφ. 4,22-24. **5.** Ψαλ. 102,5. **6.** Ψαλ. 102,5. **7.** Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. **8.** Ἱερ. 2,13. **9.** Πρβλ. Μαλ. 3,20. **10.** Πρβλ. Κολ. 3,9. **11.** Πρβλ. Ματθ. 28,19.



σθέντα[1], καὶ πληρωθήσεται ἡ προφητεία Δαβὶδ ἐν σοί· «ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου»[2].

## Α′

### 7. Περὶ φοίνικος πετεινοῦ.

**25** Ὁ Κύριος ἔλεξεν ἐν τῷ Εὐαγγελίῳ· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτὴν[3] καὶ οἱ Ἰουδαῖοι ἠγανάκτησαν ἐπὶ τῷ λόγῳ.

Ἔστι πετεινὸν ἐν τῇ Ἰνδίᾳ, φοῖνιξ λεγόμενον· κατὰ πεντακόσια ἔτη εἰσέρχεται εἰς τὰ ξύλα τοῦ Λιβάνου, καὶ γεμίζει τὰς πτέρυγας αὐτοῦ ἀρωμάτων, καὶ σημαίνει τῷ ἱερεῖ τῆς Ἡλιουπόλεως τῷ μηνὶ τῷ νέῳ, **26** τῷ Νισὰν ἢ τῷ Ἀδάρ, τουτέστι τῷ Φαμενὼθ ἢ τῷ Φαρμουθί. Ὁ δὲ ἱερεὺς σημανθεὶς ἔρχεται, καὶ ἐμπιπλᾷ τὸν βωμὸν ἀμπελίνων ξύλων· τὸ δὲ πετεινὸν εἰσέρχεται εἰς Ἡλιούπολιν, γεγομωμένον τῶν ἀρωμάτων, καὶ ἀναβαίνει ἐπὶ τὸν βωμόν, καὶ αὐτὸ τὸ πῦρ ἀνάπτει καὶ ἑαυτὸν καίει. Τῇ δὲ ἐπαύριον ὁ ἱερεύς, ἐρευνῶν τὸν βωμόν, εὑρίσκει σκώληκα ἐν τῇ σποδῷ· **27** τῇ δὲ δευτέρᾳ ἡμέρᾳ εὑρίσκει αὐτὸν νεοσσὸν πετεινοῦ, καὶ τῇ τρίτῃ ἡμέρᾳ εὑρίσκει αὐτὸν πετεινὸν τέλειον, καὶ ἀσπάζεται τὸν ἱερέα, καὶ πορεύεται εἰς τὸν ἴδιον αὐτοῦ τόπον.

**[525]** Εἰ οὖν τὸ πετεινὸν τοῦτο ἐξουσίαν ἔχει ἑαυτὸ ἀποκτεῖναι καὶ ζωοποιῆσαι, πῶς οἱ ἀνόητοι Ἰουδαῖοι ἀγανακτοῦσι κατὰ τοῦ Κυρίου εἰρη**28**κότος· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν[4];

Ὁ οὖν φοῖνιξ πρόσωπον λαμβάνει τοῦ Σωτῆρος ἡμῶν· ἐλθὼν γὰρ ἐκ τῶν οὐρανῶν, τὰς δύο πτέρυγας αὐτοῦ ἁπλώσας, μεστὰς εὐωδίας ἤνεγκε, τουτέστιν ἐναρέτων οὐρανίων λόγων, ἵνα καὶ ἡμεῖς δι' εὐχῶν ἐκτείνωμεν τὰς χεῖρας, καὶ ἀναπέμψωμεν εὐωδίαν πνευματικὴν διὰ πολιτειῶν ἀγαθῶν.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ φοίνικος.

**1.** Πρβλ. Ἐφ. 4,24. Κολ. 3,10. **2.** Ψαλ. 102,5. **3.** Πρβλ. Ἰω. 10,18. **4.** Ἐνθ' ἀν.

## Β′

### 7. Περὶ φοίνικος πετεινοῦ.

**38** Ὁ Κύριος ἔλεξεν ἐν Εὐαγγελίοις λέγων· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν[1] καὶ οἱ Ἰουδαῖοι ἠγανάκτησαν ἐπὶ τῷ λόγῳ.

Ἔστιν πετεινὸν ἐν τῇ Ἰνδίᾳ φοῖνιξ λεγόμενον· καὶ κατὰ πεντακόσια ἔτη ἔρχεται εἰς τὰ ξύλα τοῦ Λιβάνου καὶ γομοῖ τὰς πτέρυγας αὐτοῦ ἀρωμάτων· καὶ σημαίνει τῷ ἱερεῖ τῆς Ἡλιουπόλεως τῷ μηνὶ τῷ νέῳ Νισὰν ἢ Ἀδάρ, τουτέστι τῷ Φαμενὼθ ἢ τῷ Φαρμουθί· τὸ δὲ πετεινὸν εἰσέρχεται ἐν τῇ Ἡλιουπόλει γεγεμισμένον τῶν ἀρωμάτων, ὁ δὲ ἱερεὺς σημανθεὶς ἔρχεται καὶ ἐμπιπλᾷ τὸν βωμὸν ἀμπελίνων ξύλων· τὸ δὲ πετεινὸν ἀναβαίνει ἐπὶ τὸν βωμὸν καὶ ἀνάπτει ἑαυτῷ τὸ πῦρ καὶ κατακαίει αὐτόν. Τῇ δὲ ἐπαύριον ὁ ἱερεὺς ἐρευνῶν τὸν βωμὸν εὑρίσκει σκώληκα ἐν τῇ σποδῷ· τῇ δὲ δευτέρᾳ ἡμέρᾳ εὑρίσκει αὐτὸ νεοσσὸν πετεινοῦ· τῇ δὲ τρίτῃ ἡμέρᾳ εὑρίσκει αὐτὸ πετεινὸν τέλειον. Καὶ ἀσπάζεται τὸν ἱερέα καὶ πορεύεται εἰς τὸν ἴδιον αὐτοῦ τόπον.

**40** Εἰ οὖν τὸ πετεινὸν τοῦτο ἐξουσίαν ἔχει ἑαυτὸν ἀποκτεῖναι καὶ ζωοποιῆσαι, πῶς οἱ ἀνόητοι Ἰουδαῖοι ἀγανακτοῦσιν κατὰ τοῦ Κυρίου, εἰρηκότος αὐτοῦ· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν[2]; Ὁ φοῖνιξ πρόσωπον λαμβάνει τοῦ Σωτῆρος ἡμῶν. Ἐλθὼν γὰρ ἐκ τῶν οὐρανῶν καὶ τὰς δύο πτέρυγας αὐτοῦ ἁπλώσας μετὰ εὐωδίας ἤνεγκεν, τουτέστιν ἵνα ἄρῃ τὸν λόγον τὸν οὐράνιον, ἵνα καὶ ἡμεῖς ἐκτείνωμεν τὰς χεῖρας [καὶ ἀ]ναπέμψωμεν εὐωδίαν πνευματικὴν διὰ πολιτειῶν ἀγαθῶν.

## Γ′

### Περὶ φοίνικος.

**39** Ὁ Κύριος ἔλεξεν ἐν τῷ Εὐαγγελίῳ· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν[3], καὶ οἱ Ἰουδαῖοι ἠγανάκτησαν ἐπὶ τῷ λόγῳ.

**1.** Πρβλ. Ἰω. 10,18. **2.** Ἐνθ' ἀν. **3.** Πρβλ. Ἰω. 10,18.



Ὁ δὲ Φυσιολόγος ἔφη, ὅτι ἔστι πετεινὸν φοῖνιξ λεγόμενον. Κατὰ πεντακόσια ἔτη εἰσέρχεται εἰς τὰ τοῦ Λιβάνου ξύλα καὶ γεμίζει τὰς πτέρυγας ἀρωμάτων καὶ σημαίνει τῷ ἱερεῖ τῆς Ἡλιουπόλεως ἐν τῷ μηνὶ τῷ νέῳ, τουτέστιν τῷ Φαρμουθί. Καὶ εἰσέρχεται ἐν Ἡλιουπόλει γέμον τῶν ἀρωμάτων, ὁ δὲ ἱερεὺς σημανθεὶς εἰσέρχεται καὶ ἐμπιπλᾷ τὸν βωμόν. Τὸ δὲ πετεινὸν ἀναβαίνει ἐπὶ τὸν βωμὸν καὶ αὐτῷ τῷ πυρὶ καίεται. Τῇ δὲ ἐπαύριον ὁ ἱερεὺς ἐρευνῶν τὸν βωμὸν εὑρίσκει ἐν τῇ σπο(ν)δῇ σκώληκα· καὶ τῇ τρίτῃ ἡμέρᾳ εὑρίσκει αὐτὸ πετεινὸν τέλειον· καὶ ἀσπάζεται τὸν ἱερέα καὶ πορεύεται εἰς τὸν ἴδιον τόπον.

**41** Εἰ οὖν τὸ πετεινὸν τοῦτο ἐξουσίαν ἔχει ἑαυτὸ ἀποκτεῖναι καὶ ζωοποιῆσαι, πῶς οἱ ἀνόητοι Ἰουδαῖοι ἀγανακτοῦσι κατὰ τοῦ Κυρίου εἰρηκότος· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν[1]; ὁ οὖν φοῖνιξ πρόσωπον λαμβάνει τοῦ Σωτῆρος. Ἐλθὼν γὰρ ἐκ τῶν οὐρανῶν τὰς πτέρυγας αὐτοῦ ἁπλώσας μεστὰς εὐωδίας ἤνεγκεν ἐν ἀέρι τὸν οὐράνιον λόγον, καὶ ἵνα καὶ ἡμεῖς ἐκτείνωμεν τὰς χεῖρας καὶ ἀναπέμψωμεν εὐωδίαν πνευματικὴν διὰ πολιτειῶν ἀγαθῶν.

## Α′

### 8. Περὶ ἔποπος πετεινοῦ.

**28** Γέγραπται· ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω[2]. **29** Καὶ πῶς εἰσί τινες πατραλοῖαι καὶ μητραλοῖαι;

Ἔστι πετεινὸν λεγόμενον ἔποψ. Τὰ τέκνα τούτων, ἐὰν ἴδωσι τοὺς γονεῖς αὐτῶν γηράσαντας, ἐκτίλλουσι τὰς πτέρυγας αὐτῶν τὰς παλαιάς, καὶ λείχουσι τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ θάλπουσι τοὺς γονεῖς ὑπὸ τὰς πτέρυγας αὐτῶν, καὶ νεοσσοποιοῦσιν αὐτοὺς καὶ νέοι γίνονται, λέγοντες **30** τοῖς ἑαυτῶν γονεῦσιν· ὥσπερ ὑμεῖς ἐνεοσσοποιήσατε ἡμᾶς καὶ κεκοπιάκατε κάμνοντες καὶ τρέφοντες ἡμᾶς, καὶ ἡμεῖς τὸ ὅμοιον ποιήσωμεν ὑμῖν.

Καὶ πῶς οἱ ἀνόητοι ἄνθρωποι οὐκ ἀγαπῶσι τοὺς ἑαυτῶν

**1.** Πρβλ. Ἰω. 10,18. **2.** Πρβλ. Ἐξ. 21,16. Λευϊτ. 20,9.

γονεῖς, [τοὺς ἐκτρέφοντας αὐτοὺς καὶ παιδεύοντας ἐν νουθεσίᾳ Κυρίου];

Καλῶς εἶπεν ὁ Φυσιολόγος περὶ τοῦ ἔποπος.

## Β'

### 8. [Περ]ὶ ἔποπος.

**42** Γέγραπται· ὁ κακολογῶν π[ατέρα] ἢ μητέρα τελευτάτω[1]. Καὶ πῶς εἰσί τινες πατρολ[ῷε]ς;

Ἔστιν πετεινὸν λεγόμενον ἔποψ. Τὰ τέκνα τούτων ὅταν ἴδωσιν τοὺς γονεῖς ἑαυτῶν γηράσαντας, ἐκτίλλουσιν τὰς πτέρυγας αὐτῶν τὰς παλαιὰς καὶ λείχουσι τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ θάλπουσιν τοὺς γονεῖς ὑπὸ τὰς πτέρυγας αὐτῶν καὶ νοσσοποιοῦσιν αὐτούς, καὶ νέοι γίνονται· λέγουσιν οὖν· ὑμεῖς ἐνεο⟨σσο⟩ποιήσατε ἡμᾶς καὶ κεκμήκατε κάμνοντες καὶ τρέφοντες ἡμᾶς· καὶ ἡμεῖς κατὰ τὸ ὅμοιον ἐποιήσαμεν ὑμῖν.

Καὶ πῶς οἱ ἀνόητοι ἄνθρωποι οὐκ ἀγαπῶσιν τοὺς ἑαυτῶν γονεῖς;

## Γ'

### [Π]ερὶ πετεινοῦ ἔποψ.

**43** Ἔστι πετεινὸν λεγόμενον ἔποψ· τὰ τέκνα τούτων ἐὰν ἴδωσι τοὺς ἑαυτῶν γονεῖς γηράσαντας, ἐκτίλλουσι τὰς πτέρυγας αὐτῶν τὰς παλαιὰς καὶ λείχουσι τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ θάλπουσι τούτους ὑπὸ τὰς πτέρυγας αὐτῶν καὶ νεοσσοποιοῦσιν αὐτούς, καὶ νέοι γίνονται, λέγοντες τοῖς γονεῦσιν αὐτῶν· ὥσπερ ἡμᾶς ἐνεοσσοποιήσατε καὶ κεκοπιάκατε κάμνοντες καὶ τρέφοντες ἡμᾶς, καὶ ἡμεῖς τὸ ὅμοιον ποιήσομεν ὑμῖν.

Οὕτω καὶ σύ, ὦ ἄνθρωπε, τίμησον τὸν πατέρα σου καὶ τὴν μητέρα σου[2] τούς σε ὠδινήσαντας καὶ κεκοπιακότας ὑπὲρ σοῦ.

**1.** Πρβλ. Ἐξ. 21,16. Λευϊτ. 20,9. **2.** Πρβλ. Ἐξ. 20,12.



## Α'

### 9. Περὶ ὀνάγρου.

**31** Γέγραπται ἐν τῷ Ἰώβ· τίς ἀφῆκεν ὄναγρον ἐλεύθερον[1]; Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ὀνάγρου ὅτι ἀγελάρχης ἐστί, καὶ ἐὰν γεννῶσιν αἱ νομάδες ἄρρενας, ὁ πατὴρ αὐτῶν ὅλα τὰ αἰδοῖα αὐτῶν τέμνει, ἵνα μὴ σπερματίζωσιν.

**32** Οἱ πατριάρχαι σπέρμα σωματικὸν ἐζήτουν σπεῖραι, οἱ δὲ Ἀπόστολοι, τὰ νοερὰ τέκνα, ἐγκράτειαν ἤσκησαν, οὐράνιον αἰτησάμενοι σπέρμα, ὡς γέγραπται· «εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα»[2]. Ἡ παλαιὰ σπέρμα ἐπαγγελίας, ἡ δὲ νέα ἐγκρατείας.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ὀνάγρου.

## Β'

### 9. Περὶ ὀνάγρου.

**44** Γέγραπται ἐν τῷ Ἰώβ· τίς ἀφῆκεν ὄναγρον ἐλεύθερον[3];

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ ὀνάγρου, ὅτι ἀγελάρχης ἐστίν· ἐὰν γεννῶσιν αἱ νομάδες ἄῤῥενας, ὁ πατὴρ αὐτῶν ὅλα τὰ αἰδοῖα τέμνει, ἵνα μὴ σπερματίζωσιν.

Οἱ μὲν πατριάρχαι σπέρμα σωματικὸν ἐζήτουν σπεῖραι, οἱ δὲ Ἀπόστολοι νοερὰ τέκνα· ἐγκράτειαν ἤσκησαν οὐράνιον αἰτησάμενοι σπέρμα, ὡς γέγραπται· «εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· πολλὰ γάρ εἰσι τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα»[4].

## Γ'

### Περὶ ὀνάγρου.

**45** Γέγραπται ἐν τῷ Ἰώβ· τίς ἀφῆκεν ὄναγρον ἐλεύθερον[5];
Ὁ δὲ Φυσιολόγος φησίν· ἀγελάρχης ἐστίν, καὶ ἐὰν γεννῶ-

**1.** Πρβλ. Ἰὼβ 39,5. **2.** Ἡσ. 54,1. Γαλ. 4,27. **3.** Πρβλ. Ἰὼβ 39,5. **4.** Ἡσ. 54,1. Γαλ. 4,27. **5.** Πρβλ. Ἰὼβ 39,5.

σιν αἱ νομάδες ἄρρενας, ὁ πατὴρ αὐτῶν τὰ αἰδοῖα αὐτῶν τέμνει ἵνα μὴ σπερματίζωσιν.

Οἱ πατριάρχαι σπέρμα σωματικὸν ζητοῦσιν σπεῖραι, οἱ δὲ Ἀπόστολοι τὰ νοερὰ τέκνα· ἐγκράτειαν ἤσκησαν οὐράνιον αἰτησάμενοι σπέρμα, ὡς γέγραπται· «εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα»[1].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔφη.

## Α′

### 10. Περὶ ἐχίδνης.

**33** Καλῶς εἶπεν ὁ Ἰωάννης πρὸς τοὺς Φαρισαίους· «γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς»[2]; Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ἐχίδνης ὅτι ὁ μὲν ἄῤῥην πρόσωπον ἔχει ἀνδρός, ἡ δὲ θήλεια πρόσωπον γυναικός· ἕως ὀμφαλοῦ, ἀνθρώπου ἔχουσι μορφήν, οὐρὰν δὲ ἔχουσι κροκοδείλου. Πόρον δὲ οὐκ ἔχει ἐν κόλπῳ ἡ γυνή, ἀλλ' ὡς τρύπην ῥαφί**34**δος[3] μόνον. Ἐὰν οὖν ὁ ἄῤῥην ὀχεύῃ τὴν θήλειαν, ἐκκρίνει τὸ σπέρμα εἰς τὸ στόμα τῆς θηλείας, καὶ ἐὰν καταπίῃ τὸ σπέρμα ἡ θήλεια, κόπτει τὰ ἀναγκαῖα τοῦ ἄῤῥενος, καὶ ἀποθνήσκει ὁ ἄῤῥην εὐθέως. Αὐξάνοντα δὲ τὰ τέκνα κατεσθίει τὴν γαστέρα τῆς μητρός, καὶ οὕτως ἐξέρχονται· πατραλοῖαι οὖν εἰσι καὶ μητραλοῖαι.

**35** Καλῶς οὖν παρεπλησίασεν ὁ Ἰωάννης τῇ ἐχίδνῃ τοὺς Φαρισαίους· ὃν τρόπον γὰρ ἀποκτείνει ἡ ἔχιδνα τὸν πατέρα καὶ τὴν μητέρα, οὕτω καὶ οὗτοι ἀπέκτειναν τοὺς νοεροὺς αὐτῶν πατέρας, τοὺς προφήτας, φησί, καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὴν Ἐκκλησίαν· πῶς οὖν φύγωσιν ἀπὸ τῆς μελλούσης ὀργῆς; Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ ζῶσιν εἰς τὸν αἰῶνα, οὗτοι δὲ ἀπέθανον.

### 10.bis Περὶ ἐχίδνης.

**36** Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ἐχίδνης· ὅταν ἄῤῥην ἀρ-

**1.** Ἠσ. 54,1. Γαλ. 4,27. **2.** Ματθ. 3,7. Λουκ. 3,7. **3.** Πρβλ. Ματθ. 19,24. Μάρκ. 10,25. Λουκ. 18,25.



χῇ συγγένηται τῇ θηλείᾳ, εἰς τὸ στόμα αὐτῇ συγγίνεται, καὶ ἡ θήλεια, καταπίνουσα τὸν γόνον, κόπτει τὰ ἀναγκαῖα αὐτοῦ· γινώσκει οὖν ὅτι, ἐὰν συγγένηται τῇ θηλείᾳ, ἀποθνήσκει. Πλειστάκις οὖν ὑπάγει, καὶ ἔρχεται πρὸς τὴν θήλειαν, ⟨καὶ εὐθέως ἀποστρέφεται ἀπ' αὐτῆς⟩· ὕστερον οὖν, μὴ δυνάμενος κατασχεῖν ἑαυτόν, συγγίνεται αὐτῇ καὶ ἀποθνήσκει. Ἡ οὖν θήλεια οὐκ ἔχει κόλπον ἵνα βαστάζῃ ἐν τῇ κοιλίᾳ αὐτῆς τὰ γεννήματα· ἐὰν οὖν αὐξηθῶσι τὰ τέκνα ἐν τῇ κοιλίᾳ αὐτῆς, ἀναπτύσσουσι τὴν πλευρὰν αὐτῆς, καὶ ἐξέρχονται, καὶ ἀποκτείνουσιν αὐτήν· πατραλῷαι οὖν εἰσι καὶ μητραλῷαι.

## Β′

### 10. Περὶ ἐχίδνης.

**46** Καλῶς εἶπεν ὁ πρόδρομος Ἰωάννης πρὸς τοὺς Φαρισαίους· «γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;»[1].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς ἐχίδνης, ὅτι ὁ μὲν ἄῤῥην πρόσωπον ἔχει ἀνδρός, ἡ δὲ θῆλυ πρόσωπον ἔχει γυναικός· Ἕως ὀμφαλοῦ ἀνθρώπου ἔχουσι μορφήν, οὐρὰν δὲ ἕως ἔξω ἔχουσι κορκονήλου· πόρον δὲ ἐν κόλπῳ οὐκ ἔχει ἡ γυνή, ἀλλ' ὡς τρύπην ῥαφίδος[2] μόνον ἔχει· ὅταν δὲ ὁ ἄῤῥην ὀχεύῃ τὴν θήλειαν, ἐκρύει τὸ σπέρμα εἰς τὸ στόμα τῆς θηλείας, καὶ ἐὰν καταπίῃ τὸ σπέρμα ἡ θήλεια, κόπτει τὰ ἀναγκαῖα τοῦ ἄῤῥενος, καὶ ἀποθνήσκει ὁ ἄῤῥην. Αὐξανομένων δὲ τῶν τέκνων, κατεσθίουσι τὴν γαστέρα τῆς μητρὸς καὶ οὕτως ἐξέρχονται· πατρολῷαι οὖν εἰσὶ καὶ μητρολῷαι.

**48** Καλῶς οὖν παρείκασεν Ἰωάννης τοὺς Φαρισαίους τῇ ἐχίδνῃ· ὃν τρόπον γὰρ ἔχιδνα ἀποκτείνει τὸν πατέρα καὶ μητέρα, οὕτω καὶ οὗτοι ἀπέκτειναν τοὺς νοεροὺς αὐτῶν πατέρας, τοὺς (νοεροὺς αὐτῶν) προφήτας· οὐ μήν, ἀλλὰ καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὴν Ἐκκλησίαν· πῶς οὖν φύγωσιν

**1.** Ματθ. 3,7. Λουκ. 3,7. **2.** Πρβλ. Ματθ. 19,24. Μάρκ. 10,25. Λουκ. 18,25.

«ἀπὸ τῆς μελλούσης ὀργῆς»[1]; καὶ ὁ μὲν πατὴρ καὶ μήτηρ ζῶσιν εἰς τὸν αἰῶνα, αὐτοὶ δὲ ἀπέθανον.

### Γ′

### Περὶ ἐχίδνης.

**47** Καλῶς εἶπεν ὁ Ἰωάννης πρὸς τοὺς Φαρισαίους· «γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;»[2].

Ὁ δὲ Φυσιολόγος ἔφη, ὅτι ὁ μὲν ἄῤῥην πρόσωπον ἔχει ἀνδρός, ἡ δὲ θήλεια πρόσωπον γυναικός· ἕως ὀμφαλοῦ ἀνθρώπου ἔχουσι μορφήν, οὐρὰν δὲ ἔχουσι κορκοδήλλου· πόρον δὲ οὐκ ἔχει ἐν κόλπῳ ἡ γυνή, ἀλλ' ὡς τρύπη⟨ν⟩ ῥαφίδος[3] μόνον· ἐὰν ὁ ἄῤῥην μοιχεύῃ τὴν θήλειαν, ἐκρύει τὸ σπέρμα ⟨εἰς τὸ στόμα⟩ τῆς θηλείας, καὶ ἐὰν καταπίῃ τὸ σπέρμα ἡ θήλεια, κόπτει τὰ ἀναγκαῖα τοῦ ἄρρενος, καὶ ἀποθνήσκει τὸ ἄῤῥεν εὐθέως. Αὐξάνονται δὲ τὰ τέκνα κατεσθίοντες τὴν γαστέρα τῆς μητρὸς καὶ οὕτως ἐξέρχονται πατρολῷοι ὄντες καὶ μητρολῷοι.

**49** Καλῶς οὖν παρεπλησίασεν ὁ Ἰωάννης τοὺς Φαρισαίους· ὃν τρόπον γὰρ ἀποκτείνει ἡ ἔχις τὸν πατέρα καὶ μητέρα, οὕτω καὶ οὗτοι ἀπέκτειναν τοὺς νοεροὺς αὐτῶν πατέρας, τοὺς προφήτας φησί, καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὴν Ἐκκλησίαν· πῶς οὖν φύγωσιν «ἀπὸ τῆς μελλούσης ὀργῆς»[4]; Καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ ζῶσιν εἰς τὸν αἰῶνα, αὐτοὶ δὲ ἀπέθανον.

### Α′

### 11. Περὶ ὄφεως.

**36** Ὁ Κύριος ἔλεξεν ἐν τῷ Εὐαγγελίῳ· «γίνεσθε οὖν φρόνιμοι ὡσεὶ **37** ὄφεις καὶ ἀκέραιοι ὡσεὶ περιστεραί»[5]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ὄφεως ὅτι τέσσαρας φύσεις ἔχει.

**[528]** Πρώτη αὐτοῦ φύσις αὕτη· ὅταν γηράσῃ, ἐμποδίζεται τῶν ὀφθαλμῶν, καὶ ἐὰν θέλῃ νέος γενέσθαι, πολιτεύεται καὶ

**1.** Ματθ. 3,7. **2.** Ματθ. 3,7. Λουκ. 3,7. **3.** Πρβλ. Ματθ. 19,24. Μάρκ. 10,25. Λουκ. 18,25. **4.** Ματθ. 3,7. **5.** Ματθ. 10,16.



νηστεύει τεσσαράκοντα ἡμέ**38**ρας καὶ τεσσαράκοντα νύκτας[1], ἕως οὗ τὸ δέρμα αὐτοῦ χαυνωθῇ· καὶ ζητεῖ πέτραν ἢ ῥαγάδα στενήν, καὶ ἐκεῖθεν ἑαυτὸν ἐκπιέσας, θλίβει τὸ σῶμα, καὶ ἀπολαβὼν τὸ γῆρας, πάλιν νέος γίνεται.

**39** Τοῦτον οὖν τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, ἐὰν θέλῃς τὸ παλαιὸν γῆρας τοῦ κόσμου ἀποβαλέσθαι, διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, διὰ νηστειῶν τὸ σῶμα τῆξον· στενὴ γάρ ἐστι καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωὴν τὴν αἰώνιον[2].

**40** Δευτέρα φύσις τοῦ ὄφεως. Ὅταν ἔλθῃ ὁ ὄφις πιεῖν ὕδωρ εἰς πηγήν, οὐ φέρει τὸν ἰὸν μεθ' ἑαυτοῦ, ἀλλ' ἐν τῷ φωλεῷ αὐτοῦ ἀφίησιν αὐτόν.

Ὀφείλωμεν οὖν καὶ ἡμεῖς, σπεύδοντες ἐπὶ τὸ ὕδωρ τὸ ἀέναον καὶ **41** ἄκακον, τὸ γέμον τῶν θείων καὶ ἐπουρανίων λόγων[3], ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ μὴ φέρειν μεθ' ἑαυτῶν τῆς κακίας τὸν ἰόν, ἀλλὰ παντελῶς ἀπορρίπτειν αὐτὸν ἀφ' ἑαυτῶν καὶ καθαρῶς προσέρχεσθαι.

Τρίτη φύσις τοῦ ὄφεως. Ὅταν ἴδῃ ὁ ὄφις ἄνθρωπον γυμνόν, φοβεῖται **42** καὶ ἀποστρέφεται· ἐπὰν δὲ ἠμφιεσμένον αὐτὸν ἴδῃ ἅλλεται ἐπ' αὐτόν. [Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε].

Καὶ ἡμεῖς νοητῶς νοήσωμεν ὅτι ἡνίκα ὁ πατὴρ ἡμῶν Ἀδὰμ γυμνὸς ἦν ἐν τῷ παραδείσῳ, οὐκ ἴσχυσεν αὐτὸν πεδῆσαι ὁ διάβολος.

Ἐὰν οὖν καὶ σὺ ἔχῃς τὸ ἔνδυμα τοῦ παλαιοῦ ἀνθρώπου[4], τουτέστι τὰ σύκινα τῆς ἡδονῆς, ὡς πεπαλαιωμένος ἡμερῶν κακῶν[5], ἐφάλλεταί σοι.

**43** Τετάρτη φύσις τοῦ ὄφεως. Ὅταν ἐπέλθῃ αὐτῷ ἄνθρωπος θέλων αὐτὸν ἀποκτεῖναι, ὅλον τὸ σῶμα αὐτοῦ εἰς θάνατον παραδίδωσι, τὴν κεφαλὴν αὐτοῦ μόνην φυλάσσων. [Καλῶς οὖν ὁ Φυσιολόγος εἶπεν].

Ὀφείλωμεν οὖν καὶ ἡμεῖς, ἐν καιρῷ πειρασμοῦ, ὅλον τὸ σῶμα ἑαυτῶν **44** παραδιδόναι εἰς θάνατον, μόνην τὴν κεφαλὴν φυλάσσοντες, τουτέστι τὸν Χριστὸν μὴ ἀρνούμενοι, ὥσπερ ἐ-

**1.** Πρβλ. Ματθ. 4,2. Ἐξ. 34,28. **2.** Πρβλ. Ματθ. 7,14. **3.** Πρβλ. Ἰω. 4,14. **4.** Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. **5.** Πρβλ. Δαν. (Σωσ.) 52.

ποίησαν οἱ ἅγιοι μάρτυρες· «παντὸς γὰρ ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν»[1], ὡς γέγραπται.

### Β′

### 11. Περὶ ὄφεως.

**50** Ὁ Κύριος ἔλεξεν ἐν τῷ Εὐαγγελίῳ· «γίνεσθε φρόνιμοι ὡσεὶ ὄφεις καὶ ἀκέραιοι ὡσεὶ περιστεραί»[2].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ ὄφεως, ὅτι τέσσαρας φύσεις ἔχει· πρώτη αὐτοῦ φύσις αὕτη· ἐὰν γηράσῃ, ἐμποδίζεται τῶν ὀφθαλμῶν· ἐὰν δὲ θέλῃ πάλιν νέος γενέσθαι, πολιτεύεται τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας[3], ἕως οὗ τὸ δέρμα αὐτοῦ χαυνωθῇ· καὶ ζητεῖ πέτραν ἢ ῥαγάδα στενήν, καὶ ἐκεῖθεν ἑαυτὸν εἰσπέμψας θλίβει τὸ σῶμα καὶ ἀπολαβὼν τὸ γῆρας νέος πάλιν γίνεται.

Τοῦτον οὖν τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, ἐὰν θέλῃς τὸ παλαιὸν γῆρας τοῦ κόσμου ἀποβαλέσθαι, διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, ἤγουν διὰ νηστείας καὶ ἐγκρατείας, τὸ σῶμα σου τῆξον καὶ θλῖψον· στενὴ γάρ ἐστιν καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν[4].

Δευτέρα φύσις τοῦ ὄφεως· ὅταν ἔρχηται ὁ ὄφις πιεῖν ὕδωρ εἰς πηγήν, οὐ φέρει τὸν ἰὸν αὐτοῦ μετ' αὐτοῦ, ἀλλ' ἐν τῷ φωλεῷ αὐτοῦ ἀφίησιν αὐτόν.

Ὀφείλομεν οὖν καὶ ἡμεῖς οἱ σπεύδοντες ἐπὶ τὸ ὕδωρ **52** τὸ ἀένναον καὶ ἄκακον τὸ γέμον τῶν θείων καὶ ἐπουρανίων λόγων[5], ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, μὴ φέρειν μεθ' ἑαυτῶν τῆς κακίας τὸν ἰόν, ἀλλὰ παντελῶς ἀπορρίπτειν ἀφ' ἑαυτῶν.

Τρίτη φύσις τοῦ ὄφεως· ὅταν ἴδῃ ἄνθρωπον γυμνόν, φοβεῖται καὶ ἀποστρέφεται· ἐπὰν δὲ ἠμφιεσμένον αὐτὸν ἴδῃ, ἅλλεται ἐπ' αὐτόν. Καὶ ἡμεῖς νοητῶς νοήσωμεν, ὅτι ἡνίκα ὁ πατὴρ ἡμῶν Ἀδὰμ γυμνὸς ἦν ἐν τῷ παραδείσῳ, οὐκ ἴσχυσεν αὐτῷ πηδῆσαι. Εἰ οὖν καὶ σύ, ὦ ἄνθρωπε, ἔχεις τὸ ἔνδυμα τοῦ πα-

**1.** Α' Κορ. 11,3. **2.** Ματθ. 10,16. **3.** Πρβλ. Ματθ. 4,2. Ἐξ. 34,28. **4.** Πρβλ. Ματθ. 7,14. **5.** Πρβλ. Ἰω. 4,14.



λαιοῦ ἀνθρώπου[1], τουτέστιν τὰ σύκινα τῆς ἡδονῆς, ὡς πεπαλαιωμένος ἡμερῶν ⟨κακῶν⟩[2] ἐφάλλεταί σοι.

Τετάρτη φύσις τοῦ ὄφεως· ὅταν ἐπέλθῃ αὐτῷ ἄνθρωπος θέλων αὐτὸν ἀποκτεῖναι, ὅλον τὸ σῶμα εἰς θάνατον προδίδωσιν, τὴν δὲ κεφαλὴν αὐτοῦ κρύπτει καὶ φυλάσσει. Οὕτω καὶ ἡμεῖς ὀφείλομεν ποιῆσαι· τὰ σώματα ἡμῶν εἰς θάνατον παραδώσωμεν, τὴν δὲ κεφαλὴν φυλάξωμεν, τουτέστιν τὸν Χριστὸν μὴ ἀρνούμενοι, ὥσπερ ἐποίησαν οἱ γενναιότατοι μάρτυρες· «παντὸς γὰρ ἀνδρὸς κεφαλὴ ὁ Χριστός ἐστιν»[3], ὡς ὁ θεσπέσιος γράφει Παῦλος.

### Γ′

### [Π]ερὶ ὄφεως. Φύσις πρώτη.

**51** Ὁ Κύριος ἔλεξεν ἐν τῷ Εὐαγγελίῳ· «γίνεσθε οὖν [φρό]νιμοι ὡσεὶ ὄφεις καὶ ἀκέραιοι ὡσεὶ [περι]στεραί»[4].

Ὁ δὲ Φυσιολόγος ἔφησε περὶ τοῦ ὄ[φεως], ὅτι τέσσαρεις φύσεις ἔχει· πρώτη αὐτοῦ φύσις αὕτη· ἐὰν γηράσῃ, ἐμποδίζεται τῶν ὀφθαλμῶν· ἐὰν θέλῃ νέος γενέσθαι, πολιτεύεται καὶ νηστεύει ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα[5], ἕως οὗ τὸ δέρμα αὐτοῦ χαυνωθῇ· καὶ ζητεῖ πέτραν ῥαγάδας στενωτάτην καὶ ἐκεῖθεν αὐτὸν εἰσπέσας θλίβει τὸ σῶμα καὶ ἀποβαλὼν τὸ γῆρας πάλιν νέος γίνεται.

Τοῦτον οὖν τὸν τρόπον καὶ σύ, ὦ ἄνθρωπε, εἰ θέλεις τὸ τοῦ παλαιοῦ κόσμου γῆρας ἀποβαλέσθαι, διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ καὶ νηστειῶν τὸ σῶμα τῆξον· στενὴ γάρ ἐστι καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν τὴν αἰώνιον[6].

[Π]ερὶ ὄφεως φύσις δευτέρα· ὅταν ἔλθῃ ὁ ὄφις πιεῖν ὕδωρ εἰς πηγήν, οὐ φέρει τὸν ἰὸν μετ' αὐτοῦ, ἀλλ' ἐν τῷ φωλεῷ αὐτοῦ ἀφίησιν αὐτόν.

Ὀφείλωμεν οὖν καὶ ἡμεῖς σπεύδοντες ἐπὶ τὸ ὕδωρ τὸ **53** ἀένναον καὶ ἄκακον τὸ γέμον τῶν θείων καὶ ἐπουρανίων λόγων[7],

**1.** Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. **2.** Πρβλ. Δαν. (Σωσ.) 52. **3.** Α' Κορ. 11,3. **4.** Ματθ. 10,16. **5.** Πρβλ. Ματθ. 4,2. Ἐξ. 34,28. **6.** Πρβλ. Ματθ. 7,14. **7.** Πρβλ. Ἰω. 4,14.

ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, μὴ φέρειν μετ' αὐτῶν τὸν τῆς κακί⟨ας⟩ ἰόν, ἀλλὰ παντελῶς ἀπορρίπτειν αὐτὸν καὶ καθαρῶς προσέρχεσθαι.

[Π]ερὶ ὄφεως φύσις τρίτη· ἐὰν ἴδῃ ὁ ὄφις ἄνθρωπον γυμνόν, φοβεῖται καὶ ἀποστρέφεται· ἐπὰν δὲ ἠμφιεσμένον αὐτὸν ἴδῃ ἅλλεται αὐτῷ.

[Π]ερὶ ὄφεως φύσις τετάρτη· ὅταν ἐπέλθῃ αὐτῷ ἄνθρωπος θέλων αὐτὸν ἀποκτεῖναι, ὅλον τὸ σῶμα αὐτοῦ εἰς θάνατον παραδίδωσιν, τὴν δὲ κεφαλὴν αὐτοῦ μόνην [φυ]λάσσων. Ὀφείλωμεν οὖν καὶ ἡμεῖς ἐν [κ]αιρῷ πειρασμοῦ ὅλον τὸ σῶμα παραδιδόναι εἰς θάνατον, τὴν κεφαλὴν φυλάσσοντες, τουτέστι τὸν Χριστὸν μὴ ἀρνούμενοι κα[θὼς] οἱ ἅγιοι μάρτυρες· «παντὸς γὰρ ἀνδρός», ὡς γέγραπται, «κεφαλὴ ὁ Χριστός»[1].

## Α'

### 12. Περὶ μύρμηκος.

**44** Ὁ Σολομὼν ἐλάλησεν ἐν ταῖς Παροιμίαις· «ἴσθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ»[2]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ μύρμηκος, ὅτι τρεῖς φύσεις ἔχει.

**45 [529]** Πρώτη αὐτοῦ φύσις αὕτη· ὅταν στοιχηδὸν περιπατῶσιν, ἕκαστος τὸν κόκκον ἐν τῷ στόματι βαστάζει, καὶ οἱ κενοί, οἱ μηδὲν ἔχοντες, οὐ λέγουσι τοῖς γεγομωμένοις· δότε ἡμῖν ἐκ τῶν κόκκων ὑμῶν, οὐδὲ ἁρπάζουσι βίᾳ, ἀλλ' ἀπέρχονται καὶ ἑαυτοῖς συλλέγουσι.

**46** Ταῦτα δὲ ἐπὶ τῶν φρονίμων παρθένων καὶ τῶν μωρῶν ἐστιν εὑρεῖν τὰ ῥήματα[3]. [Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ μύρμηκος].

Δευτέρα φύσις τοῦ μύρμηκος. Ὅταν ἀποταμιεύηται τὸν σῖτον εἰς τὴν **47** γῆν, διχοτομεῖ τοὺς κόκκους εἰς δύο, μήποτε, χειμῶνος γενομένου, βραχῶσι καὶ ἀναθάλωσιν οἱ κόκκοι, καὶ λιμοκτονηθῶσι.

[Καὶ πάλιν γινώσκει ὁ μύρμηξ τῇ σοφίᾳ αὐτοῦ εἰ καῦμά ἐστιν ἢ ὅταν ἀὴρ μέλλῃ βρέχειν. Ὅταν οὖν θεωρῇς τὸν μύρμη-

1. Α' Κορ. 11,3. 2. Παρμ. 6,6. 3. Πρβλ. Ματθ. 25,8.



κα ὅτι τὸν κόκκον τοῦ σίτου τὸν ἔξω τῆς τρύπης αὐτοῦ ἔσω κομίζει, γνῶθι ὅτι ἀὴρ χειμῶνος ἔρχεται· εἰ δὲ ἀπὸ τῶν ἔσω κομίζει τὴν ἑαυτοῦ τροφὴν καὶ ἐφαπλοῖ, γνῶθι ὅτι γαλήνη τοῦ ἀέρος ἐστίν].

**48** Καὶ οἱ τέλειοι ἀσκηταὶ τὰ ῥήματα τῆς Παλαιᾶς κρυψάντων ἀπὸ τοῦ πνεύματος, μή ποτέ σε τὸ γράμμα ἀποκτείνῃ[1]· Παῦλος γὰρ εἶπεν ὅτι «ὁ Νόμος πνευματικός ἐστιν»[2]. Ψιλῷ γὰρ τῷ γράμματι προσεσχηκότες, οἱ Ἰουδαῖοι ἐλιμοκτονήθησαν καὶ φονεῖς γεγόνασιν ἁγίων.

Τρίτη φύσις τοῦ μύρμηκος. Πολλάκις ἐν τῷ ἀγρῷ πορεύεται ὁ μύρμηξ **49** ἐν καιρῷ τοῦ θερισμοῦ καὶ ἀναβαίνει ἐπὶ τὸν στάχυν, καὶ καταφέρει τὸν κόκκον, καὶ πρὸ τοῦ ἀναβῆναι αὐτόν, ὀσμᾶται εἰς τὸ στέλεχος τοῦ στάχυος, καὶ ἀπὸ τῆς ὀσμῆς γινώσκει ἢ κριθή ἐστιν ἢ σῖτος· καὶ εἰ μὲν κριθή ἐστιν, οὐκ ἀνέρχεται, εἰ δὲ σῖτος, ἀνέρχεται καὶ καταβιβάζει τὸν κόκκον. **50** Ἡ γὰρ κριθὴ τροφὴ κτηνῶν ἐστι, καθὼς καὶ ὁ Ἰὼβ φησιν· «ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κριθή»[3].

Φεῦγε οὖν καὶ σὺ τὴν κτηνώδη τροφήν, καὶ λαβὲ τὸν σῖτον τὸν ἀποτιθέμενον εἰς τὴν οὐράνιον ἀποθήκην[4]. Ἡ γὰρ κριθὴ παραβάλλεται τῇ τῶν ἑτεροδόξων διδασκαλίᾳ, ὁ δὲ σῖτος τῇ ὀρθοτάτῃ τοῦ Χριστοῦ πίστει.

## Β'

### 12. Περὶ μύρμηκος.

**54** Ὁ Σολομὼν ἐλάλησεν ἐν ταῖς Παροιμίαις· «ἴσθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ»[5]. Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ μύρμηκος, ὅτι τρεῖς φύσεις ἔχει. Πρώτη αὐτοῦ φύσις αὕτη· ὅταν στοιχηδὸν περιπατῶσιν, ἕκαστος τὸν κόκκον τοῦ σίτου ἐν τῷ στόματι βαστάζει· καὶ οἱ μηδὲν ἔχοντες οὐ λέγουσι τοῖς βαστάζουσιν· δότε ἡμῖν ἐκ τῶν κόκκων ὑμῶν, οὐδὲ ἁρπάζουσιν βίᾳ, ἀλλ' ἀπέρχονται καὶ συλλέγουσιν ἑαυτοῖς καρπόν. Ταῦτα δὲ ἐπὶ τῶν φρονίμων καὶ μωρῶν παρθένων ἐστὶν εὑρεῖν τὰ ῥήματα ταῦτα[6].

1. Πρβλ. Β' Κορ. 3,6. 2. Ρωμ. 7,14. 3. Ἰὼβ 31,40. 4. Πρβλ. Ματθ. 3,12. 13,30. Λουκ. 3,17. 5. Παρμ. 6,6. 6. Πρβλ. Ματθ. 25,8.

Δευτέρα φύσις τοῦ μύρμηκος· ὅταν ἀποταμιεύηται (ἐπὶ) τὸν σῖτον εἰς τὴν γῆν, διχοτομεῖ τοὺς κόκκους εἰς δύο, μήποτε χειμῶνος γενομένου βροχῶσιν οἱ κόκκοι καὶ ἀνατείλωσιν, καὶ λιμοκτανθῶσιν.

Καὶ σὺ τὰ ῥήματα τῆς Παλαιᾶς διάστησον ἀπὸ τοῦ πνεύματός σου, μήποτε τὸ γράμμα ἀποκτείνῃ[1]. Παῦλος γὰρ εἶπεν ὅτι «ὁ νόμος πνευματικός ἐστιν»[2]. **56** Ψιλῷ γὰρ τῷ γράμματι προσεσχηκότες οἱ Ἰουδαῖοι ἐλιμοκτονήθησαν καὶ φονεῖς γεγόνασιν ἀλλήλων.

Τρίτη φύσις τοῦ μύρμηκος· ὅτι πολλάκις ἐν τῷ ἀγρῷ πορεύεται ἐν καιρῷ τοῦ ἀμήτου καὶ ἔρχεται ἐπὶ τὸν στάχυν καὶ ὀσμᾶται τοῦ στελέχους· καὶ ἀπὸ τῆς ὀσμῆς γινώσκει, ἢ κριθή ἐστιν ἢ σῖτος· καὶ ἐὰν ᾖ κριθή, ἀποφεύγει εἰς τὸν σῖτον· καὶ ἀνέρχεται εἰς τὸν στάχυν καὶ καταφέρει τὸν κόκκον.

Ἡ κριθὴ τροφὴ κτηνῶν ἐστιν· καὶ ὁ Ἰὼβ φησιν· «ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι ἡ κριθή»[3].

Φεῦγε οὖν καὶ σὺ τὴν κτηνώδη τροφὴν καὶ λαβὲ τὸν σῖτον τὸν ἀποτιθέμενον εἰς τὴν ἀποθήκην[4]· ἡ γὰρ κριθὴ παραλαμβάνεται τῆς τῶν ἑτέρων διδασκαλίας, ὁ δὲ σῖτος τῇ ὀρθοδόξῳ πίστει τοῦ Χριστοῦ.

## Γ'

### Περὶ μύρμηκος. Φύσις πρώτη.

**55** Ὁ Σολομὼν ἐλάλησεν ἐν ταῖς Παροιμίαις· «ἴσθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ γενοῦ ἐκείνου σοφώτερος»[5]. Ὁ δὲ Φυσιολόγος ἔλεξεν περὶ τοῦ μύρμηκος, ὅτι τρεῖς φύσεις ἔχει· καὶ πρώτη φύσις ἐστὶν αὕτη· ὅταν στοιχηδὸν περιπατῶσιν, ἕκαστος (spatium vacuum) τὸν κόκκον ἐν τῷ στόματι βαστάζει· καὶ οἱ κενοὶ οἱ μὴ ἔχοντες οὐ λέγουσι τοῖς γεμωμένοις· δότε ἡμῖν ἐκ τῶν κόκκω⟨ν⟩ ὑμῶν, οὐδὲ ἁρπάζουσι βίᾳ, ἀλλὰ ἀπέρχονται καὶ αὐτοὶ συλλέγουσιν. Ταῦτα δὲ παρὰ τῶν φρονίμων παρθένων καὶ τῶν μωρῶν ἐστι εὑρεῖν τὰ ῥήματα[6].

**1.** Πρβλ. Β' Κορ. 3,6. **2.** Ρωμ. 7,14. **3.** Ἰὼβ 31,40. **4.** Πρβλ. Ματθ. 3,12. 13,30. Λουκ. 3,17. **5.** Παρμ. 6,6. **6.** Πρβλ. Ματθ. 25,8.



Δευτέρα φύσις τοῦ μύρμηκος· ὅταν ἀποταμιεύηται τὸν σῖτον εἰς τὴν γῆν, ⟨διχοτομεῖ τοὺς κόκκους εἰς δύο⟩, μὴ χειμῶνος γενομένου βροχῶσιν καὶ ἀνατείλωσιν οἱ κόκκοι, καὶ λιμοκτονηθῶσιν.

Καὶ οἱ τέλειοι ἀσκηταὶ τὰ ῥήματα τῆς Παλαιᾶς κρυψάντων ἀπὸ τοῦ πνεύματος, μήποτέ σε τὸ γράμμα ἀποκτείνῃ[1]· Παῦλος γὰρ εἶπεν ὅτι ὄνομα πνευματικῶς ἐστιν. Ψιλῷ γὰρ **57** τῷ πνεύματι προσεσχηκότες οἱ Ἰουδαῖοι ἐλιμοκτονήθησαν καὶ φονεῖς ἐγέγοναν ἁγίων καὶ τὰ ἑξῆς.

Τρίτη φύσις τοῦ μύρμηκος· [π]ολλάκις ἐν τῷ ἀγρῷ πορεύεται ὁ μύρμηξ ἐν καιρῷ τοῦ θέρους καὶ ἀναβαίνει ἐπὶ τὸν στάχυν καὶ καταφέρει τὸν κόκκον· καὶ πρὸ τοῦ ἀναβῆναι δὲ ὀσφρᾶται τὸν στέλεχον τοῦ στάχυος καὶ ἀπὸ τῆς ὀσφρήσεως γινώσκει, ἢ σῖτός ἐστιν ἢ κριθή· καὶ εἰ μὲν κριθή ἐστιν, οὐκ ἀνέρχεται, εἰ δὲ σῖτος, ἀνέρχεται καὶ καταβιβάζει τὸν κόκκον.

Ἡ γὰρ κριθὴ τροφὴ κτηνώδης ἐστὶν καὶ ἀποβάλλεται τῇ τῶν ἑτεροδόξων διδασκαλίᾳ, ὁ δὲ σῖτος τῇ ὀρθοτάτῃ πίστει τοῦ Χριστοῦ. Καὶ ὁ Ἰὼβ φησιν· «ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι καὶ κριθή»[2]. Φεῦγε οὖν καὶ σὺ τὴν κτηνώδη τροφὴν καὶ λαβὲ τὸν σῖτον τὸν ἀποτιθέμενον τῇ οὐρανίῳ ἀποθήκῃ[3].

## Δ'

### 13. Περὶ σειρήνων καὶ ἱπποκενταύρων.

**51** Ἐλάλησεν Ἡσαΐας ὁ προφήτης ὅτι δαιμόνια καὶ σειρῆνες καὶ ἐχῖνοι ὀρχισθήσονται ἐν Βαβυλῶνι[4]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τῶν σειρήνων καὶ τῶν ἱπποκενταύρων· εἰσὶ ζῷα ἐν τῇ θαλάσσῃ λεγόμενα σειρῆνες, ὡς δὲ μοῦσαι ταῖς φωναῖς ᾄδουσιν εὐμελῶς, καὶ οἱ παραπλέοντες ἐὰν ἀκούσωσι τῆς μελῳδίας αὐτῶν, ῥίπτουσιν ἑαυτοὺς ἐν τῇ θαλάσσῃ καὶ ἀπόλλυνται. Καὶ τὸ μὲν ἥμισυ μέρος ἕως τοῦ ὀμφαλοῦ ἀνθρώπου ἔχουσι μορφήν, τὸ **52** δὲ ἥμισυ ἕως ἔξω χηνός. Ὁμοίως καὶ οἱ ἱπποκένταυροι τὸ

**1.** Πρβλ. Β' Κορ. 3,6. **2.** Ἰὼβ 31,40. **3.** Πρβλ. Ματθ. 3,12. 13,30. Λουκ. 3,17. **4.** Πρβλ. Ἡσ. 13,21.

μὲν ἥμισυ μέρος ἀνθρώπου ἔχουσι, τὸ δὲ ἥμισυ ἀπὸ τοῦ στήθους ἕως ἔξω ἵππου.

Οὕτω καὶ πᾶς «ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ»[1]. Εἰσί τινες συναγόμενοι ἐν τῇ Ἐκκλησίᾳ, «μόρφωσιν μὲν ἔχοντες εὐσεβείας, **53** τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι»[2], καὶ ἐν τῇ Ἐκκλησίᾳ ὡς ἄνθρωποι μέν εἰσιν, ὅταν δὲ ἐκ τῆς Ἐκκλησίας ἀπολυθῶσιν, ἀποθηριοῦνται. Οἱ τοιοῦτοι οὖν σειρήνων καὶ ἱπποκενταύρων πρόσωπον λαμβάνουσι, τῶν ἀντικειμένων, λέγω, δυνάμεων καὶ ἐμπαικτῶν αἱρετικῶν· «διὰ γὰρ τῆς χρηστολογίας αὐτῶν καὶ εὐλογίας», ὡς αἱ σειρῆνες, «ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων»[3]. «Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί»[4].

**54** Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τῶν σειρήνων καὶ τῶν ἱπποκενταύρων.

### 13.bis Περὶ σειρήνων καί ἱπποκενταύρων.

«Φθείρουσιν ἤθη καλὰ ὁμιλίαι κακαί»[5], φησὶν ὁ θεῖος Ἀπόστολος. Ὁ Φυσιολόγος ἔλεξεν ὅτι λέγεται εἶναι ζῷα τινά, ἄρρεν καὶ θῆλυ· τὸ μὲν ἄρρεν ἕως τοῦ ὀμφαλοῦ ἄνθρωπος, τὸ δὲ λοιπὸν ἵππος· ὁμοίως καὶ τὸ θῆλυ ἕως τοῦ ὀμφαλοῦ ἔοικε γυναικί, τὸ δὲ λοιπὸν χηνὸς μόρφωμα, ὃ καλεῖται σειρήν. Σειρήνων γὰρ μέλος[6], φησὶν ὁ Ἰώβ.

Ταῦτα τοιγαροῦν πρόσωπα λαμβάνουσι τῶν ἀντικειμένων δυνάμεων καὶ τῶν ἀθέων καὶ πλάνων αἱρετικῶν. Εἰσὶ γάρ, εἰσί τινες ὑποκρίσεων μεστοί, πλάνοι τε καὶ ἀπατεῶνες, οἵτινες, ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ παρεισδύσαντες, διὰ τῆς χρηστολογίας αὐτῶν ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων[7]. Ἀλλ' ἡμεῖς τούτους φύγωμεν, μὴ συναπατώμενοι ταῖς αὐτῶν ψευδοδιδασκαλίαις· καὶ γὰρ ὥσπερ λέγεται ταῦτα τὰ ζῷα εἶναι, οὐκ εἰσὶ δέ, ἀλλὰ διανοίας εἰσὶν ἀνάπλασμα κακοδαίμονος, οὕτω καὶ ἡ τῶν πλάνων καὶ ψευδοχρίστων ἀπατηλὴ ψευδολογία. Μόρφωσιν γὰρ εὐσεβείας ἔχουσι, τὴν δὲ δύναμιν αὐτῆς ἤρνηνται[8].

---

**1.** Ἰακ. 1,8. **2.** Β' Τιμ. 3,5. **3.** Ρωμ. 16,18. **4.** Α' Κορ. 15,33. **5.** Ἔνθ' ἀν. **6.** Πρβλ. Ἰὼβ 30,29. **7.** Πρβλ. Ρωμ. 16,18. **8.** Πρβλ. Β' Τιμ. 3,5.



## Β'

### 13. Περὶ ὀνοκενταύρων καὶ σειρήνων.

**58** Ἐλάλησεν Ἠσαΐας ὁ προφήτης ὅτι δαιμόνια καὶ σειρῆνες καὶ ὀνοκένταυροι ὀρχηθήσονται ἐν Βαβυλῶνι[1].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῶν σειρήνων καὶ τῶν ὀνοκενταύρων, ὅτι αἱ μὲν σειρῆνες ζῷα θανάσιμά εἰσιν ἐν τῇ θαλάσσῃ, Μοῦσαι ταῖς φωναῖς· τὸ μὲν ἥμισυ μέρος αὐτῶν ἀνθρώπου ἔχουσιν μορφήν, τὸ δὲ ἄλλο ἥμισυ μέρος χηνός. Ὁμοίως καὶ οἱ ὀνοκένταυροι τὸ μὲν ἥμισυ μέρος ἀνθρώπου ἔχουσιν, τὸ δὲ ἥμισυ ἀπὸ τοῦ στήθους ἕως ἔξω ὄνου. **60** Οὕτω καὶ πᾶς «ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ὁδοῖς αὐτοῦ»[2]. Εἰσί τινες συνερχόμενοι ἐν τῇ Ἐκκλησίᾳ μόρφωσιν μὲν εὐσεβείας ἔχοντες, τὴν δὲ δύναμιν αὐτῆς ἀρνούμενοι[3]· καὶ ἐν τῇ Ἐκκλησίᾳ ὡς ἄνθρωποί εἰσιν, ὅταν δὲ ἀπολυθῶσιν, ἀποκτηνοῦνται. Οὗτοι σειρήνων καὶ ὀνοκενταύρων πρόσωπον λαμβάνουσιν, τῶν ἀντικειμένων δυνάμεων καὶ ἐμπαικτῶν αἱρετικῶν· «Διὰ γὰρ τῆς χρηστολογίας αὐτῶν καὶ εὐλογίας» —ὡς αἱ σειρῆνες— «ἐξαπατῶσιν τὰς καρδίας τῶν ἀκάκων»[4]. «Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί»[5].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξεν περὶ τῶν σειρήνων καὶ τῶν ὀνοκενταύρων.

## Γ'

### [Π]ερὶ σειρήνων καὶ ἱπποκενταύρων.

**59** Εἰσὶ ζῷα ἐν τῇ θαλάσσῃ σειρῆν[ες] μιμοῦσαι ταῖς φωναῖς· καὶ τὸ μὲν ἥμισυ μέρος αὐτῶν ἀποκάτωθεν ἕως ὀμφαλοῦ ἔχουσι χηνός, τὰ δὲ ἀπὸ τοῦ ὀμφαλοῦ ἕως ἄνω ἀνθρώπου. Ὁμοίως καὶ οἱ [ἱ]πποκένταυροι τὸ μὲν ἥμισυ μέρος ἀνθρώπου ἔχουσι, τὸ δὲ ἀπὸ τοῦ στήθους κάτω ὄνου. **61** Οὕτω καὶ πᾶς «ἀνὴρ δίψυχος ἀκατάστατός ἐστιν ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ»[6]. Καὶ ἐν συναγωγῇ γενόμενοι τῶν Ἐκκλησιῶν μορφὴν μὲν ἔχουσι

---

**1.** Πρβλ. Ἠσ. 13,21. **2.** Ἰακ. 1,8. **3.** Πρβλ. Β' Τιμ. 3,5. **4.** Ρωμ. 16,18. **5.** Α' Κορ. 15,33. **6.** Ἰακ. 1,8.

εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἀρνοῦνται[1], καὶ ἐν τῇ Ἐκκλησίᾳ ὡς ἄνθρωποι μέν εἰσιν, ἀπολυόμενοι δὲ αὐτῆς ἀποθηριοῦνται· καὶ πρόσωπον σειρήνων καὶ ἱπποκενταύρων λαμβάνουσιν τῶν ἀντικειμένων δυνάμεων· διὰ γὰρ τῆς χρηστολογίας καὶ τῆς ἐτυμολογίας αὐτῶν —ὡς αἱ σειρῆνες— ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων»[2]. «Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί»[3].

## Α′

### 14. Περὶ ἐχίνου.

**54** Οἱ ἐχῖνοι μορφὴν σφαίρας ἔχουσι [καὶ ὁμοίωμα συός], καὶ ὁλόκεντροί εἰσιν.

**55** Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ἐχίνου ὅτι ἀναβαίνει, φησίν, ἐπὶ τὴν ἄμπελον, καὶ ἔρχεται εἰς τὸν βότρυν, καὶ καταβάλλει τὰς ῥᾶγας ἐπὶ τὴν γῆν, καὶ ἀνακλίνει ἑαυτὸν ἐν αὐταῖς, [καὶ βάλλει ἑαυτὸν ἄνω βλέποντα], **56** καὶ κολλῶνται αἱ ῥᾶγες εἰς τὰ αὐτοῦ κέντρα, καὶ ἀπάγει τοῖς τέκνοις, καὶ ἀφίησι τὸ κλῆμα τοῦ βότρυος κενόν.

Καὶ σὺ οὖν, ὦ πολιτευτά, παράστηθι τῇ νοερᾷ καὶ ἀληθινῇ ἀμπέλῳ[4] τοῦ ἐνεχθῆναί σε εἰς τὴν νοερὰν ληνὸν καὶ ἀποταμιεθῆναί σε εἰς αὐλὰς βασιλείας, καὶ ἐπὶ τὸ ἅγιον βῆμα τοῦ Χριστοῦ[5] χωρῆσαι. Πῶς γὰρ ἀφῆκας **57** τὸν ἐχῖνον, τὸ πονηρὸν πνεῦμα[6], ἀναβῆναι ἐπὶ τὴν καρδίαν σου, καὶ δίκην βότρυος ἀφεῖναί σε ἔρημον, μὴ ἔχοντα ὅλως ἀκρέμονα ἐν σοί;

[Δικαίως οὖν ὁ Φυσιολόγος ἐφ' ἡμῶν ἥρμοσε τὰς φύσεις τῶν ζῴων, ⟨τῶν ἐν⟩ τῇ θεοπνεύστῳ Γραφῇ].

## Β′

### 14. Περὶ ἐχίνων.

**62** Ἐχῖνοι μορφὴν ἔχουσιν σφαίρας οὓς καὶ ἀκανθοχοίρους ὀνομάζουσιν· ὁλόκεντροί εἰσιν.

Ὁ Φυσιολόγος ἔλεξεν περὶ αὐτῶν, ὅτι ἀναβαίνουσιν, φη-

1. Πρβλ. Β′ Τιμ. 3,5. 2. Ρωμ. 16,18. 3. Α′ Κορ. 15,33. 4. Πρβλ. Ἰω. 15,1. 5. Πρβλ. Β′ Κορ. 5,10. 6. Πρβλ. Ματθ. 6,13.



σίν, ἐπὶ τὴν ἄμπελον καὶ ἔρχονται ἐπὶ τὸν βότρυν. Καὶ βάλλει τὰς ῥῶγας ἐπὶ τὴν γῆν καὶ καταβαίνει· βάλλει οὖν ἑαυτὴν ἄνω βλέπουσα, καὶ κολλῶνται αἱ ῥῶγες ἐπὶ τὰ ἑαυτῆς κέντρα, καὶ προσάγει τοῖς τέκνοις· καὶ ἀφίησιν τὸ κλῆμα τοῦ βότρυος κενόν.

Καὶ σὺ οὖν, πολιτευτά, καὶ παράστηθι τῷ νοερῷ κλήματι τῆς ἀμπέλου ἀληθινῆς[1] παρὰ τὸ ἐναχθῆναί σε εἰς ⟨τὴν νοερὰν ληνὸν καὶ ἀποταμιευθῆναί σε εἰς⟩ αὐλὰς βασιλέως καὶ ἐπὶ ἅγιον βῆμα Χριστοῦ[2] χωρῆσαι· καὶ μὴ ἀφῇς τὴν ἐχῖνα, τὸ πνεῦμα τὸ πονηρόν[3], ἀναβῆναι εἰς τὴν καρδίαν σου, τουτέστιν τὰς ἀντικειμένας δυνάμεις, καὶ δίκην τῆς βότρυος ἀφήσει σε ἔρημον μὴ ἔχοντα ὅλως ἀκρέμονα ἐν σοί.

## Γ′

### Περὶ ἐχίνου ἤτοι ἀκανθοχοίρου.

**63** Ὁ δὲ ἐχῖνος μορφὴν σφαίρας ἔχων ὁλόκεντρός ἐστιν, καθὼς φησιν ὁ Φυσιολόγος, ὅτι ἀναβαίνει ἐπὶ τὴν ἄμπελον καὶ καταφέρει κάτω τὰς τῶν βοτρύων ῥῶγας· καὶ ἀνακλίνει ἑαυτὸν ἐν αὐταῖς βλέπων ἄνω, καὶ λαμβάνει τοῖς κέντροις αὐτοῦ τὰς ῥῶγας καὶ ἀπάγει τοῖς τέκνοις· καὶ ἀφίησι τὸ κλῆμα κενόν.

Οὕτω καὶ σύ, ὦ ἄνθρωπε, παράστηθι τῇ νοητῇ καὶ ἀληθινῇ ἀμπέλῳ[4]· τοῦ ἀπαχθῆναί σε εἰς αὐλὰς βασιλείας ἐπὶ τὸ ἅγιον βῆμα[5]· πῶς γὰρ ἀφῆκας τὴν ἐχῖνα, τὸ πονηρὸν πνεῦμα[6], ἀναβῆναι εἰς τὴν καρδίαν σου, τουτέστιν τὰς ἀντικειμένας δυνάμεις, καὶ δίκην βοτρύων κατέλειπέ ⟨σε⟩ ἔρημον μὴ ἔχον⟨τα⟩ ὅλως καρπὸν ἐν σοί;

## Α′

### 15. Περὶ ἀλώπεκος.

**57** Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ἀλώπεκος ὅτι δόλιον ζῷόν ἐστιν. Ἐὰν γὰρ πεινάσῃ καὶ μὴ εὕρῃ θήραν φαγεῖν, ζητεῖ

1. Πρβλ. Ἰω. 15,1. 2. Πρβλ. Β′ Κορ. 5,10. 3. Πρβλ. Ματθ. 6,13. 4. Πρβλ. Ἰω. 15,1. 5. Πρβλ. Β′ Κορ. 5,10. 6. Πρβλ. Ματθ. 6,13.

ποῦ εὕρῃ τέλμα τῆς γῆς **58** ἢ ἀχυροθήκην, καὶ βάλλει ἑαυτὴν ἄνω βλέπουσαν, **[529]** καὶ ἕλκει τὰς πνοὰς εἰς ἑαυτήν, καὶ φυσᾶται παντελῶς· καὶ νομίζοντα τὰ πετεινὰ ὅτι τέθνηκε, κατασκηνοῦσιν ἐπάνω αὐτῆς τοῦ φαγεῖν αὐτήν, καὶ οὕτως, ἀναστᾶσα, ἁρπάζει αὐτὰ καὶ κατεσθίει.

**59** Οὕτω καὶ ὁ διάβολος δόλιός ἐστι παντελῶς καὶ αἱ πράξεις αὐτοῦ· ὁ θέλων μεταλαβεῖν τῶν σαρκῶν αὐτοῦ, ἀποθνήσκει. Αἱ σάρκες γὰρ αὐτοῦ εἰσι αὗται· πορνεῖαι, φιλαργυρίαι, ἡδοναί, φόνοι[1].

Ἐκ τούτου καὶ ὁ Ἡρώδης παρεπλησίασε τῇ ἀλώπεκι[2], καὶ ὁ γραμματεὺς ἀκούσας παρὰ τοῦ Σωτῆρος· «αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις»[3]. Καὶ ἐν τοῖς Ἄσμασιν ὁ Σολομὼν λέγει· «πιάσατε ἡμῖν ἀλώπεκας μικράς, ἀφανιζούσας τοὺς ἀμπελῶ**60**νας»[4]. Καὶ ὁ Δαβὶδ ἐν τοῖς Ψαλμοῖς λέγει· «μερίδες ἀλωπέκων ἔσονται»[5], καὶ τὰ ἑξῆς.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ἀλώπεκος.

## Β′

### 15. Περὶ ἀλώπεκος.

**64** Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς ἀλώπεκος, ὅτι δόλιον ζῷόν ἐστιν. Ἐὰν πεινάσῃ καὶ μὴ εὕρῃ παντελῶς θῆρα φαγεῖν, ζητεῖ, ποῦ ἐστιν θέρμη τῆς γῆς ἢ ἀποθήκη, καὶ βάλλει ἑαυτὴν ἄνω βλέπουσα καὶ ἕλκει τὰς πνοὰς εἰς ἑαυτὴν καὶ ὀγκοῦται παντελῶς. Καὶ νομίζουσι τὰ πετεινά, ὅτι τέθνηκεν, καὶ κατέρχονται ἐπ' αὐτὴν τοῦ φαγεῖν αὐτήν· ἡ δὲ ἐξαίφνης ἀναστᾶσα ἁρπάζει καὶ κατεσθίει αὐτά. Οὕτως καὶ ὁ διάβολος δόλιός ἐστιν παντελῶς, καὶ αἱ πράξεις αὐτοῦ πολύτροποι. Ὁ θέλων μεταλαβεῖν τῶν σαρκῶν αὐτοῦ ἀποθνήσκει· αἱ σάρκες αὐτοῦ εἰσιν αὗται· φόνοι, μοιχεῖαι, φιλαργυρίαι, ἡδοναί, εἰδωλολατρεῖαι[6]. Ἐκ τούτου καὶ ὁ Ἡρώδης τῇ ἀλώπεκι εἰκάζεται[7], καὶ ὁ γραμματεὺς ἀκούσας παρὰ τοῦ Σωτῆρος· «αἱ ἀλώπεκες φωλεοὺς ἔχου-

1. Πρβλ. Γαλ. 5,19-21. 2. Πρβλ. Λουκ. 13,32. 3. Ματθ. 8,20. 4. Ἄσμ. 2,15. 5. Ψαλ. 62,11. 6. Πρβλ. Γαλ. 5,19-21. 7. Πρβλ. Λουκ. 13,32.



σι»[1]. Καὶ ὁ Σολομὼν ἐν τοῖς Ἄσμασιν· «πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας»[2].

Καὶ ὁ Δαβὶδ ἐν Ψαλμῷ· «μερίδες ἀλωπέκων ἔσονται»[3].

## Α′

### 16. Περὶ πάνθηρος.

**60** Ὁ προφήτης προεφήτευσε καὶ εἶπεν· ἐγενόμην ὡς πάνθηρ τῷ Ἐφραΐμ[4]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ πάνθηρος ὅτι τοιαύτην φύσιν ἔχει· πάντων τῶν ζῴων φίλτατόν ἐστιν, ἐχθρὸν δὲ μόνου τοῦ δράκοντος· **61** παμποίκιλόν ἐστιν ὡς ὁ χιτὼν τοῦ Ἰωσήφ[5] καὶ ὡραῖον, ἡσύχιον δὲ καὶ πρᾷον πάνυ.

Ἐὰν φάγῃ καὶ χορτασθῇ, κοιμᾶται ἐν τῷ φωλεῷ αὐτοῦ, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγείρεται ἐκ τοῦ ὕπνου, καὶ βοᾷ μεγάλῃ τῇ φωνῇ κράζων, **62** καὶ οἱ μακρὰν καὶ ἐγγὺς θῆρες ἀκούουσι τῆς τούτου φωνῆς· ἐκ δὲ τῆς φωνῆς αὐτοῦ πᾶσα εὐωδία ἀρωμάτων ἐξέρχεται, καὶ ἀκολουθοῦντες οἱ θῆρες τῇ εὐωδίᾳ τῆς φωνῆς τοῦ πάνθηρος, ἔρχονται ἔγγιστα αὐτοῦ.

**63** Οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐβόησε· σήμερον σωτηρία τῷ κόσμῳ, ὅσος τε ὁρατὸς καὶ ὅσος ἀόρατος[6], καὶ πᾶσα εὐωδία ἐγένετο ἡμῖν, τοῖς μακρὰν καὶ τοῖς ἐγγύς, καὶ εἰρήνη[7], ὡς εἶπεν ὁ Ἀπόστολος.

Παμποίκιλός ἐστιν ἡ νοερὰ σοφία τοῦ Θεοῦ[8], ὡς καὶ ἐν τῷ Ψαλμῷ εἴρηται· «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη»[9], [ἥτις ἐστὶν ἡ Ἐκκλησία].

**64** [Παμποίκιλός ἐστιν ὁ Χριστός, αὐτὸς ὢν παρθενία, ἐγκράτεια, ἐλεημοσύνη, πίστις, ἀρετή, ὁμόνοια, εἰρήνη, μακροθυμία, ἀλλὰ καὶ ἐχθρός ἐστι τοῦ ἀποστάτου δράκοντος, τοῦ ἐν τῷ ὕδατι].

1. Ματθ. 8,20. 2. Ἄσμ. 2,15. 3. Ψαλ. 62,11. 4. Πρβλ. Ὠσ. 5,14. 5. Πρβλ. Γεν. 37,3. 6. Πρβλ. Λουκ. 19,9. 7. Πρβλ. Ἐφ. 2,17. 8. Πρβλ. Ἐφ. 3,10. 9. Ψαλ. 44,10.

Οὐδὲν οὖν ἀσκόπως, ὡς εἴρηται, περὶ πετεινῶν καὶ θηρίων ἐλάλησαν αἱ Θεῖαι Γραφαί.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ πάνθηρος.

Β'

## 16. Περὶ πάνθηρος ζῴου.

**66** Ὁ προφήτης ἐπροφήτευσεν καὶ εἶπεν· ἐγενόμην ὡς πάνθηρ τῷ Ἐφραΐμ[1].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ πάνθηρος, ὅτι τοιαύτην φύσιν ἔχει· πάντων τῶν ζῴων φίλτατόν ἐστιν, ἐχθρὸς δέ ἐστιν τοῦ δράκοντος· πανποίκιλόν ἐστιν ὡς χιτὼν τοῦ Ἰωσήφ[2] καὶ ὡραῖον καὶ ἡσύχιον πάνυ. Ἐὰν φάγῃ καὶ χορτασθῇ, κοιμᾶται ἐν τῷ φωλεῷ αὐτοῦ· καὶ τρίτῃ ἡμέρᾳ ἐγείρεται ἐκ τοῦ ὕπνου καὶ βοᾷ μεγάλῃ τῇ φωνῇ κράζων· οἱ δὲ μακρόθεν καὶ πλησίον ἀκούουσιν τὴν φωνὴν αὐτοῦ· ἐκ δὲ τῆς φωνῆς αὐτοῦ πᾶσα εὐωδία ἀρωμάτων ἐξέρχεται· καὶ ἀκολουθοῦντες τῇ εὐωδίᾳ τῆς φωνῆς τοῦ πάνθηρος ἔρχονται πλησίον αὐτοῦ.

**68** Οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναστὰς ἐκ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ πᾶσα εὐωδία ἐγένετο ἡμῖν, «εἰρήνη τοῖς ἐγγὺς καὶ τοῖς μακράν»[3], ὡς εἶπεν ὁ ἀπόστολος.

Ἡ νοερὰ σοφία τοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν παμποίκιλός[4] ἐστιν ὁ Χριστὸς αὐτὸς ὢν παρθενία, ἐγκράτεια, πίστις, ἀρετή, ὁμόνοια, εἰρήνη, μακροθυμία[5] καὶ ἐν τῷ Ψαλμῷ εἴρηται· «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη»[6]. Ἀλλὰ καὶ ἐχθρός ἐστιν τοῦ ἀποστάτου δράκοντος τοῦ ἐν τῷ ὕδατι.

Οὐδὲν οὖν ἀσκόπως περὶ πετεινῶν καὶ θηρίων εἶπεν ἡ Γραφή.

**1.** Πρβλ. Ὠσ. 5,14. **2.** Πρβλ. Γεν. 37,3. **3.** Ἐφ. 2,17. Ἡσ. 57,19. **4.** Πρβλ. Ἐφ. 3,10. **5.** Πρβλ. Γαλ. 5,22. **6.** Ψαλ. 44,10.



Γ'

## [Π]ερὶ πάνθηρος.

**67** [Ὁ] προφήτης ἔφησεν· ἐγενόμην ὡς πάνθηρ τῷ Ἐφραΐμ[1].

Ὁ δὲ Φυσιολόγος ἔφη, ὅτι τοιαύτην φύσιν ἔχει ὁ πάνθηρ· πάντων τῶν ζῴων ἐστὶ ποθεινότατον, ἐχθρὸς δὲ μόνου τοῦ δράκοντος· πανποίκιλον δὲ καὶ ὡραῖον ὡς ὁ χιτὼν τοῦ Ἰωσήφ[2], ἥσυχον δὲ καὶ πρᾶον πάνυ. Ἐὰν φάγῃ καὶ χορτασθῇ, κοιμᾶται εἰς τὸν φωλεὸν αὐτοῦ· καὶ ἀνίσταται τῇ τρίτῃ ἡμέρᾳ ἐκ τοῦ ὕπνου καὶ βοᾷ μεγάλῃ τῇ φωνῇ κράζων· οἱ δὲ ἐγγὺς καὶ μακρὰν ἀκούοντες θῆρες καὶ τῆς αὐτοῦ ὀσφραινόμενοι φωνῆς, ἐξ ἧς πᾶσα εὐωδία ἀρωμάτων ἐξέρχεται, ἔρχονται ἐγγὺς αὐτοῦ.

**69** Οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναστὰς ἐκ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ ἐβόησε· σήμερον σωτηρία τῷ κόσμῳ[3], ὅσος τε ὁρατὸς καὶ ὅσος ἀόρατος καὶ πᾶσιν ἡμῖν τοῖς ἐν γῇ καὶ τοῖς μακρὰν εἰρήνη εὐωδίας ἐγένετο[4]· ἡ νοερὰ σοφία τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ παμποίκιλός ἐστιν[5], ὁ Χριστὸς αὐτὸς ὢν παρθενία, ἐγκράτεια, πίστις, ἀρετή, ὁμόνοια, εἰρήνη, μακροθυμία, ὡς ὁ ψαλμῳδὸς ἔφησεν· «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ πεποικιλμένη»[6]. Ἀλλὰ καὶ ἐχθρός ἐστι τοῦ ἀποστάτου δράκοντος.

Οὐδὲν οὖν ἀσκόπως, ὡς εἴρηται, πετεινῶν καὶ θηρίων εἶπον αἱ Θεῖαι Γραφαί.

Α'

## 17. Περὶ ἀσπιδοχελώνης.

**64** Ὁ Σολομὼν ἐν ταῖς Παροιμίαις παραινεῖ λέγων· «μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον μαχαίρας

**1.** Πρβλ. Ὠσ. 5,14. **2.** Πρβλ. Γεν. 37,3. **3.** Πρβλ. Λουκ. 19,9. **4.** Πρβλ. Ἐφ. 2,17. **5.** Πρβλ. Ἐφ. 3,10. **6.** Ψαλ. 44,10.

διστόμου. Τῆς γὰρ ἀφροσύνης οἱ πόδες **65** κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θάνατον εἰς τὸν Ἅδην»[1].

Ἔστι κῆτος ἐν τῇ θαλάσσῃ ἀσπιδοχελώνῃ λεγόμενον, δύο φύσεις ἔχον.

Πρώτη αὐτοῦ φύσις αὕτη· ἐὰν πεινάσῃ, ἀνοίγει αὐτοῦ τὸ στόμα, καὶ πᾶσα εὐωδία ἀρωμάτων ἐκ τοῦ στόματος αὐτοῦ ἐξέρχεται, καὶ ὀσφραίνονται οἱ μικροὶ ἰχθύες, καὶ στοιβάζονται εἰς τὸ στόμα αὐτοῦ, καὶ κατα**66**πίνει αὐτούς· τοὺς δὲ μεγάλους καὶ τελείους ἰχθύας οὐχ εὑρίσκω ἐγγίζοντας τῷ κήτει.

Οὕτω καὶ ὁ διάβολος καὶ οἱ αἱρετικοὶ διὰ τῆς χρηστολογίας καὶ ἀπάτης, τῆς δοκούσης εἶναι εὐωδίας, δελεάζουσι τοὺς νηπιώδεις καὶ ἀτελεῖς τὴν διάνοιαν, τοὺς δὲ τελείους τὸ φρόνημα ἀκατασχέτους ἔχουσιν, οἷον Ἰὼβ τέλειος ἰχθύς, Μωυσῆς, Ἡσαΐας, Ἱερεμίας, καὶ πᾶς ὁ χορὸς τῶν προφητῶν· ὡς ἐξέφυγεν Ἰουδὴθ Ὀλοφέρνην, Ἐσθὴρ Ἀρταξέρξην, Σωσάννα τοὺς πρεσβυτέρους, Θέκλα Θάμυριν.

**67** Ἡ δὲ ἄλλη φύσις τοῦ κήτους· μέγα ἐστὶ πάνυ, ὅμοιον νήσῳ· ἀγνοοῦντες οὖν οἱ ναῦται, δεσμεύουσι τὰ πλοῖα αὐτῶν εἰς αὐτὸ ὡς ἐν νήσῳ, καὶ τὰς ἀγκύρας καὶ τοὺς πασσάλους τῶν πλοίων πήσσουσιν, ἅπτουσι δὲ ἐπάνω τοῦ κήτους πυρὰν εἰς τὸ ἑψῆσαι ἑαυτοῖς τι· ἐπὰν δὲ θερμανθῇ, δύνει εἰς τὸν βυθὸν καὶ βυθίζει τὰ πλοῖα.

**68** Καὶ σὺ οὖν, ἐὰν κρεμάσῃς σεαυτὸν τῇ ἐλπίδι τοῦ διαβόλου, βυθίζει σε ἅμα αὐτῷ εἰς τὴν γέενναν τοῦ πυρός.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ἀσπιδοχελώνης.

Β′

17. Περὶ ἀσπιδοχελῶνος.

**70** Ὁ Σολομὼν ἐν ταῖς Παροιμίαις παραινεῖ διδάσκων καὶ λέγων· «μὴ πρόσεχε φαύλῃ γυναικί· [μέ]λι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ⟨ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα,⟩ ὕστερον δὲ πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου· τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατά-

1. Παρμ. 5,3-5.



γουσι τοὺς χρωμένους αὐτῇ μετὰ θάνατον εἰς τὸν Ἅδην»[1].

Ἔστιν κῆτος ἐν τῇ θαλάσσῃ ἀσπιδοχελὼν λεγόμενον, δύο φύσεις ἔχον. Πρώτη αὐτοῦ φύσις αὕτη· ἐὰν πεινάσῃ, ἀνοίγει τὸ στόμα αὐτοῦ, καὶ πᾶσα εὐωδ[ία] ἀρωμάτων ἐκ τοῦ στόματος αὐτοῦ ἐξέρχεται· καὶ ὀσφραίνοντ[αι] οἱ μικροὶ ἰχθύες καὶ στοιβάζονται εἰς τὸ στόμα αὐτοῦ, καὶ καταπίνει αὐτούς· τοὺς δὲ μεγάλους ἰχθύας οὐκ εὑρίσκω ἐγγίζοντας τῷ κήτει, οἷον Μωυσῆς τέλειος ἰχθύς, Ἠλίας, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ καὶ πᾶς ὁ χορὸς τῶν προφη**72**τῶν· ὡς ἐξέφυγεν Ἰουδὶθ Ὀλοφέρνην, Ἐσθὴρ Ἀρταξέρξην, Θέκλα Θάμυριν, Σουσάννα τοὺς πρεσβυτέρους.

Δευτέρα φύσις τ[οῦ κή]τους· μέγα ἐστὶν πάνυ· γίνεται ὅμοιον νήσῳ· ἀγνοοῦσιν οἱ ν[αῦται] καὶ δένουσιν τὰ πλοῖα αὐτῶν εἰς αὐτὸ ὥσπερ ἐν νήσῳ καὶ τὰς ἀ[γκύ]ρας καὶ τοὺς πασσάλους πήσσουσι τῶν πλοίων αὐτῶν· ἅπτουσιν δὲ ἐπάνω τοῦ κήτους πυρὰν εἰς τὸ ἑψῆσαι τὰ δοκοῦντα αὐτοῖς· ἐὰν οὖν θερμανθῇ, ἐξαίφνης δύνει εἰς τὸν βυθὸν καὶ βυθίζει τὰ πλοῖα.

Οὕτως καὶ σύ, ὦ ἄνθρωπε, ἐὰν κρεμάσῃς ἑαυτὸν τῇ ἐλπίδι τοῦ διαβόλου καὶ ματαιότητι τοῦ πλάνου βίου, βυθίζῃ ἅμα σὺν αὐτῷ εἰς τὴν γέενναν τοῦ πυρός.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς ἀσπιδοχελώνης.

Γ′

**71** — Περὶ ἀσπιδοχελῶνος —.

**73** — Περὶ ἀσπιδοχελῶνος —.

Α′

18. Περὶ πέρδικος.

**68** Ἱερεμίας ὁ προφήτης λέγει· «ἐφώνησε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκε, ποιῶν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως· ἐν

1. Παρμ. 5,3-5.

ἡμίσει ἡμερῶν αὐτοῦ καταλείψουσιν αὐτόν, καὶ ἐπ' ἐσχάτων αὐτοῦ ἔσται ἄφρων»[1].

Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ πέρδικος ὅτι ἀλλότρια ὠὰ **[525]** θάλπει καὶ **69** νοσσοποιεῖ· ἐπὰν δὲ αὐξήσωσιν, ἕκαστον γένος ἀνίπταται πρὸς τοὺς ἰδίους γονεῖς καὶ μόνον ἄφρονα ἀφιᾶσιν αὐτόν.

Οὕτω καὶ ὁ διάβολος ἁρπάζει τὸ γένος τῶν νηπίων ταῖς φρεσίν· ἐπὰν δὲ εἰς μέτρον ἡλικίας ἔλθωσιν, ἄρχονται ἐπιγινώσκειν τοὺς γονεῖς **70** αὐτῶν τοὺς οὐρανίους, τουτέστι τὸν Χριστὸν καὶ τὴν Ἐκκλησίαν καὶ τοὺς ἁγίους προφήτας καὶ Ἀποστόλους, καὶ μόνον ἄφρονα ἀφιᾶσιν αὐτόν.

Καλῶς οὖν ἔλεξεν ὁ Φυσιολόγος περὶ τοῦ πέρδικος.

Β'

## 18. Περὶ πέρδικος.

**74** Ἰ[ε]ρεμίας ὁ προφήτης λέγει· «ἐφώνησεν πέρδιξ, συνήγαγεν, ἃ οὐκ ἔτεκεν, ποιῶν πλοῦτον αὐτῆς οὐ μετὰ διακρίσεως, καὶ ἀφίουσιν αὐτήν, καὶ ἐπ' ἐσχάτων αὐτῆς ἔσται ἄφρων»[2].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ πέρδικος, ὅτι ἀλλότρια ὠὰ θάλπει καὶ νοσσοποιεῖ· ἐπὰν δὲ αὐξηθῶσιν, ἀνίπτανται πρὸς τοὺς ἑαυτῶν γονεῖς καὶ μόνην ἄφρονα ἀφίουσιν αὐτήν.

Οὕτω καὶ ὁ διάβολος ἁρπάζει τὸ γένος τῶν νηπίων ταῖς φρεσίν· ἐπὰν δὲ εἰς μέτρον ἡλικίας ἔλθωσιν, ἄρχονται ἐπιγνῶναι τοὺς γονεῖς αὐτῶν τοὺς νοεροὺς καὶ οὐρανίους, τουτέστιν τὸν Χριστὸν καὶ τοὺς ἁγίους προφήτας καὶ Ἀποστόλους, καὶ μόνον ἄφρονα ἀφίουσιν [αὐτόν].

Γ'

## **58** — Περὶ πέρδικος —.

1. Ἱερ. 17,11. 2. Ἐνθ' ἀν.



Α'

## 19. Περὶ γυπός.

**70** Καλῶς ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν εἶπεν ἐν τῷ Εὐαγγελίῳ· «οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις»[1]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ γυπὸς ὅτι ἐν τοῖς ὑψηλοῖς τόποις καὶ μετεώροις αὐλίζεται, καὶ κοιμᾶται ἐπὶ τὰς ὑψηλὰς πέτρας ἢ ἐπὶ τὰ πτερύγια τῶν ὀρέων.

**71** Ἐὰν οὖν ἔγκυος γένηται, πορεύεται ἐν τῇ Ἰνδίᾳ καὶ λαμβάνει τὸν εὐτόκιον λίθον. Ὁ δὲ λίθος κατὰ τὸ κάρυον ἔχει τὴν περιφέρειαν, καὶ ἐὰν θέλῃς αὐτὸν κινῆσαι, ἄλλος λίθος ἔνδον αὐτοῦ σαλεύεται, ὥσπερ κώδων κρούων καὶ ἠχῶν· ἐὰν δὲ καὶ ἡ ὠδίνουσα αὐτὸν καταλάβῃ, κάθηται ἐπάνω τοῦ εὐτοκίου λίθου καὶ ἀπόνως γεννᾷ.

**72** Καὶ σὺ οὖν, ὦ ἄνθρωπε, **[524]** γενόμενος ἐγκύμων Ἁγίου Πνεύματος, λαβὲ τὸν νοερὸν εὐτόκιον λίθον, τὸν ἀποδοκιμασθέντα παρὰ τῶν οἰκοδομούντων, ὃς ἐγεννήθη εἰς κεφαλὴν γωνίας[2], καὶ ἐπ' αὐτὸν καθεσθείς, ὡς εἶπεν Ἡσαΐας ὁ προφήτης, τέκῃς πνεῦμα σωτηρίας· «διὰ γὰρ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς»[3]. Ἀληθῶς γὰρ εὐτόκιος Ἁγίου **73** Πνεύματος οὗτος ὁ λίθος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἄνευ χειρῶν τμηθείς[4], τουτέστιν ἄνευ σπορᾶς ἀνθρώπου ἐκ Παρθένου γεννηθείς, καὶ ὥσπερ ὁ εὐτόκιος λίθος ἄλλον λίθον ἔνδον εἶχεν ἠχοῦντα, οὕτω καὶ τοῦ Κυρίου τὸ σῶμα εἶχεν ἠχοῦσαν τὴν θεότητα.

Καλῶς οὖν ὁ Φυσιολόγος εἶπε περὶ τοῦ γυπός.

Β'

## 19. Περὶ γυπός.

**76** Καλῶς εἶπεν ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ ἐν τῷ Εὐαγγε-

1. Ματθ. 24,19. Μάρκ. 13,17. Λουκ. 21,23. 2. Πρβλ. Ψαλ. 117,22. Ματθ. 21,42. Μάρκ. 12,10. Λουκ. 20,17. 3. Ἡσ. 26,17-18. 4. Πρβλ. Δαν. 2,34.

λίῳ· «οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις»[1].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ γυπός, ὅτι ἐν τοῖς ὑψηλοῖς τόποις καὶ μετεώροις εὑρίσκεται καὶ κοιμᾶται ἐπὶ τὰς ὑψηλὰς πέτρας καὶ ἐπὶ τὰ πτερύγια τῶν ὀρέων. Ἐὰν οὖν ἔγκυος γίνηται, πορεύεται ἐν τῇ Ἰνδίᾳ καὶ λαμβάνει τὸν εὐτόκιον λίθον· ὁ δὲ λίθος ἐστὶν κατὰ τὸ κάρυον· ἐὰν θέλῃς αὐτὸν κινῆσαι, ἄλλος λίθος ἔνδοθεν αὐτοῦ σαλεύεται καὶ κρούων καὶ ποιῶν ἦχον. Ἐὰν δὲ καὶ ὠδίνουσα αὐτὸν λάβῃ καὶ κάθηται ἐπάνω αὐτοῦ, ἀπόνως γεννήσει.

**78** Καὶ σύ, ὦ ἄνθρωπε λαβὲ τὸν νοερὸν εὐτόκιον λίθον, γενόμενος ἔγκυος ὑπὸ τοῦ Ἁγίου Πνεύματος, τὸν ἀποδοκιμασθέντα παρὰ τῶν οἰκοδόμων, ὃς ἐγενήθη εἰς κεφαλὴν γωνίας[2] καὶ ἐπ᾽ αὐτῷ καθεσθείς, ὡς εἶπεν Ἡσαΐας ὁ προφήτης, τέκῃς πνεῦμα σωτηρίας· «διὰ γὰρ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας (σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς)»[3]. Ἀληθῶς γὰρ εὐτόκιος οὗτος ὁ λίθος τοῦ Ἁγίου Πνεύματος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ἄνευ χειρῶν τμηθείς[4], ⟨τουτέστιν ἄνευ σπορᾶς ἀνθρώπου ἐκ Παρθένου γεννηθείς⟩. Καὶ ὥσπερ ὁ εὐτόκιος λίθος ἔχει ἔνδοθεν ἄλλον λίθον ἀντηχοῦντα, οὕτω καὶ τὸ Κυρίου σῶμα ἔνδον εἶχεν ἠχοῦσαν τὴν θεότητα.

## Γ′

## Περὶ γυπός.

**77** Καλῶς ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν εἴρηκεν ἐν τῷ Εὐαγγελίῳ· «οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις»[5].

Ὁ δὲ Φυσιολόγος περὶ γυπός, ὅτι ἐν τοῖς ὑψηλοῖς καὶ μετεώροις τόποις αὐλίζεται καὶ κοιμᾶται ἐπὶ τὰ ὑψηλὰ πτερύγια τῶν ὀρέων. Ἐὰν οὖν ἔγκυος γίνηται, ἐν Ἰνδίᾳ ὑπάγει καὶ

1. Ματθ. 24,19. Μάρκ. 13,17. Λουκ. 21,23. 2. Πρβλ. Ψαλ. 117,22. Ματθ. 21,42. Μάρκ. 12,10. Λουκ. 20,17. 3. Ἡσ. 26,17-18. 4. Πρβλ. Δαν. 2,34. 5. Ματθ. 24,19. Μάρκ. 13,17. Λουκ. 21,23.



λαμβάνει τὸν εὐτόκιον λίθον. Ὁ δὲ λίθος κατὰ (spatium vacuum) ἔχει τὴν περιφέρειαν, καὶ ἐὰν θέλῃς αὐτὸν κυνηγῆσαι, ἄλλος λίθος ἔνδοθεν αὐτοῦ σαλεύεται ὥσπερ κώδων κρούων καὶ ἠχῶν. Ἐὰν δὲ καὶ ἡ ὠδίνουσα αὐτὸν καταλάβῃ, κάθηται ἐπάνω τοῦ εὐτοκίου λίθου καὶ ἀπόνως κύει.

**79** Οὕτω καὶ σύ, ὦ ἄνθρωπε, ἔγκυος ὢν Ἁγίου Πνεύματος, λαβὲ τὸν εὐτόκιον λίθον τὸν ἀποκομισθέντα παρὰ τῶν οἰκοδομούντων, ὃς ἐγενήθη εἰς κεφαλὴν γωνίας[1], καὶ ἐπ᾽ αὐτὸν καθεσθείς, ὥσπερ Ἡσαΐας ὁ προφήτης φησί, τέκῃς πνεῦμα σωτηρίας· «διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς»[2]. Ἀληθῶς γὰρ εὐτόκιος λίθος Ἁγίου Πνεύματος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἄνευ χειρὸς τμηθείς[3], τουτέστιν ἄνευ σπορᾶς ἀνθρώπου ἐκ παρθένου γεννηθείς· καὶ ὥσπερ ὁ εὐτόκιος λίθος ἄλλον λίθον ἔνδοθεν ἔχων, οὕτω καὶ ὁ Κύριος ἡμῶν γήϊνον σῶμα φορῶν εἶχεν ἔνδοθεν τὴν θεότητα.

## Α′

## 20. Περὶ μυρμηκολέοντος.

**73** Ἐλιφὰζ ὁ Θαιμανῶν βασιλεὺς ἔλεξε· «μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν»[4]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ μυρμηκολέοντος ὅτι τὰ **74** μὲν ἐμπρόσθια ἔχει λέοντος, τὰ δὲ ὀπίσθια μύρμηκος. Ὁ μὲν πατὴρ σαρκοφάγος ἐστίν, ἡ δὲ μήτηρ ὄσπρια τρώγει, ὅταν δὲ γεννῶσι τὸν μυρμη**75**κολέοντα, γεννῶσιν αὐτὸν δύο φύσεις ἔχοντα, καὶ οὐ δύναται φαγεῖν κρέα διὰ τὴν φύσιν τῆς μητρός, οὐδὲ ὄσπρια διὰ τὴν φύσιν τοῦ πατρός· ἀπόλλυται οὖν διὰ τὸ μὴ ἔχειν τροφήν.

Οὕτω καὶ πᾶς «ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ»[5]. **76** Οὐ χρὴ βαδίζειν δύο τρίβους, οὐδὲ δισσὰ λέγειν ἐν τῇ προσευχῇ· οὐαὶ γάρ, φησί, καρδίᾳ δισσῇ καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους[6]. Οὐ καλὸν εἰπεῖν τὸ ναὶ οὔ,

1. Πρβλ. Ψαλ. 117,22. Ματθ. 21,42. Μάρκ. 12,10. Λουκ. 20,17. 2. Ἡσ. 26,17-18. 3. Πρβλ. Δαν. 2,34. 4. Ἰὼβ 4,11. 5. Ἰάκ. 1,8. 6. Πρβλ. Σ. Σειρ. 2,12.

καὶ τὸ οὒ ναί, ἀλλὰ τὸ «ναὶ ναί, καὶ τὸ οὒ οὔ»[1], καθὼς εἶπεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Καλῶς οὖν ἔλεξεν ὁ Φυσιολόγος περὶ τοῦ μυρμηκολέοντος.

Β′

### 20. Περὶ μυρμηκολέοντος.

**80** Ἐλιφὰζ ὁ Θαιμανῶν βασιλεὺς ἔλεξεν· «μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν»[2].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ μυρμηκολέοντος, ὅτι τὰ μὲν ἔμπροσθεν ἔχει λέοντος, τὰ δὲ ὄπισθεν μύρμηκος. Ὁ πατὴρ σαρκοφάγος ἐστίν, ἡ δὲ μήτηρ ὀσπριοφάγα· ὅταν οὖν γεννῶσιν τὸν μυρμηκολέοντα, δύο φύσεις γεννῶσι αὐτὸν ἔχοντα, μίαν τὴν τοῦ πατρὸς καὶ ἑτέραν τὴν τῆς μητρός. Οὐ δύναται οὖν φαγεῖν κρέα διὰ τὴν φύσιν τῆς μητρὸς οὐδὲ ὄσπρια διὰ τὴν φύσιν τοῦ πατρός. Ἀπόλλυται οὖν διὰ τὸ μὴ ἔχειν τροφήν.

Οὕτω καὶ πᾶς «ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ»[3]. Οὐ καλὸν λέγειν τὸ οὒ ναὶ καὶ τὸ ναὶ οὔ, ⟨ἀλλὰ τὸ «ναὶ ναὶ καὶ τὸ οὒ οὔ,»⟩[4] ὡς εἶπεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Γ′

### **81** —Περὶ μυρμηκολέοντος—

Α′

### 21. Περὶ γαλῆς.

**76** Ὁ Νόμος λέγει· μὴ φάγῃς γαλῆν, μηδὲ τὸ ὅμοιον αὐτῆς[5]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς γαλῆς ὅτι τοιαύτην φύσιν ἔχει· τὸ στόμα αὐ**77**τῆς συλλαμβάνει παρὰ τοῦ ἄρρενος, καὶ ἔγκυος γενομένη τοῖς ὠσὶ γεννᾷ· κακῶς οὖν ἐκ τῶν ἀκοῶν γεννῶσιν.

**1.** Ματθ. 5,37. Β′ Κορ. 1,17. Ἰακ. 5,12. **2.** Ἰὼβ 4,11. **3.** Ἰακ. 1,8. **4.** Ματθ. 5,37. Β′ Κορ. 1,17. **5.** Πρβλ. Λευϊτ. 11,29.



Εἰσί τινες τὸν πνευματικὸν ἄρτον τρώγοντες ἐν τῇ Ἐκκλησίᾳ· ἐπὰν **78** δὲ ἐξέλθωσιν, ἐκβάλλουσι τὸν λόγον ἐκ τῶν ἀκοῶν, ἐοικότες τῇ ἀκαθάρτῳ γαλῇ καὶ γίνονται ὡσεὶ ἀσπὶς κωφὴ βύουσα τὰ ὦτα αὐτῆς[1].

Μὴ φάγῃς οὖν γαλῆν, μηδὲ τὸ ὅμοιον αὐτῆς.

Β′

### 21. Περὶ γαλῆς.

**82** Ὁ νόμος λέγει· μὴ φάγῃς γαλῆν μήτε τὸ ὅμοιον αὐτῆς[2].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς γαλῆς, ὅτι τοιαύτην φύσιν ἔχει· ἐκ τοῦ στόματος αὐτῆς συλλαμβάνει παρὰ τοῦ ἄρρενος καὶ ἔγκυος γενομένη τοῖς ὠσὶν γεννᾷ.

Εἰσί γαρ τινες συναγόμενοι ἐν τῇ Ἐκκλησίᾳ μόρφωσιν μὲν ἔχοντες εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἀρνούμενοι· καὶ ἀκούουσιν τὸν θεῖον λόγον καὶ τὸν πνευματικὸν ἄρτον ἐσθίουσιν, ἐπὰν δὲ ἀπολυθῶσιν ἐκ τῆς Ἐκκλησίας, ἐκβάλλουσι τὸν θεῖον λόγον ἐκ τῶν ἀκοῶν ἐοικότες τῇ ἀκαθάρτῳ γαλῇ.

Μὴ οὖν φάγῃς γαλῆν μηδὲ τὸ ὅμοιον αὐτῆς.

Γ′

### **83** —Περὶ γαλῆς—.

Α′

### 22. Περὶ μονοκέρωτος.

**78** Ὁ Ψαλμὸς λέγει· «καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου»[3]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ μονοκέρωτος ὅτι τοιαύτην φύσιν ἔχει· μικρὸν **79** ζῷόν ἐστιν, ὅμοιον ἐρίφῳ, δριμύτατον δὲ σφόδρα· οὐ δύναται κυνηγὸς ἐγγίσαι αὐτό, διὰ τὸ ἰσχύειν αὐτὸ πολύ, ἓν δὲ κέρας ἔχει μέσον τῆς κεφαλῆς αὐτοῦ.

**1.** Πρβλ. Ψαλ. 57,5. **2.** Πρβλ. Λευϊτ. 11,29. **3.** Ψαλ. 91,11.

Πῶς οὖν ἀγρεύεται; παρθένον ἁγνὴν [ἐστολισμένην] ῥί**80**πτουσιν ἔμπροσθεν αὐτοῦ, καὶ ἅλλεται εἰς τὸν κόλπον αὐτῆς, καὶ ἡ παρθένος θηλάζει τὸ ζῷον, καὶ αἴρει αὐτὸ εἰς τὸ παλάτιον τῷ βασιλεῖ.

**81** Φέρεται οὖν τὸ ζῷον εἰς πρόσωπον τοῦ Σωτῆρος· ἤγειρε γὰρ κέρας ἐν οἴκῳ Δαβὶδ τοῦ πατρὸς ἡμῶν[1] καὶ κέρας σωτηρίας γέγονε ἡμῖν. Οὐκ ἠδυνήθησαν ἄγγελοι καὶ δυνάμεις αὐτὸν κρατῆσαι, ἀλλ' ἐσκή**82**νωσεν εἰς τὴν γαστέρα τῆς ἀληθοῦς ἁγνῆς Παρθένου Μαρίας [τῆς Θεοτόκου], «καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[2].

Β'

22. Περὶ μονοκέρωτος.

**84** Ὁ Ψαλμῳδὸς λέγει· «ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου»[3].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ μονοκέρωτος, ὅτι τοιαύτην φύσιν ἔχει· μικρὸν ζῷόν ἐστιν, ὅμοιον ἐρίφῳ, ἥσυχον δέ ἐστιν καὶ πρᾶον πάνυ· ἓν κέρας ἔχει μέσον τῆς κεφαλῆς αὐτοῦ. Οὐ δύναται οὖν κυνηγὸς ἐγγίσαι αὐτῷ διὰ τὸ ἰσχύειν αὐτόν. Πῶς οὖν ἀγρεύεται; Παρθένον ἁγνὴν προσβάλλουσιν ἔμπροσθεν αὐτοῦ, καὶ ἅλλεται εἰς τὸν κόλπον τῆς παρθένου· καὶ θηλάζει τὸ ζῷον καὶ αἴρει αὐτὸν εἰς τὸ παλάτιον τοῦ βασιλέως.

Φέρεται οὖν εἰς πρόσωπον τοῦ Σωτῆρος· ἐν οἴκῳ γὰρ Δαβὶδ ἤγειρεν ⟨κέρας σωτηρίας⟩ ἐκ τοῦ πατρὸς ἡμῶν[4]. Οὐκ ἠδυνήθησαν ἀγγελικαὶ δυνάμεις κρατῆσαι, ἀλλ' ἐσκήνωσεν εἰς τὴν γαστέρα τῆς ἀληθῶς ἀεὶ παρθένου Μαρίας, «καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[5].

Γ'

**85** — Περὶ μονοκέρωτος —.

**1.** Πρβλ. Λουκ. 1,69. **2.** Ἰω. 1,14. **3.** Ψαλ. 91,11. **4.** Πρβλ. Λουκ. 1,69. **5.** Ἰω. 1,14.



Α'

23. Περὶ ζῴου κάστορος.

**82** Ἔστι ζῷον λεγόμενον κάστωρ, ἤπιον πάνυ καὶ ἡσύχιον, τὰ δὲ ἀναγ**83**καῖα αὐτοῦ εἰς θεραπείαν χωροῦσιν. Ὅταν δὲ ὑπὸ τῶν κυνηγῶν διώκηται καὶ γνῷ ὅτι καταλαμβάνεται, τὰ ἀναγκαῖα αὐτοῦ κόψας, ῥίπτει τῷ κυνηγῷ· ἐὰν δὲ πάλιν ἑτέρῳ κυνηγῷ περιπέσῃ καὶ διώκηται, ῥίπτει ἑαυτὸν **84** ὕπτιον ὁ κάστωρ, καὶ δείκνυσιν αὐτῷ ἑαυτόν, καὶ ἐκ τούτου νοήσας ὁ κυνηγὸς ὅτι ἀναγκαῖα οὐκ ἔχει, ἀναχωρεῖ ἀπ' αὐτοῦ.

Καὶ σὺ οὖν, πολιτευτά, ἀπόδος τὰ τοῦ κυνηγοῦ αὐτῷ. Ὁ κυνηγός ἐστιν ὁ διάβολος, τὰ δὲ αὐτοῦ εἰσι πορνεία, μοιχεία, φόνος· ἔκκοψον τὰ **85** τοιαῦτα καὶ δὸς τῷ διαβόλῳ, καὶ ἀφήσει σε ὁ θηρευτὴς διάβολος, ἵνα καὶ σὺ εἴπῃς· «ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων»[1].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ κάστορος.

Β'

23. Περὶ κάστορος.

**86** Ἔστιν ζῷον λεγόμενον κάστωρ, ἤπιον πάνυ καὶ ἥσυχον· τὰ δὲ ἀναγκαῖα αὐτοῦ προχωροῦσιν εἰς θεραπείαν. Ὅταν δὲ ὑπὸ τῶν κυνηγῶν διώκηται καὶ νοῇ, ὅτι καταλαμβάνεται, τὰ ἀναγκαῖα αὐτοῦ κόψας ῥίπτει τῷ κυνηγῷ· ἐὰν δὲ πάλιν περιπέσῃ ἑτέρῳ κυνηγῷ καὶ διώκηται, ῥίπτει ἑαυτὸν ὕπτιον ὁ κάστωρ, καὶ νοήσας ὁ κυνηγός, ὅτι ἀναγκαῖα οὐκ ἔχει, ἀναχωρεῖ ἀπ' αὐτοῦ.

Καὶ σὺν οὖν, πολιτευτά, ἀπόδος τὰ τοῦ κυνηγοῦ αὐτῷ· κυνηγὸς ὁ διάβολός ἐστιν· πορνεία ἐν σοὶ ἢ μοιχεία ἢ φιλαργυρία· ἔκκοψον τὰ τοιαῦτα καὶ δὸς τῷ κυνηγῷ διαβόλῳ καὶ ἀφήσει σε, ἵνα καὶ σὺ εἴπῃς· «ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων»[2].

**1.** Ψαλ. 123,7. **2.** Ἐνθ' ἀν.

Γ′

## 87 —Περὶ κάστορος—.

Α′

### 24. Περὶ ὑαίνης.

**85** Ὁ Νόμος λέγει· μὴ φάγῃς ὕαιναν μηδὲ τὸ ὅμοιον αὐτῆς[1]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ὑαίνης ὅτι ἀρρενόθηλύ ἐστι· ποτὲ μὲν ἄρρην **86** γίνεται, ποτὲ δὲ θῆλυ· μεμιαμμένον θηρίον ἐστὶ διὰ τὸ ἀλλάσσειν αὐτὸ τὴν φύσιν. Διὰ τοῦτο καὶ Ἱερεμίας λέγει· «μὴ σπήλαιον ὑαίνης ἡ κληρονομία μου ἐμοί»[2].

Μὴ οὖν ἐξομοιωθῇς καὶ σὺ τῇ ὑαίνῃ, ποτὲ μὲν τὴν ἄρρενα, ποτὲ δὲ τὴν θήλειαν φύσιν ἀσπαζόμενος, οὕς, φυσί, μεμφόμενος ὁ θεῖος ἀπόστολος ἔφασκεν· «ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατειργάσαντο»[3].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ὑαίνης.

Β′

### 24. Περὶ ὑαίνης.

**88** Ὁ νόμος λέγει· μὴ φάγῃς ὕαιναν μηδὲ τὸ ὅμοιον αὐτῆς[4].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς ὑαίνης, ὅτι ἀρρενόθηλύ ἐστιν· ποτὲ μὲν ἄρρεν γίνεται, ποτὲ δὲ θῆλυ· μεμιαμμένον ζῷόν ἐστιν διὰ τὸ ἀλλάσσειν ἑαυτῷ τὴν φύσιν· διὰ τοῦτο καὶ Ἱερεμίας λέγει· «μὴ σπήλαιον ὑαίνης, κληρονομία ἐμοί;»[5].

Μὴ οὖν ὁμοιωθῇς καὶ σὺ τῇ ὑαίνῃ, ποτὲ μὲν ὡς ἄρρεν, ποτὲ δὲ τὴν θήλειαν ἀσπαζόμενος φύσιν· οὕς, φησί, μεμφόμενος καὶ ὁ θεῖος ἀπόστολος ἔφασκεν· «ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατηργάσαντο»[6].

---

**1.** Πρβλ. Δευτ. 14,8. **2.** Ἱερ. 12,9. **3.** Ρωμ. 1,27. **4.** Πρβλ. Δευτ. 14,8. **5.** Ἱερ. 12,9. **6.** Ρωμ. 1,27.



Γ′

## 89 —Περὶ ὑαίνης—.

Α′

### 25. Περὶ ζῴου ἐνύδρου.

**87** Ἔστι ζῷον λεγόμενον ἔνυδρος, μορφὴν ἔχουσα κυνός, ἐχθρὰ δέ ἐστι τοῦ κροκοδείλου. Κοιμώμενος δὲ ὁ κροκόδειλος, ἀνεῳγμένον τὸ στόμα ἔχει· ἀπέρχεται οὖν ἡ ἔνυδρος, καὶ χρίεται ὅλον τὸ σῶμα πηλῷ, καὶ ἐπὰν **88** ξηρανθῇ ὁ πηλός, ἅλλεται εἰς τὸ στόμα τοῦ κροκοδείλου, καὶ πάντας τοὺς πόρους αὐτοῦ τρώγει καὶ τὰ ἔγκατα κατεσθίει.

Ἔοικεν οὖν ὁ κροκόδειλος τῷ διαβόλῳ, ἡ δὲ ἔνυδρος εἰς τὸ τοῦ Σωτῆρος ἡμῶν πρόσωπον λαμβάνεται· λαβὼν γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν χοϊκὴν σάρκα, κατέβη εἰς τὸν ᾍδην, καὶ ἔλυσε τὰς ὀδύνας τοῦ θανάτου[1], εἰρηκὼς τοῖς ἐν δεσμοῖς· ἐξέλθατε, καὶ τοῖς ἐν τῷ σκότει· ἀνακαλύφθητε[2]. Καὶ πάλιν ὁ Ἀπόστολος· «ποῦ σου, θάνατε, τὸ νῖκος, ποῦ σου, ᾍδη, τὸ κέντρον»[3], καὶ ἀνέστη τριήμερος ἐκ νεκρῶν[4], συναναστήσας αὐτῷ τὴν χοϊκὴν οὐσίαν.

Β′

### 25. Περὶ κορκονήλου καὶ ἐνύδρου.

**90** Ἔστιν ζῷον λεγόμενον ὕλλος, τινὲς δὲ ἐνυδρίδα λέγουσιν, μορφὴν ἔχουσα κυνός· ἐχθρός ἐστι τοῦ κορκονήλου· ὁ γὰρ κορκόνηλος ἐὰν χορτάσῃ, ἀνεῳγμένον τὸ στόμα ἔχει· ὑπάγει οὖν ἡ ἔνυδρος καὶ χρίει ὅλον τὸ σῶμα αὐτῆς πηλῷ· οὕτως ἅλλεται εἰς τὸ στόμα τοῦ κορκονήλου καὶ πάντας τοὺς πόρους αὐτοῦ κατατρώγει καὶ τὰ ἔγκατα αὐτοῦ κατεσθίει.

Ἔοικεν ὁ κορκόνηλος τῷ διαβόλῳ, ἡ ἔνυδρος τοῦ Σωτῆρος ἡμῶν πρόσωπον λαμβάνει· λαβὼν γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς

---

**1.** Πρβλ. Πράξ. 2,24. **2.** Πρβλ. Ἡσ. 49,9. **3.** Α′ Κορ. 15,55. Πρβλ. Ὠσ. 13,14. **4.** Πρβλ. Μάρκ. 8,31.

Χριστὸς τὴν χοϊκὴν σάρκα κατέβη εἰς τὸν Ἅδην καὶ ἔλυσεν τὰς ὀδύνας τοῦ θανάτου[1], εἰρηκὼς τοῖς ἐν δεσμοῖς· ἐξέλθετε καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθε[2]. Καὶ πάλιν ὁ [ἀπ]όστολος· «ποῦ σου, θάνατε, τὸ νῖκος, ποῦ σου, Ἅδη, τὸ κέντρον»[3] καὶ ἀ[ν]έστη τριήμερος ἐκ τῶν νεκρῶν[4].

Γ′

### Περὶ ὕλλου καὶ κορκονίλλου.

**91** Ἔστι ζῷον λεγόμενον ὕλλος, τινὲς δὲ καὶ ἐνύδριον καλοῦσι, μορφὴν ἔχον κυνός· ἐχθρὸς δέ ἐστι τοῦ κορκονίλλου· κοιμώμενος δὲ ὁ κορκόνιλλος ἀνεῳγμένον ἔχει τὸ στόμα· ὑπάγει οὖν ὁ ἔνυδρος καὶ χρίεται ὅλον τὸ σῶμα πηλὸν καὶ ἅλλεται εἰς τὸ στόμα τοῦ κορκονίλλου καὶ πάντας τοὺς πόρους αὐτοῦ τρώγει κατεσθίων τὰ ἔγκατα αὐτοῦ.

Ἔοικεν οὖν ὁ κορκόνιλλος τῷ διαβόλῳ, ἡ δὲ ἐνυδρὶς πρόσωπον τοῦ Σωτῆρος λαμβάνει· λαβὼν γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν χοϊκὴν σάρκα κατέβη εἰς τὸν Ἅδην καὶ ἔλυσε τὰς ὀδύνας τοῦ θανάτου[5], κράζων τοῖς ἐν δεσμοῖς· ἐξέλθατε καὶ τοῖς ἐν τῷ σκότει· ἀνακαλύπτεσθε[6]. Καὶ ὁ ἀπόστολος· «ποῦ σου, θάνατε, τὸ νῖκος, ποῦ σου, Ἅδη, τὸ κέντρον;»[7] καὶ ἀνέστη ἐκ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ[8], συναναστήσας αὐτῷ τὴν χοϊκὴν οὐσίαν.

Α′

### 26. Περὶ ἰχνεύμονος.

**88** Ἔστιν ζῷον λεγόμενον ἰχνεύμων, [ὅμοιος ὑός], ἐχθρὸς πάνυ τοῦ δρά**89**κοντος. Ἐπὰν οὖν εὕρῃ ἄγριον δράκοντα, καθὼς ὁ Φυσιολόγος λέγει, πορεύεται καὶ χρίει ἑαυτὸν πηλῷ, καὶ τῇ κέρκῳ τοὺς μυκτῆρας τηρεῖ, ἕως οὗ ἀπέκτεινε τὸν δράκοντα.

**90** Οὕτω καὶ ὁ Σωτὴρ ἡμῶν ἔλαβε τὴν τοῦ χοὸς γένους

1. Πρβλ. Πράξ. 2,24. 2. Πρβλ. Ἡσ. 49,9. 3. Α′ Κορ. 15,55. Πρβλ. Ὠσ. 13,14. 4. Πρβλ. Μάρκ. 8,31. 5. Πρβλ. Πράξ. 2,24. 6. Πρβλ. Ἡσ. 49,9. 7. Α′ Κορ. 15,55. Πρβλ. Ὠσ. 13,14. 8. Πρβλ. Μάρκ. 8,31.



οὐσίαν ἕως οὗ ἀπέκτεινε τὸν δράκοντα τὸν Φαμῶ, τὸν καθήμενον ἐπὶ τοῦ ποταμοῦ Αἰγύπτου[1], τουτέστι τὸν διάβολον. Εἰ γὰρ ἀσώματος ὁ Χριστός, πῶς τὸν δράκοντα εἶχεν ἀπολέσαι; Ἀντέλεγεν ἂν αὐτῷ ὁ δράκων ὅτι Θεὸς εἶ καὶ Σωτήρ, καὶ οὐ δύναμαί σοι[2]. Ἀλλ' ὁ πάντων μείζων ἑαυτὸν ἐταπείνωσεν, ἵνα πάντας σώσῃ[3].

Β′

### 26. Περὶ ἰχνεύμονος.

**92** Ἔστιν ζῷον λεγόμενον ἰχνεύμων· ἐχθρός ἐστιν πάνυ τοῦ δράκοντος· ἐπὰν οὖν εὕρῃ ἄγριον δράκοντα, ὑπάγει καὶ χρίει ἑαυτὸν πηλῷ, καὶ τῇ κέρκῳ τοὺς μυκτῆρας τηρεῖ, ἕως οὗ ἀποκτείνῃ τὸν δράκοντα.

Οὕτω καὶ ὁ Σωτὴρ ἡμῶν ἔλαβεν τὴν τοῦ χοὸς γένους οὐσίαν, τουτέστιν τὸ σῶμα, ὃ ἀνέλαβεν, ἕως οὗ ἀπέκτεινεν τὸν νοερὸν δράκοντα, τὸν Φαμῶτα τὸν καθήμε[νον] ἐπὶ τοῦ ποταμοῦ Αἰγύπτου[4]. Εἰ γὰρ ἀσώματος ὁ Χριστός, πῶς τὸν δρά[κοντ]α ἀπέλασεν; Ἔλεγεν αὐτῷ ⟨ὁ δράκων ὅτι⟩ οὐ δύναμαί σοι, ὅτι Θεὸς καὶ Σωτὴρ εἶ[5]. Ἀλλ' ὁ [πάν]των μείζων ἑαυτὸν ἐταπείνωσεν, ἵνα πάντας σώσῃ[6].

Γ′

### Περὶ ἰχνεύμονος.

**93** Ἔστι ζῷον λεγόμενον ἰχνεύμων· πάνυ ἐχθρός ἐστι τοῦ ὄφεως· ἐπὰν δὲ εὕρῃ ἄγριον ὄφιν, ὑπάγει καὶ χρίει ἑαυτὸν πηλόν, καὶ τοὺς μυκτῆρας τῇ κέρκῳ τηρεῖ, ἕως οὗ ἀπέκτεινε τὸν ὄφιν.

Οὕτω καὶ ὁ Σωτὴρ ἡμῶν λαβὼν τὴν τοῦ γένους ἡμῶν χοϊκὴν οὐσίαν, ἀπέκτεινε τὸν δράκοντα, τὸν Φαμὼφ τὸν καθήμενον ἐπὶ τὸν ποταμὸν Αἰγύπτου[7]· καὶ ἑαυτὸν ἐταπείνωσεν, ἵνα πάντας σώσῃ[8].

1. Πρβλ. Ἰεζ. 29,3. 2. Πρβλ. Λουκ. 4,41. Ματθ. 8,29. Μάρκ. 3,11. 3. Πρβλ. Φιλιπ. 2,7. 4. Πρβλ. Ἰεζ. 29,3. 5. Πρβλ. Λουκ. 4,41. Ματθ. 8,29. Μάρκ. 3,11. 6. Πρβλ. Φιλιπ. 2,7. 7. Πρβλ. Ἰεζ. 29,3. 8. Πρβλ. Φιλιπ. 2,7.

## Α'

### 27. Περὶ κορώνης.

**91** Καλῶς ὁ Ἱερεμίας ἔλεγε τῇ Ἱερουσαλήμ· ἐκάθισας ὡσεὶ κορώνη ἠρημωμένη[1]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς κορώνης ὅτι μονόγαμός ἐστι, καὶ ὅταν ὁ ταύτης ἀνὴρ τελευτήσῃ, οὐκέτι συγγίνεται ἑτέρῳ ἀνδρί, οὐδὲ ὁ κόραξ ἑτέρᾳ γυναικί.

Ἡ Συναγωγὴ τῶν Ἰουδαίων, ἡ ἐπίγειος Ἱερουσαλήμ, φονεύσασα τὸν Κύριον[2]... οὐκέτι ⟨γὰρ⟩ ὁ Χριστὸς ἀνὴρ ταύτης γίνεται· «ἡρμο**92**σάμην γὰρ ἡμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Κυρίῳ»[3], ἀλλ' ἐμοίχευσαν τῷ ξύλῳ καὶ τῷ λίθῳ[4].

Ἐὰν οὖν καὶ ἡμεῖς ἔχωμεν τὸν ἄνδρα ἐν καρδίᾳ, οὐκ εἰσβαίνει ὁ μοιχὸς διάβολος· ἐὰν δὲ ἐκβῇ ὁ ἀνδρεῖος λόγος ἐκ τῆς ψυχῆς ἡμῶν, εἰσδύνει ὁ ἀντικείμενος· «οὐ γὰρ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ»[5] [καὶ οὐκέτι εἰσβαίνουσι λησταὶ εἰς τὴν νοεράν σου καρδίαν].

Καλῶς ἔλεξεν ὁ Φυσιολόγος περὶ τῆς κορώνης.

## Β'

### 27. Περὶ κορώνης.

**94** Καλῶς ὁ Ἱερεμίας ἔλεγεν τῇ Ἱερουσαλήμ· ἐκάθισας ὡς κορώνη ἐρημωμένη[6].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς κορώνης, ὅτι μονόγαμός ἐστιν· ὅταν ὁ ταύτης ἀνὴρ τελευτήσῃ, οὐκέτι συγγίνεται ἑτέρῳ ἀνδρί, οὔτε ὁ κόραξ ἑτέρᾳ γυναικί.

Ἡ Συναγωγὴ τῶν Ἰουδαίων, ἡ ἐπίγειος Ἱερουσαλήμ, φονεύσασα τὸν Κύριον[7], οὐκέτι ὁ Χριστὸς ἀνὴρ αὐτῆς γίνεται· «ἡρμοσάμην γ[ὰ]ρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ»[8], φησὶν ὁ θεῖος ἀπόστολος, ἀλλ' ἐμοίχευσαν τῷ ξύλῳ καὶ τῷ λίθῳ[9].

Ἐὰν οὖν καὶ ἡμεῖς ἔχωμεν τὸν ἄνδρα ἐν τῇ καρδίᾳ, οὐκ

**1.** Πρβλ. Ἱερ. 3,2. **2.** Πρβλ. Ἰακ. 5,6. **3.** Β' Κορ. 11,2. **4.** Πρβλ. Ἱερ. 3,9. **5.** Ψαλ. 120,4. **6.** Πρβλ. Ἱερ. 3,2. **7.** Πρβλ. Ἰακ. 5,6. **8.** Β' Κορ. 11,2. **9.** Πρβλ. Ἱερ. 3,9.



εἰσβαίνει ὁ μοιχὸς διάβολος· ἐὰν ἐκβῇ ὁ ἀνδρεῖος λόγος ἐκ τῆς ψυχῆς ἡμῶν, εἰσδύνει ὁ ἀντικείμενος· «οὐ γὰρ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ»[1].

## Γ'

### [Π]ερὶ κορώνης.

**95** [Ὁ] δὲ Ἱερεμίας ἔλεγεν τῇ Ἱερουσαλήμ· ἐκάθισα ὡσεὶ κορώνη ἠρημωμένη[2].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς κορώνης, ὅτι μονόγαμός ἐστιν· καὶ ὅταν ὁ ταύτης ἀνὴρ τελευτήσῃ, οὐκέτι συγγίνεται ἑτέρῳ ἀνδρί, οὐδὲ ὁ κόραξ ἑτέρᾳ γυναικί.

Ἡ Συναγωγὴ τῶν Ἰουδαίων, ἡ παρά(γω)γειος Ἱερουσαλήμ, φονεύσασα τὸν Κύριον[3], οὐκέτι ὁ Χριστὸς ὁ ταύτης ἀνὴρ γίνεται· «ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Κυρίῳ»[4]· ἀλλ' ἐμοίχευσαν τῷ ξύλῳ καὶ τῷ λίθῳ[5].

Ἐὰν οὖν καὶ ἡμεῖς ἔχωμεν τὸν ἄνδρα ἐν καρδίᾳ, οὐκ εἰσβαίνει ὁ μοιχὸς διάβολος· ἐὰν ἐκβῇ ὁ ἀνδρεῖος λόγος ἐκ τῆς ψυχῆς ἡμῶν, εἰσδύνει ὁ ἀντικείμενος· «οὐ γὰρ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ»[6].

## Α'

### 28. Περὶ τρυγόνος.

Ἐν τοῖς Ἄσμασιν ὁ Σολομὼν μαρτυρεῖ καὶ λέγει· «φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν»[7]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς τρυγόνος ὅτι αὕτη μονόγαμός ἐστι **[525]** καὶ ἀναχωρητικὴ πάνυ, καὶ ἐν τοῖς ἐρήμοις οἰκεῖ· οὐκ ἀγαπᾷ εἶναι μέσον πλήθους.

Οὕτω καὶ ὁ Σωτὴρ ἡμῶν ηὐλίζετο ἐν τῷ ὄρει τῶν ἐλαιῶν, λαβὼν [γὰρ ὁ Ἰησοῦς] τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, [ἀνέβησαν εἰς τὸ ὄρος], καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ἡ-

**1.** Ψαλ. 120,4. **2.** Πρβλ. Ἱερ. 3,2. **3.** Πρβλ. Ἰακ. 5,6. **4.** Β' Κορ. 11,2. **5.** Πρβλ. Ἱερ. 3,9. **6.** Ψαλ. 120,4. **7.** Ἆσμ. 2,12.

λίας[1], καὶ φωνὴ οὐρανόθεν λέγουσα· «οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· [αὐτοῦ ἀκούετε]»[2].

Ἡ τρυγὼν ἀναχωρεῖν ἀγαπᾷ, καὶ οἱ γενναιότατοι χριστοφόροι τὸ ἀναχωρεῖν ἀγαπάτωσαν. «Ὡς γὰρ τρυγών, οὕτω φωνήσω καὶ ὡσεὶ περιστερὰ οὕτω μελετήσω»[3]. Τρυγὼν καὶ χελιδὼν ἀγροῦ στρουθία ἔγνωσαν καιρὸν εἰσόδου αὐτῶν[4]. [Οὕτω καὶ σὺ ὦ ἄνθρωπε].

Καλῶς ὁ Φυσιολόγος ἔλεξε περὶ τρυγόνος.

### 28.bis Περὶ τρυγόνος καὶ περιστερᾶς.

«Ὡς τρυγών, οὕτω φωνήσω, καὶ ὡς περιστερά, οὕτω μελετήσω»[5]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς τρυγόνος ὅτι λαλίστατός ἐστι πάνυ· ὅταν δὲ χηρεύσῃ, τῇ τοῦ ἀπελθόντος μνήμῃ συναποθνήσκει καὶ ἑτέρῳ οὐ μίγνυται.

Χριστῷ δὲ παρεικαστέον τὰ πτηνά· αὐτὸς γὰρ ἡμῶν ἐστιν ἡ νοητὴ λαλίστατος τρυγών, τὸ εὔστομον ἀληθῶς στρουθίον, ὃς τοῖς Εὐαγγελικοῖς κηρύγμασι κατεκελάδησε τὴν ὑπ' οὐρανόν, ᾧ καὶ αὐτὴ προσπεφώνηκεν ἡ νύμφη, τουτέστιν ἡ ἐξ ἐθνῶν Ἐκκλησία· δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν μοι τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία[6]. Αὐτὸς ἡ ἁπαλὴ καὶ ἀκακοῦργος ἀληθῶς καὶ δόλον οὐκ ἔχουσα περιστερά· οὐ γὰρ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ δόλος[7], κατὰ τὸ γεγραμμένον.

Καλῶς οὖν ἔλεξεν ὁ Φυσιολόγος περὶ τῆς τρυγόνος.

## Β'

### 28. Περὶ τρυγόνος.

**96** Ἐν τοῖς Ἄσμασιν ὁ Σολομὼν μαρτυρεῖ λέγων· «φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν»[8].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς τρυγόνος, ὅτι αὕτη μονόγαμός ἐστιν καὶ ἀναχωρητικὴ πάνυ· οὐκ ἀγαπᾷ μέσον πλήθους.

---

**1.** Πρβλ. Ματθ. 17,4. Μάρκ. 9,5. Λουκ. 9,33. **2.** Ματθ. 17,5. Μάρκ. 9,7. Λουκ. 9,35. **3.** Ἠσ. 38,14. **4.** Πρβλ. Ἱερ. 8,7. **5.** Ἠσ. 38,14. **6.** Πρβλ. Ἆσμ. 6,7. Πρβλ. Ἠσ. 53,9. Α' Πέτρ. 2,22. **7.** Πρβλ. Α' Πέτρ. 2,22. **8.** Ἆσμ. 2,12.



Καὶ ὁ Σωτὴρ ἡμῶν ηὐλίζετο ἐν τῷ ὄρει (τῶν ἐλαιῶν) λαβὼν τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας[1], καὶ ἡ οὐράνιος φ[ων]ὴ ἡ λέγουσα· «οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα»[2].

Ἡ τρυγὼν ἀναχωρεῖν ἀγαπᾷ· οἱ γενναιότατοι χριστοφόροι τὸ ἀναχωρεῖν ἀγαπάτωσαν.

«Ὡς γὰρ περιστερὰ οὕτως μελετήσω, καὶ ὡς τρυγὼν οὕτως φωνήσω»[3]. Τρυγὼν γὰρ καὶ χελιδὼν ἀγροῦ, στρουθία ἔγνωσαν καιρὸν εἰσόδου αὐτῶν[4].

## Γ'

### [Π]ερὶ τρυγόνος.

**97** Ἐν τοῖς Ἄσμασιν ὁ Σολομὼν μαρτυρεῖ λέγων· «φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν»[5].

Καὶ ὁ Φυσιολόγος, ὅτι αὕτη μονόγαμός ἐστι καὶ ἀναχωρητικὴ πάνυ· καὶ οὐκ ἀγαπᾷ μέσον πλήθους.

Ὁ οὖν Κύριος ἡμῶν ηὐλίζετο ἐν τῷ ὄρει τῶν ἐλαιῶν λαβὼν τὸν Πέτρον καὶ Ἰάκωβ⟨ον⟩ καὶ Ἰωάννην[6], καὶ ὤφθησαν Μωϋσῆ καὶ Ἠλία[7], καὶ φωνὴ οὐρανόθεν λέγουσα· «οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»[8].

Ἡ τρυγὼν ἀναχωρεῖν ἀγαπᾷ· καὶ οἱ γενναιότατοι χριστοφόροι τὸ ἀναχωρεῖν ἀγαπάτωσαν.

«Ὡς γὰρ περιστερὰ οὕτως μελετήσω»[9]. Καὶ ὡς τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία ἔγνωσαν καιρὸν εἰσόδου αὐτῶν[10]. Οὕτω καὶ σύ, ὦ ἄνθρωπε.

## Α'

### 29. Περὶ βατράχου [χερσαίου τε καὶ ἐνύδρου].

**95** Ἔστι βάτραχος χερσαῖος καὶ βάτραχος ἔνυδρος. Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ χερσαίου ὅτι βαστάζει τὸν καύσωνα

---

**1.** Πρβλ. Ματθ. 17,4. Μάρκ. 9,5. Λουκ. 9,33. **2.** Ματθ. 17,5. Μάρκ. 9,7. Λουκ. 9,35. **3.** Ἠσ. 38,14. **4.** Πρβλ. Ἱερ. 8,7. **5.** Ἆσμ. 2,12. **6.** Πρβλ. Ματθ. 17,1. Μάρκ. 9,2. Λουκ. 9,28. **7.** Πρβλ. Ματθ. 17,4. Μάρκ. 9,5. Λουκ. 9,33. **8.** Ματθ. 17,5. Μάρκ. 9,7. Λουκ 9,35. **9.** Ἠσ. 38,14. **10.** Πρβλ. Ἱερ. 8,7.

τοῦ ἡλίου καὶ τὸ φλογερὸν πῦρ· ἐπὰν δὲ σφοδρὸς χειμὼν καταλάβῃ αὐτόν, ἀποθνήσκει. Ὁ δὲ ἔνυδρος βάτραχος, ἐὰν ἔλθῃ ἀπὸ τοῦ ὕδατος καὶ ἅψηται αὐτοῦ ὁ ἥλιος, εὐθέως πάλιν εἰς τὸ ὕδωρ δύνει.

**96** Ἐοίκασιν οἱ γενναιότατοι πολιτευταὶ τῷ χερσαίῳ· φέρουσι γὰρ τῶν πειρασμῶν τὸν καύσωνα· ἐὰν οὖν σφόδρα χειμὼν αὐτοὺς καταλάβῃ, τουτέστι διωγμὸς ὑπὲρ ἀρετῆς, τελευτῶσιν. Οἱ δὲ τοῦ κόσμου ὑδρώδεις εἰσίν· ἐπὰν γὰρ ἅψηται αὐτῶν ὀλίγη θέρμη πειρασμοῦ ἢ ἐπιθυμίας, μὴ φέροντες, εἰσδύνουσι πάλιν ἐπὶ τὴν αὐτὴν τῆς λαγνείας ὄρεξιν.

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ βατράχου.

## Β'

### 29. Περὶ βατράχου.

**98** Ἔστιν βάθραξ χερσαῖος, ἔστιν καὶ ἔνυδρος.

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ χερσαίου, ὅτι βαστάζει τὸν καύσωνα τοῦ ἡλίου καὶ τὸν φλογετόν· ἐπὰν δὲ σφόδρα χειμὼν καταλάβῃ αὐτόν, ἀποθνῄσκει. Ὁ δὲ ἔνυδρος ἐὰν ἀνέλθῃ ἀπὸ τοῦ ὕδατος καὶ ἅψηται αὐτοῦ ὁ ἥλιος, εὐθέως πάλιν εἰς ὕδωρ δύνει.

Ἐοίκασιν οἱ γενναιότατοι πολιτευταὶ τῷ χερσαίῳ· φέρουσι γὰρ τοῦ πειρασμοῦ τὸν καύσωνα· ἐὰν δὲ σφόδρα χειμὼν αὐτοὺς καταλάβῃ, τουτέστιν διωγμὸς ὑπὲρ ἀρετῆς, τελευτῶσιν. Οἱ δὲ τοῦ κόσμου ὑδρώδεις εἰσίν· ἐπὰν δὲ ἅψηται αὐτῶν ὀλίγη θέρμη πειρασμοῦ ἢ ἐπιθυμίας, μὴ φέροντες δύνουσιν πάλιν ἐπὶ τὴν αὐτὴν τῆς λαγνείας ὄρεξιν.

## Γ'

### Περὶ βατράχων.

**99** Ἔστι βάθραξ χερσαῖος καὶ βάθραξ ἔνυδρος.

Καὶ ὁ Φυσιολόγος περὶ μὲν τοῦ χερσαίου ἔφη, ὅτι βαστάζει τὸν καύσωνα τοῦ ἡλίου καὶ τὸ φλογερὸν πῦρ· ἐπὰν δὲ σφοδρῶς χειμὼν καταλάβῃ αὐτόν, ἀποθνήσκει. Περὶ δὲ τοῦ ἐνύδρου· ἐὰν ἀνέλθῃ ἀπὸ τοῦ ὕδατος καὶ ἅψηται αὐτοῦ ὁ ἥλιος, εὐθὺς πάλιν ἐπὶ τὸ ὕδωρ δύνει.



Ἐοίκασιν οὖν οἱ γενναιότατοι πολιτευταὶ τῶν χερσαίων· φέρουσι γὰρ τῶν πειρασμῶν τὸν καύσωνα· ἐὰν οὖν σφοδρῶς αὐτοὺς χειμὼν καταλάβῃ, τουτέστι διωγμὸς ὑπὲρ ἀρετῆς, τελευτῶσιν. Οἱ δὲ τοῦ κόσμου ὑδρώδεις εἰσίν· ἐπὰν γὰρ ἅψηται αὐτῶν ὀλίγη θέρμη πειρασμοῦ ἢ ἐπιθυμίας, μὴ φέροντες εἰσδύνουσιν πάλιν ἐπὶ τὴν αὐτὴν τὴν τῆς λαγνείας ὄρεξιν.

## Α'

### 30. Περὶ ἐλάφου [καὶ ὄφεως].

**97** Ὁ μὲν Δαβὶδ λέγει· «ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός»[1]. Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ἐλάφου ὅτι ἐχθρὰ τοῦ δράκοντός ἐστι πάνυ. Ἐὰν φύγῃ ὁ δράκων ἀπὸ τῆς ἐλάφου εἰς τὰς ῥαγάδας τῆς γῆς, πορεύεται ἡ ἔλαφος καὶ ἐμπιπλᾷ τὰ ἀγγεῖα αὐτῆς πηγαίου ὕδατος, **[521]** καὶ ἐξεμεῖ ἐπὶ τὰς **98** ῥαγάδας τῆς γῆς, καὶ ἀναφέρει τὸν δράκοντα καὶ κατακόπτει αὐτὸν καὶ ἀποκτείνει.

Οὕτω καὶ ὁ Κύριος ἡμῶν ἀπέκτεινε τὸν δράκοντα τὸν μέγαν [τὸν διάβολον] ἐκ τῶν οὐρανίων ὑδάτων, ὧν εἶχεν, ὡς ἐν Θεολόγῳ, σοφίας ἐναρέτου· οὐ δύναται γὰρ ὁ δράκων βαστάζειν ὕδωρ, οὐδὲ ὁ διάβολος λόγον οὐράνιον.

**99** Ὁ Κύριος παρὼν ἐδίωξε τὸν μέγα δράκοντα [τὸν διάβολον ἐκ τῶν οὐρανίων ὑδάτων]· ἔκρυψε δὲ αὐτὸν ὁ διάβολος εἰς τὰ κατώτερα μέρη τῆς γῆς, ὡς ἐν μεγάλῃ ῥαγάδι κρυπτόμενος, καὶ ὁ Κύριος ἐκχέας ἐκ τῆς πλευρᾶς αὐτοῦ τὸ αἷμα καὶ τὸ ὕδωρ[2], ἀνεῖλεν ἀφ' ἡμῶν τὸν δράκοντα διὰ λουτροῦ παλιγγενεσίας, καὶ πᾶσαν ἀνεῖλεν ἐν ἡμῖν κρυπτομένην διαβολικὴν ἐνέργειαν. [Ἐτυμολογήσεται ἔλαφος ἐκ τοῦ ἀνελεῖν τοὺς ὄφεις. Ὄφις, ὁ φής, ἤγουν ὁ λαλήσας τῇ Εὔᾳ ποτέ].

Ἐὰν καὶ σὺ ἔχῃς νοῦν ἐν τῇ καρδίᾳ σου, κάλεσον τὰ Εὐαγγέλια καὶ λέξεταί σοι· «οὐ μοιχεύσεις»[3], «οὐ πορνεύσεις[4],

---

**1.** Ψαλ. 41,2. **2.** Πρβλ. Ἰω. 19,34. **3.** Δευτ. 5,17. Ἐξ. 20,13. **4.** Πρβλ. Δευτ. 5,21.

οὐ κλέψεις»[1]· τούτων τῶν νοερῶν ὑδάτων γευσάμενος, ἐξεμέσεις πᾶσαν κακίαν.

Καὶ σύ, ἄνθρωπε, ἐὰν ἔχῃς νοεροὺς δράκοντας κεκτημένους ἐν τῇ καρδίᾳ σου, κάλεσον τὰ Εὐαγγέλια, καὶ λέγουσί σοι· «οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ ψευδομαρτυρήσεις»[2]. Τὰ νοερὰ ὕδατα ἐὰν ἀκούσῃς, ἐξεμέσεις πᾶσαν κακίαν. Καὶ γίνεταί σου ἡ καρδία ναὸς Θεοῦ, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν σοί[3].

Καὶ σὺ οὖν, ὦ πολιτευτά, ἔμπλησον τὰ ἀγγεῖά σου τῶν εὐαγγελικῶν τοῦ **100** Κυρίου λόγων, καὶ λέξουσί σοι· «οὐ κλέψεις»[4], οὐ πορνεύσεις,[5], «οὐ φονεύσεις»[6], «οὐ μοιχεύσεις[7]», καὶ ταῦτα φυλάξας καὶ ἀπωσάμενος πᾶσαν κακίαν, ἐξέμεσον, καὶ ἀποκτενεῖς τὸν ἀρχέκακον δράκοντα ἤτοι τὸν διάβολον.

Ἐοίκασι τοίνυν ἐλάφῳ κατ' ἄλλον τρόπον οἱ ἀσκηταί, οἱ τὸν ἐνάρετον καὶ ἐπίπονον βίον διὰ σκληραγωγίας πολλῆς ἄγοντες οἵτινες, ὡς δεδιψηκότες ἐπὶ τὰς πηγὰς τῆς σωτηρίου μετανοίας τρέχοντες, διὰ τῶν τῆς ἐξομολογήσεως δακρύων κατασβεννύουσι τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα, καὶ καταπατοῦντες τὸν μέγαν δράκοντα, ἤτοι τὸν διάβολον, ἀποκτένουσιν αὐτόν.

Τρίχες γὰρ ἐλάφου ἐὰν φανῶσιν εἰς οἰκίαν, ἢ ὀστέον αὐτοῦ ἐὰν θυμιάσῃ τις, οὐδέποτε ὀσμὴν δράκοντος θεωρήσεις ἢ ἴχνος. Ὅπου γὰρ φόβος Χριστοῦ ἐὰν εὑρεθῇ εἰς τὴν καρδίαν σου, οὐδέποτε πονηρὸν φάρμακον ἀναβαίνει εἰς τὴν καρδίαν σου.

Ὁ Φυσιολόγος οὖν οὐκ ἀργῶς ἐλάλησε περὶ τῆς ἐλάφου.

### 30.bis

Ἔλεξε καὶ τοῦτο ὁ Φυσιολόγος· οἱ ἔλαφοι ὅπου ἐὰν καταντήσωσιν ὄφιν, καταπίνουσιν αὐτόν, καὶ τρέχει καὶ ἐλαύνεται σφοδρῶς. Ἐλαυνόμενος δὲ καὶ τρέχων, μὴ ἱστάμενος ἐπὶ δύο καὶ τρεῖς ἡμέρας, ⟨ὁ ὄφις⟩ χωνεύεται ὑπ' αὐτοῦ· χωνευθέντος δὲ τοῦ θηρίου, οὐρεῖ ⟨ὁ ἔλαφος⟩ αὐτὸ κάτω διὰ τῆς οὐρήθρας, καὶ ὅπου ἂν πέσῃ τὸ οὖρος ἐκεῖνο, γίνεται μόσχος ἄκρατος.

---

**1.** Δευτ. 5,19. Ἐξ. 20,14. **2.** Ματθ. 19,18. Μάρκ. 10,19. Πρβλ. Ἐξ. 20,15,13,16. **3.** Πρβλ. Α' Κορ. 3,16. **4.** Δευτ. 5,19. Ἐξ. 20,14. **5.** Πρβλ. Δευτ. 5,21. **6.** Δευτ. 5,18. Ἐξ. 20,15. **7.** Δευτ. 5,17. Ἐξ. 20,13.



**101** Οὕτω καὶ σύ, νοητὲ ἄνθρωπε, πολλὰ κοπιάσας καὶ δραμών, δυνήσει ἀπορρῖψαι τὴν δυσωδίαν τοῦ διαβόλου.

Καλῶς ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς ἐλάφου.

## Β'

### 30. Περὶ τῆς ἐλάφου.

**100** Ὁ μὲν Δαβὶδ λέγει· «ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός»[1].

Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς ἐλάφου, ὅτι ἐχθρὸς τοῦ δράκοντός ἐστιν πάνυ. Ἐὰν φύγῃ ὁ δράκων ἀπὸ τῆς ἐλάφου εἰς τὰς ῥαγάδας τῆς γῆς, πορεύεται ἡ ἔλαφος καὶ πιμπλᾷ τὰ ἀγγεῖα αὐτῆς πηγαίου ὕδατος καὶ ἐξεμεῖ ἐπὶ τὰς ῥαγάδας τῆς γῆς καὶ ἀναφέρει τὸν δράκοντα καὶ κατακόπτει αὐτόν.

Οὕτω καὶ ὁ Κύριος ἡμῶν ἀποκτείνει τὸν μέγαν δράκοντα ἐκ τῶν οὐρανίων ὑδάτων, ὧν εἶχεν ἐν Θεῷ Λόγῳ σοφίας ἐναρέτου· οὐ δύναται ὁ δράκων βαστάζειν τὸ ὕδωρ οὐδὲ ὁ διάβολος λόγον οὐράνιον· ὁ Κύριος παρὼν ἐδίωξεν τὸν μέγαν δράκοντα· ἔκρυψεν δὲ ἑαυτὸν ὁ διάβολος εἰς τὰ κατώτερα μέρη τῆς γῆς ὡς ἐν μεγάλῃ ῥαγάδι κρυπτόμενος· καὶ ὁ Κύριος ἐκχέας ἐκ τῆς πλευρᾶς αὐτοῦ τὸ αἷμα καὶ τὸ ὕδωρ[2] ἀνεῖλεν ἀφ' ἡμῶν τὸν δράκοντα· «διὰ λουτροῦ παλιγγενεσίας»[3], ὃ παρέσχεν ἡμῖν, ἀνεῖλεν πᾶσαν ἐν ἡμῖν διαβολικὴν ἐνέργειαν.

## Γ'

### Περὶ ἐλάφου καὶ ὄφεως.

**101** Ὁ Δαβὶδ ἔφησεν· «ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός»[4].

Καὶ ὁ Φυσιολόγος περὶ τῆς ἐλάφου, ὅτι ἐχθρός ἐστι τοῦ δράκοντος, Καὶ ἐὰν φύγῃ ὁ δράκων ἀπὸ τῆς ἐλάφου εἰς τὰς ῥαγάδας τῆς γῆς, πορεύεται ἡ ἔλαφος καὶ ἐμπιπλᾷ τὰ ἀγγεῖα

---

**1.** Ψαλ. 41,2. **2.** Πρβλ. Ἰω. 19,34. **3.** Τίτ. 3,5. **4.** Ψαλ. 41,2.

αὐτῆς πηγαίου ὕδατος καὶ ἐξεμεῖ ἐπὶ τὰς ῥαγάδας τῆς γῆς καὶ ἀναφέρει τὸν δράκοντα καὶ κατακόπτει αὐτόν.

Οὕτω καὶ ὁ Κύριος ἀποκτενεῖ τὸν δράκοντα ἐκ τῶν οὐρανίων ὑδάτων, ὡς ἔνθεν ὁ λόγος σοφία λέλεκται· οὐ δύναται ὁ δράκων βαστάζειν ὕδωρ οὐράνιον οὐδὲ ὁ διάβολος λόγον οὐράνιον· ὁ Κύριος παρὼν ἐδίωξε τὸν μέγα δράκοντα· ἔκρυψε δὲ αὐτὸν ὁ διάβολος εἰς τὰ κατώτερα μέρη τῆς γῆς ὡς ἐν μεγάλῃ ῥαγάδι· καὶ ὁ Κύριος ἐκχέας ἐκ τῆς ζωοποιοῦ πλευρᾶς αὐτοῦ τὸ θεῖον αἷμα καὶ ὕδωρ[1] ἀνεῖλεν ἀφ' ἡμῶν τὸν δράκοντα διὰ λουτροῦ παλιγγενεσίας, καὶ πᾶσαν ἀνεῖλεν ἀφ' ἡμῶν διαβολικὴν ἐνέργειαν.

## Α΄

### 31. Περὶ σαλαμάνδρας.

**101** Ἔστιν ζῷον λεγόμενον σαλαμάνδρα. Ὁ Φυσιολόγος ἔλεξε περὶ αὐτῆς ὅτι ἐὰν εἰσέλθῃ εἰς κάμινον πυρός, σβέννυται ὅλη ἡ κάμινος, καὶ ἐὰν εἰς ὑποκαυστήριον βαλανείου εἰσέλθῃ, σβέννυται τὸ ὑποκαυστήριον.

**102** Εἰ οὖν ἡ σαλαμάνδρα σβέννυσι τὸ πῦρ τῇ φυσιολογίᾳ, πῶς μέχρι τοῦ νῦν ἀπιστοῦσι τινὲς ὅτι οἱ τρεῖς παῖδες ἐμβληθέντες εἰς τὴν κάμινον οὐδὲν ἠδικήθησαν, ἀλλ' ἐκ τῶν ἐναντίον ἔψυξαν τὴν κάμινον[2]; Γέγραπται γὰρ ὅτι «κἂν διὰ πυρὸς εἰσέλθῃς, φλὸξ οὐ κατακαύσει σε»[3]. [Οὕτω καὶ σύ, ὦ ἄνθρωπε, δυνήθητι σβέσαι τὴν αἰώνιον καὶ ἄσβεστον φλόγα].

Εἰ οὖν ἡ σαλαμάνδρα σβέννυσι τὸ πῦρ τῇ ἑαυτῆς φυσιολογίᾳ, πόσῳ μᾶλλον ⟨εἰκὸς⟩ τοὺς δικαίους, τοὺς κατὰ δικαιοσύνην περιπατήσαντας, καὶ σβέσαντας τὸ πῦρ, καὶ φράξαντας στόματα λεόντων[4];

## Β΄

### 31. Περὶ σαλαμάνδρας.

**102** Ὁ Φυσιολόγος ἔλεξεν περὶ τῆς σαλαμάνδρας, ὅτι ἐὰν

---

**1.** Πρβλ. Ἰω. 19,34. **2.** Πρβλ. Δαν. 3,50. **3.** Ἠσ. 43,2. **4.** Πρβλ. Ἑβρ. 11,33 ἑξ.



εἰσέλθῃ εἰς κάμινον πυρός, σβέννυται ὅλη ἡ κάμινος, ἢ ἐὰν εἰσέλθῃ ὑποκαυστήριον, τὸ αὐτὸ ποιεῖ.

Εἰ μὲν οὖν ἡ σαλαμανδρινὴ σαύρα σβέννυσι τὸ πῦρ τῇ φυσιολογίᾳ αὐτῆς, πῶς μέχρι τοῦ νῦν ἀπιστοῦσίν τινες, ὅτι τρεῖς παῖδες ἐμβληθέντες ἐν τῇ καμίνῳ οὐδὲν ἠδικήθησαν, ἀλλ' ἐκ τῶν ἐναντίων ἔψυξαν τὴν κάμινον[1]; Γέγραπται γὰρ ὅτι «κἂν διὰ πυρὸς εἰσέλθῃς, φλὸξ οὐ κατακαύσει σε»[2].

## Γ΄

### Περὶ σαλαμάνδρας.

**103** Ἔστιν ζῷον λεγόμενον σαλαμάνδρα, περὶ ἧς ἔφη ὁ Φυσιολόγος, ὅτι ἐὰν εἰσέλθῃ εἰς κάμινον ἢ εἰς ὑποκάμπτριον βαλανείου, σβέννυσι τὸ πῦρ.

Ἐὰν οὖν ἡ σαλαμάνδρα σβέννυσι τὸ πῦρ, πῶς μέχρι τοῦ νῦν ἀπιστοῦσί τινες, ὅτι οἱ τρεῖς παῖδες ἐμβληθέντες ἐν τῇ καμίνῳ οὐδὲν ἠδικήθησαν, ἀλλ' ἐκ τῶν ἐναντίων ἔσβεσαν τὴν κάμινον[3]; Οὕτω καὶ σύ, ὦ ἄνθρωπε, δυνήθητι σβέσαι τὴν αἰώνιον καὶ ἄσβεστον φλόγα.

## Α΄

### 31ª Περὶ τῶν ἁγίων τριῶν παίδων.

**102** Θαυμάσιόν ἐστιν ἐν τῷ Δανιὴλ τῷ προφήτῃ γεγραμμένον ἱστόρημα περὶ τῶν γενναιοτάτων τριῶν ἁγίων παίδων, τῶν εἰς τὴν κάμινον τοῦ πυρὸς ῥιφέντων ἐκ διαβολῆς, καὶ ὑμνούντων, [ὥστε θαυμάζειν αὐτούς]·[4] **103** δίκαιοι γὰρ ἐτύγχανον. ⟨Τί δὲ τὸ⟩ θαῦμα ⟨οὐκ ἂν⟩ ἦν ἀληθῶς, εἰ καὶ οἱ ἅγιοι Ἀπόστολοι νεκροὺς ἤγειραν, καὶ μείζους δυνάμεις ἐποίησαν μετὰ τοὺς δικαίους, καὶ ὄρη μεθίστασαν[5] ἐν τῇ θαλάσσῃ;

### 31ᵇ. Περὶ τῶν ἁγίων τριῶν παίδων.

Θαῦμα ὡς ἀληθῶς ἐξαίσιον καὶ τῶν γενναιοτάτων τριῶν παίδων μυστήριον, τῶν εἰς τὴν κάμινον τοῦ πυρὸς ἐμβληθέν-

---

**1.** Πρβλ. Δαν. 3,46. **2.** Ἠσ. 43,2. **3.** Πρβλ. Δαν. 3,50. **4.** Πρβλ. Δαν. 3,1 ἑξ. **5.** Πρβλ. Α' Κορ. 13,2.

των[1], οἳ καὶ νεκροὺς ἤγειραν, ὡς ὁ τούτων Δεσπότης. Καὶ γὰρ τὸ τηλικαύτην πυρὸς δύναμιν σβέσαι[2] καὶ τῆς τοῦ τότε καιροῦ ἀνωμαλίας καὶ τῶν κρατούντων τυραννίδος καὶ τῆς αὐτῶν θαρσαλεότητος ⟨κρατεῖν θαῦμα⟩ ἐπάξιον ὡς ἀληθῶς, καὶ λίαν ἁρμόδιον ἡμῖν τε καὶ τοῖς ἐντυγχάνουσιν ὡς ἄγαν ὠφελιμώτατον.

Καλῶς ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς σαλαμάνδρας.

Α'

## 32. Περὶ λίθου ἀδαμαντίνου.

**103** Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ἀδαμαντίνου λίθου ὅτι ἐν τῷ ἀνατολικῷ μέρει εὑρίσκεται [ὁ ἀδάμας], οὐχ εὑρίσκεται δὲ ἐν ἡμέρᾳ, ἀλλ' ἐν **104** νυκτί· ἀδάμας δὲ λέγεται ὅτι πάντα δαμάζει, αὐτὸς δὲ ὑπ' οὐδενὸς δαμάζεται.

Καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πάντας κρίνει, αὐτὸς δὲ ὑπ' οὐδενὸς κρίνεται[3]. Αὐτὸς γὰρ εἶπε· «τίς ἐξ ὑμῶν ἐλέγξει με περὶ ἁμαρτίας»[4]; [Ἐν νυκτὶ δὲ εὑρίσκεται, καὶ οὐχ ἡμέρᾳ. Ἄκουσον τί φησιν·] «ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν[5]». **105** [Ἐν τῇ ἀνατολῇ οὖν εὑρίσκεται.] Ἀληθῶς γὰρ κατὰ τὸν προφήτην «Ἀνατολὴ ὄνομα αὐτῷ»[6], καὶ [πάλιν ἐν ἑτέρῳ γέγραπται·] «ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ»[7]. Καὶ ἄνθρωποι δὲ δίκην ἀδάμαντος γεγόνασιν, οἷος ὁ Ἰώβ, ἄνθρωπος τῶν ἀφ' ἡλίου ἀνατολῶν, μὴ δυνάμενος ὑπὸ τοῦ πονηροῦ δαμασθῆναι[8], καὶ οἷοι γεγόνασιν οἱ Ἀπόστολοι, τὴν ἀνατολὴν Χριστὸν ἀγαπήσαντες, καθὼς καὶ Παῦλός πού φησιν· «εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[9], ὑπὸ Ἰουδαίων ῥαβδιζόμενος ἐν φυλακαῖς, ἐν διωγμοῖς, ἐν ἀκαταστασίαις, ὑπομένων κινδύνους ποταμῶν, κινδύνους λῃστῶν, κινδύνους ἐν ψευδαδέλφοις[10]· καὶ ὥσπερ ἀδάμας οὐκ ἐνδέδωκεν, ἀλλὰ γενναίως ὑπομείνας, οὐχ ἡττήθη παρὰ τῶν θλιβόντων, οὕτω καὶ πᾶς ὁ χορὸς τῶν προφητῶν καὶ ἁγίων νοείσθω.

---

**1.** Πρβλ. Δαν. 3,1 ἑξ. **2.** Πρβλ. Ἑβρ. 11,34. **3.** Πρβλ. Α' Κορ. 2,15. **4.** Ἰω. 8,46. **5.** Ματθ. 4,16. Πρβλ. Ἡσ. 9,1. **6.** Ζαχ. 6,12. **7.** Ἀρ. 24,17. **8.** Ἰὼβ 1,1. **9.** Β' Κορ. 13,3. **10.** Πρβλ. Β' Κορ. 11,23-28.



Πάντες οὖν οἱ ἅγιοι προφῆται καὶ Ἀπόστολοι τὴν ἀνατολὴν ἔχοντες ὥσπερ ὁ ἀδάμας, οὐκ ἐνέδωκαν ἐν ταῖς βασάνοις, ἀλλὰ γενναίως ὑπομείναντες οὐχ ἡττήθησαν.

Ἐν τῇ οὖν νυκτὶ εὑρίσκεται, οὐχ ἐν τῇ ἡμέρᾳ ὁ λίθος. «Ὁ λαὸς γὰρ ὁ καθήμενος ἐν χώρᾳ [σκότους] καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς»[1], τοῖς ποτὲ καὶ πάλαι Ἰουδαίοις, τέκνοις οὖσι, καὶ ἡμέρα οὐκ ἀνέτειλεν αὐτοῖς, διότι εἶπεν· «εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον»[2], καί· ἀνέτειλεν ἡμῖν φῶς, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις[3]. [Καὶ ἐν τῷ Ἀμὼς τῷ προφήτῃ γέγραπται ὅτι εἶδον ἀδαμάντινον[4]. Ἐὰν εὑρεθῇ⟨ς⟩ ἐν τοῖς ἀνατολικοῖς μέρεσι, μέλλεις βληθῆναι δίκαιος, ἄμεμπτος, θεοσεβής· ὡς καὶ ὁ Ἰὼβ ὁ γενναιότατος τῶν ἀφ' ἡλίου ἀνατολῶν].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ἀδαμαντίνου λίθου [ὅτι δαμάζει τὰ πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς δαμάζεται].

**106** Ἰωάννης εἶπεν· εἶδον οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ἐπ' αὐτόν, καὶ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· αὐτῷ πιστεύσατε[5]. Φυσιολόγου ἐξήγησις· «φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείας, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ»[6]. Ἐπουράνιος καὶ πατρικὴ κατέλαβεν ἡμᾶς χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· αὐτοῦ δεξάμενοι τὰς ἐντολὰς σωθησόμεθα.

## 32.bis Τὰ δὲ κατὰ τὸν ἀδάμαντα πῶς ἐκληπτέον.

Ἔστι καὶ λίθος ἀδάμας οὕτω καλούμενος· οὔτε γὰρ σιδήρῳ τέμνεται, οὔτε γλυφῇ μαλθακίζεται, ἀλλ' οὐδὲ τῷ παμφάγῳ πυρὶ κατατήκεται, αἵματι δὲ μόνῳ τραγείνῳ, ὅτι καὶ τῶν ἄλλων τοῦτο θερμότερον, τὸ τοῦ λίθου στερρὸν καὶ ἀνένδοτον καταμα-

---

**1.** Ματθ. 4,16. Πρβλ. Ἡσ. 9,1. **2.** Ἰω. 1,11. **3.** Πρβλ. Ἡσ. 9,1. **4.** Πρβλ. Ἀμ. 7,8. **5.** Πρβλ. Ματθ. 3,16-17. Ἰω. 1,32. **6.** Ἡσ. 40,3-6. Ματθ. 3,3. Μάρκ. 1,3. Πρβλ. Ἰω. 1,23. Λουκ. 3,4-6.

λάττεσθαι εἴωθε. Τοῦτον μέντοι τὸν ἀδάμαντα καὶ ἐν νυκτὶ λέγουσι, καὶ κατὰ τὸ ἀνατολικὸν μέρος εὑρίσκεσθαι.

Διατί δὲ ταῦτα καὶ τίνος ἕνεκεν τῷ βίῳ τούτῳ παρήχθη τοιαύτη φύσις παράδοξος; Ἵν' ὅταν τῷ κατὰ Χριστὸν θείῳ κηρύγματι διαπιστῶν τις εὑρίσκεται, ἀπειθής τε ἄκων ὁρῷτο, καὶ τὸ μυστήριον εὐχερῶς παραδέχοιτο, εἰς αὐτὸν ἀφορῶν τὸν ἀδάμαντα. Ἐν νυκτὶ γὰρ καὶ ὁ Δεσπότης πάντων Χριστὸς καὶ κατ' ἀνατολὰς ἐν Βηθλεὲμ καθ' ἡμᾶς εὑρέθη ὡς ἄνθρωπος. Ὡς καὶ ἄμαχός ἐστι τὴν ἰσχύν· ὅσα γὰρ καὶ οἱ βασιλεῖς ἡγεμόνες καὶ τύραννοι κατ' αὐτοῦ ἐμελέτησαν, ἀλλ' ἐσφάλησαν ἅπαντες τοῦ **107** σκοποῦ· ὡς γὰρ ἀδάμαντι τῷ Χριστῷ προσβαλόντες, ἀνίσχυροι πάντες ἠλέ⟨γ⟩χθησαν. Ὅτι δὲ ὁ ἀδάμας ἐναργές ἐστι τοῦ Χριστοῦ προεικόνισμα, καὶ τοῦ προφήτου Ἀμμὼς ἄκουε λέγοντος· «ἰδοὺ ἐγὼ τάσσω ἀδάμαντα ἐν μέσῳ τοῦ λαοῦ μου Ἰσραήλ, καὶ καταλυθήσονται οἱ βωμοὶ τοῦ γέλωτος, καὶ αἱ τελεταὶ τοῦ Ἰσραὴλ ἐρημωθήσονται»[1]. Πρόσεχε οὖν εἰ μὴ καὶ αὐτῷ τῷ ἀμάχῳ Χριστῷ τὴν ἰσχὺν οἱ τῶν εἰδώλων τε βωμοὶ κατελύθησαν καὶ αἱ τελεταὶ τοῦ Ἰσραὴλ πάντῃ γεγόνασιν ἔρημοι πλὴν ὁ τοσοῦτος Χριστὸς ὁ ἀήττητος τὴν ἰσχύν; Ὁ πάντων ἀνώτερος εὑρεθεὶς αἵματι θερμῷ κατὰ τὸν ἀδάμαντα ἐπικάμπτεται· καὶ δῆλον ἐξ ὧν αὐτὸς ὁ Κύριος πρὸς τοὺς ἐκ Ζεβεδαίου, ἡνίκα προσελθόντες αὐτῷ καθέδρας ἐκ δεξιῶν τε καὶ ἀριστερῶν ἐζήτουν, ἔλεγε· «δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω»[2]; Ἀλλὰ καὶ ὁ παμμέγας Παῦλος αὐτὸ τοῦτο προδήλως ἐνέφηνε οὕτως εἰπών· «οὔπω ἀντικατέστησε πρὸς τὴν ἁμαρτίαν μέχρις αἵματος»[3]· αἵματι λοιπὸν θερμῷ κατὰ τὸν ἀδάμαντα καὶ ὁ Χριστὸς ὁ ἀήττητος ἥττηται, σπλάγχνα τε οἰκεῖα μαλάσσεται, καὶ τὴν ἐν οὐρανοῖς ἐντεῦθεν βασιλείαν χαρίζεται.

## Β'

## 32. Περὶ ἀδάμαντος λίθου.

**104** Ὁ Φυσιολόγος ἔλεξεν, ὅτι ἐν τῷ ἀνατολικῷ εὑρίσκεται ὁ ἀδάμας, καὶ οὐχ εὑρίσκεται ἐν ἡμέρᾳ, ἀλλ' ἐν νυκτί·

1. Ἀμ. 7,8-9. 2. Μάρκ. 10,38. 3. Ἑβρ. 12,4.



ἀδάμας δὲ λέγεται, ὅτι πάντα δαμάζει, αὐτὸς δὲ ὑπ' οὐδενὸς δαμάζεται.

Καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πάντας κρίνει, αὐτὸς δὲ ὑπ' οὐδενὸς κρίνεται[1]. Αὐτὸς γὰρ εἶπεν· τίς ἐλέγξει με περὶ ἁμαρτίας[2];

Ἐν τῇ ἀνατολῇ οὖν εὑρίσκεται· ἀληθῶς κατὰ τὸν προφήτην «Ἀνατολὴ ὄνομα αὐτοῦ»[3]. Ἐν νυκτὶ εὑρίσκεται· «ὁ λαὸς ὁ καθήμενος ἐν σκότει ἴδεν φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν»[4]. Καὶ πάλιν γέγραπται· «ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ»[5].

**106** Καὶ ἄνθρωποι δὲ δίκην ἀδαμαντίνου γεγόνασιν, ὧν εἷς ἐξ αὐτῶν γέγονεν Ἰώβ, τῶν ἀφ' ἡλίου ἀνατολῶν, μὴ δυνάμενος ὑπὸ τοῦ πονηροῦ δαμασθῆναι[6], ἢ ὡς γεγόνασιν καὶ οἱ Ἀπόστολοι τὴν ἀνατολὴν ἐν ἑαυτοῖς ἔχοντες τὸν Χριστόν, ὡς καὶ ὁ Παῦλός φησιν· «εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[7], ἐν φυλακαῖς, ἐν πληγαῖς, ἐν ἀκαταστασίαις, ὑπὸ Ἰουδ[αίω]ν ῥαβδιζόμενος, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνο[ις] ἐν ψευδαδέλφοις[8]. Καὶ ὥσπερ ὁ ἀδάμας οὐκ ἐνδέδωκεν, ἀλλὰ [γεν]ναίως ὑπομείνας οὐχ ἡττήθη παρὰ τῶν θλιβόντων, οὕτω [καὶ π]ᾶς χορὸς τῶν προφητῶν νοείσθω.

## Γ'

## Περὶ λίθου ἀδαμαντίνου.

**105** Ὁ Φυσιολόγος ἔλεξεν, ὅτι ἐν τῷ ἀνατολικῷ μέρει εὑρίσκεται ὁ ἀδάμας λίθος· οὐχ εὑρίσκεται δὲ ἐν ἡμέρᾳ, ἀλλ' ἐν νυκτί· ἀδάμας δὲ λέγεται, ὅτι πάντας δαμάζει, αὐτὸς δὲ ὑπ' οὐδενὸς δαμάζεται.

Καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πάντα κρίνει, αὐτὸς δὲ ὑπ' οὐδενὸς κρίνεται[9]· αὐτὸς γὰρ εἶπεν· «τίς ἐξ ὑμῶν ἐλέγξει με περὶ ἁμαρτίας»[10]· ἐν νυκτὶ δὲ εὑρίσκεται καὶ οὐχ ἡμέρᾳ· ἀ-

1. Πρβλ. Α' Κορ. 2,15. 2. Πρβλ. Ἰω. 8,46. 3. Ζαχ. 6,12. 4. Ματθ. 3,46. Πρβλ. Ἡσ. 9,1. Πρβλ. Λουκ. 1,79. 5. Ἀριθ. 24,17. 6. Ἰώβ 1,1. 7. Β' Κορ. 13,3. 8. Πρβλ. Β' Κορ. 11,23-28. 9. Πρβλ. Α' Κορ. 2,15. 10. Ἰω. 8,46.

κουσον, τί φησι· «ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς ἴδε μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ θανάτου φῶς ἀνέτειλε»[1]. Ἐν τῇ ἀνατολῇ δὲ εὑρίσκεται· ἀληθὲς καὶ τοῦτο κατὰ τὸν προφήτην τὸν λέγοντα· «Ἀνατολὴ ὄνομα αὐτοῦ»[2].

**107** Καὶ ἄνθρωποι δὲ δίκην ἀδάμαντος γεγόνασιν οἷος ὁ Ἰώβ, ἄνθρωπος τῶν ἀφ' ἡλίου ἀνατολῆς, μὴ δυνάμενος ὑπὸ τοῦ πονηροῦ δα⟨μα⟩σθῆναι[3], καὶ οἷοι γέγοναν οἱ Ἀπόστολοι τὴν Ἀνατολὴν Χριστὸν ἀγαπήσαντες, καθὼς καὶ Παῦλος πού φησιν· «εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[4], ὑπὸ Ἰουδαίων ῥαβδιζόμενος, ἐν φυλακαῖς, ἐν διωγμοῖς, ὑπομένων κινδύνους ποταμῶν, κινδύνους λῃστῶν, κινδύνους ἐν ψευδαδέλφοις[5]. Καὶ ὥσπερ ἀδάμας οὐκ ἐνδέδωκεν, ἀλλὰ γενναίως ὑπομείνας οὐχ ἡττήθη παρὰ τῶν θλιβόντων, καὶ οὕτω χορ⟨ὸς⟩ προφητῶν καὶ ... νοείσθω.

## Α'

### 33. Περὶ χελιδόνος.

**107** Ἡ χελιδὼν τοῦ χειμῶνος παρελθόντος τῷ ἔαρι φαίνεται καὶ ὑπὸ ὄρθρον λαλεῖ, ἐξυπνίζουσα τοὺς κοιμωμένους εἰς ἔργον.

Καὶ οἱ τέλειοι ἀσκηταί, ἐὰν ὁ χειμὼν τοῦ σώματος παρέλθῃ, τουτέστι πᾶσα ἐπιθυμία [σαρκικὴ ἀποσβεσθῇ, τότε ἁγνοὶ] ἐπὶ τῆς κοίτης **108** αὐτῶν μνημονεύοντες τοῦ Κυρίου, ἐν τοῖς ὄρθροις μελετῶσι πρὸς αὐτόν[6], ἐξεγείροντες τοὺς βεβαρυμένους εἰς ὕπνον ἐπὶ τὸ ἐργάζεσθαι τὸ ἀγαθόν, καὶ βοῶντες· «ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός»[7]. [«Νεκρῶν» δὲ λέγει τῶν Ἰουδαίων, περὶ ἃ κοιμῶνται μὴ ἐργαζόμενοι τὸ ἀγαθόν].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ [τοῦ καιροῦ καὶ] τῆς χελιδόνος.

---

1. Ματθ. 3,46. Πρβλ. Ἡσ. 9,1. Πρβλ. Λουκ. 1,79. 2. Ζαχ. 6,12. 3. Ἰώβ 1,1. 4. Β' Κορ. 13,3. 5. Πρβλ. Β' Κορ. 11,23-28. 6. Πρβλ. Ψαλ. 62,7. 7. Ἐφ. 5,14.



### 33.bis

Ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς χελιδόνος ὅτι ἅπαξ γεννᾷ, καὶ οὐκέτι γεννᾷ.

Ὁ Σωτήρ μου ἅπαξ ἐκυοφορήθη, ἅπαξ ἐγεννήθη, ἅπαξ ἐσταυρώθη, ἅπαξ ἐτάφη, ἅπαξ ἐκ νεκρῶν ἀνέστη. Εἷς Θεός, μία πίστις, ἓν βάπτισμα, εἷς Πατὴρ τῶν ἁπάντων[1].

Καλῶς ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς χελιδόνος.

## Β'

### 33. Περὶ χελιδόνος.

**108** Ἡ χελιδὼν τοῦ χειμῶνος παρελθόντος τὸ ἔαρ φαίνεται καὶ ὑπὸ ὄρθρον λαλεῖ ἐξυπνίζουσα τοὺς κεκοιμημένους εἰς ἔργον.

Καὶ οἱ τέλειοι ἀθληταί, ἐὰν ὁ χειμὼν τοῦ σώματος ἀπέλθῃ, τουτέστιν πᾶσα ἐπιθυμία, ἐκ τῆς κοίτης αὐτῶν μνημονεύουσιν τοῦ Κυρίου· καὶ ἐν τοῖς ὄρθροις μελετῶσιν πρὸς αὐτόν[2], ἐξυπνίζουσι τοὺς βεβαρημένους ὕπνῳ ἐπὶ τὸ ἐργάζεσθαι τὸ ἀγαθὸν καὶ βοῶσι· «ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός»[3]. Νεκροὺς δὲ λέγει τοὺς νεκρωθέντας ὑπὸ τῆς εἰδωλολατρείας, διότι κοιμῶνται μὴ ἐργαζόμενοι τὸ ἀγαθόν.

## Γ'

### Περὶ χελιδόνος.

**109** Ἡ χελιδὼν τοῦ χειμῶνος παρελθόντος τὸ ἔαρ φαίνεται καὶ ὑπὸ ὄρθρον λαλεῖ.

Καὶ οἱ τέλειοι ἀσκηταί, ἐπὰν ὁ χειμὼν τοῦ σώματος παρέλθῃ, τουτέστιν πᾶσα ἐπιθυμία, ἐκ τῆς κοίτης αὐτῶν μνημονεύουσιν τοῦ Κυρίου· ἐν τοῖς ὄρθροις μελετῶσι πρὸς αὐτόν[4], ἐξεγείροντες τοὺς βεβαρημένους εἰς ὕπνον ἐπὶ τὸ ἐργάζεσθαι τὸ

---

1. Πρβλ. Ἐφ. 4,5-6. 2. Πρβλ. Ψαλ. 62,7. 3. Ἐφ. 5,14. 4. Πρβλ. Ψαλ. 62,7.

ἀγαθ[ὸν] καὶ βοῶντες· «ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός»[1]. Νεκρὰ δὲ λέγει τὰ εἴδωλα, περὶ ἃ κοιμῶνται μὴ ἐργαζόμενοι τὸ ἀγαθόν.

## Α'

### 34. Περὶ δένδρου περιδεξίου.

**109** Ἔστι δένδρον ἐν τῇ Ἰνδικῇ περιδέξιον καλούμενον, ὁ δὲ καρπὸς αὐτοῦ γλυκύτατός ἐστι καὶ χρηστὸς σφόδρα. Αἱ δὲ περιστεραὶ τέρπονται πάνυ τρεφόμεναι ἀπὸ τοῦ καρποῦ τοῦ δένδρου (κατασκηνοῦσι γὰρ ἐπ' αὐτοῦ), ἔστι δὲ ὁ δράκων κατὰ τῆς περιστερᾶς [πολέμιος καὶ ἐχθρός]. Φοβεῖται δὲ ὁ δράκων τὸ δένδρον ἐκεῖνο καὶ τὴν σκιὰν αὐτοῦ, ἐν ᾧ αἱ **110** περιστεραὶ ἐναυλίζονται, καὶ οὐ δύναται ὁ δράκων ἐγγίσαι τῆς περιστερᾶς, ἀλλ' οὐδὲ τῆς σκιᾶς τοῦ δένδρου. Ἐὰν οὖν ἡ σκιὰ τοῦ δένδρου εἰς τὰ δυτικὰ μέρη κλίνῃ, φεύγει ὁ δράκων εἰς ἀνατολήν, ἐὰν δὲ ἔλθῃ εἰς ἀνατολήν, φεύγει εἰς δύσιν. Ἐὰν οὖν ἀποπλανηθῇ ἡ περιστερὰ ἐν τῷ σκότει ἀπὸ τοῦ δένδρου, εὑρὼν αὐτὴν ὁ δράκων, ἀποκτείνει αὐτήν.

Τὸ δένδρον οὖν ἐπὶ τὸν Πατέρα τῶν ὅλων νοεῖται, ὡς εἶπεν ὁ Γαβριὴλ τῇ Μαρίᾳ· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις **111** Ὑψίστου ἐπισκιάσει σοι»[2]. «Ξύλον γὰρ ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτοῦ»[3], ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ»[4], καί· «ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιοῦμεν»[5]. Καὶ ἡ τοῦ ἁγίου Πέτρου σκιὰ ἐδίωκε τὸν φθοροποιόν θάνατον ἀπὸ τῶν ἀνθρώπων. Ἐὰν οὖν καὶ ἡμεῖς ἀντεχώμεθα τῆς σοφίας καὶ τοὺς καρποὺς τοῦ Πνεύματος ἐσθίωμεν, οἵ εἰσι χαρά, εἰρήνη, ἐγκράτεια, μακροθυμία[6], οὐκ ἐγγίζει ἡμῖν ὁ πονηρὸς διάβολος· ἐὰν δὲ ἐν τοῖς τοῦ σκότους πράγμασιν ἀποπλανηθῶμεν, ἅ ἐστι πορνεία, μοιχεία, εἰδωλολατρεία, πάθη, ἐπιθυμίαι κακαὶ καὶ πλεονεξία[7], εὑρὼν ἡμᾶς ὁ διάβολος μὴ παραμένοντας τῷ τῆς ζωῆς ξύλῳ, εὐκόλως ἀναιρεῖ. Διὸ καὶ ὁ ἀπόστολος, εἰδὼς τὸ τοῦ σταυροῦ ξύλον ἀναιρετικὸν ὂν τοῦ

1. Ἐφ. 5,14. 2. Λουκ. 1,35. 3. Παρμ. 3,18. 4. Ψαλ. 1,3. 5. Ψαλ. 56,2. Πρβλ. Ψαλ. 16,8. 90,1. 6. Πρβλ. Γαλ. 5,22-23. 7. Πρβλ. Κολ. 3,5.



δαίμονος, ἐβόα· «ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ»[1].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ περιδεξίου δένδρου.

**112** Δένδρον δὲ νοητέον, ἀγαπητέ, τὰ προστάγματα τοῦ Θεοῦ, καὶ ἕως φυλάσσῃ αὐτὰ ἄνθρωπος, τὸν διάβολον οὐ φοβεῖται· ἡνίκα δὲ αὐτὰ τὰ προστάγματα τοῦ Θεοῦ καταφρονήσῃ, τότε καὶ ὁ δράκων καταλαμβάνει αὐτόν.

## Β'

### 34. Περὶ ⟨περι⟩δεξίου δένδρου.

**110** Ἔστιν δένδρον ἐν τῇ Ἰνδίᾳ περιδέξιον καλούμενον· καὶ ὁ καρπὸς αὐτοῦ πάνυ γλυκύτατος καὶ χρηστὸς σφόδρα· ἐν ᾧ αἱ περιστεραὶ τέρπονται τρεφόμεναι ἀπὸ τοῦ καρποῦ τοῦ δένδρου ἐκείνου. Ἔστιν δὲ ὁ δράκων κατὰ τῆς περιστερᾶς· καὶ φοβεῖται προσεγγίσαι τοῦ δένδρου καὶ τῆς σκιᾶς αὐτοῦ, ἐν ᾧ αἱ περιστεραὶ αὐλίζονται. Ἐὰν οὖν [ἡ σ]κιὰ τοῦ δένδρου εἰς τὰ δυτικὰ μέρη κλίνῃ, φεύγει ὁ δράκων πρὸς [τὰ] ἀνατολικά, ἐὰν δὲ εἰς τὰ ἀνατολικὰ μέρη κλίνῃ, φεύγει εἰς τὰ δυτικά. Ἐὰν οὖν ἀποπλανηθῇ ἡ περιστερὰ ἐν τῷ σκότει ἀπὸ τοῦ δένδρου, εὑρὼν αὐτὴν ὁ δράκων ἀποκτείνει αὐτήν.

**112** Ἀναφέρεται οὖν τὸ δένδρον νοητῶς ἐπὶ τὸν Πατέρα τῶν ὅλων, ὡς εἶπεν ὁ Γαβριὴλ τῇ Μαριάμ· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι»[2]. «Ξύλον γὰρ ζωῆς ἐστιν πᾶσι τοῖς ἀντεχομέ[νοις αὐ]τῆς»[3], «ὁ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ»[4], καὶ «ἐν τῇ σκιᾷ [τῶν] πτερύγων σου ἐλπιοῦμεν»[5]. Καὶ τοῦ ἁγίου Πέτρου ἡ σκιὰ τὸν φθορ[ο]ποιὸν ἐδίωκεν θάνατον ἀπὸ τῶν ἀνθρώπων.

Ἐὰν οὖν καὶ ἡμεῖς ἀντεχώμεθα τῆς σοφίας καὶ τοῦ καρποῦ τοῦ Πνεύματος ἐσθίωμεν, ὅ⟨ς⟩ ἐστιν χαρά, εἰρήνη, μακροθυμία[6], οὐκ ἐγγιεῖ ἡμῖν ὁ πονηρὸς διάβολος· ἐὰν δὲ τοῖς τοῦ

1. Γαλ. 6,14. 2. Λουκ. 1,35. 3. Παρμ. 3,18. 4. Ψαλ. 1,3. 5. Ψαλ. 56,2. Πρβλ. Ψαλ. 16,8. 90,1. 6. Πρβλ. Γαλ. 5,22-23.

σκότους πράγμασιν ἀποπλανηθῶμεν, ἅ ἐστιν πορνεία, μοιχεία, εἰδωλολατρεία, πάθος, ἐπιθυμία κακή[1], εὑρὼν ἡμᾶς ὁ διάβολος, ὁ δόλιος δράκων, μὴ παραμένοντας τῷ τῆς ζωῆς ξύλῳ εὐκόλως ἀναιρεῖ ἡμᾶς.

## Γ'

## Περὶ δένδρου περιδεξίου.

**111** [Ἔστιν] δένδρον ἐν τῇ Ἰνδικῇ περιδέξιον καλούμενον· [καὶ ὁ] καρπὸς αὐτοῦ γλυκύτατός ἐστιν καὶ χρηστὸς σφόδρα· [ἐν ᾧ αἱ περιστ]εραὶ τέρπονται πάνυ τρεφόμεναι ὑπὸ τοῦ καρ[ποῦ τοῦ δέ]νδρου ἐκείνου. Φοβεῖται δὲ ὁ δράκων τὸ δένδρον [καὶ τὴ]ν σκιὰν αὐτοῦ, ἐν ᾧ αἱ περιστεραὶ ἐναυλίζονται. Ἔστι δὲ ὁ δράκων κατὰ τὰς περιστερὰς καὶ οὐ δύναται ὁ δράκων ἐγγίσαι τῶν περιστερῶν οὐδὲ τῆς σκιᾶς τοῦ δένδρου. Ἐὰν οὖν ἡ σκιὰ τοῦ δένδρου εἰς τὰ δυτικὰ μέρη κλίνῃ, φεύγει ὁ δράκων εἰς ἀνατολικά, ἐὰν εἰσέλθῃ εἰς ἀνατολικά, φεύγει εἰς δυτικά. Ἐὰν οὖν ἐν τῷ σκότει ἀποπλανηθεῖσα ἡ περιστερὰ ἀπὸ τοῦ δένδρου, εὑρὼν αὐτὴν ὁ δράκων ἀποκτείνει αὐτήν.

**113** Τὸ δένδρον οὖν ἐπὶ τὸν [Πατέ]ρα τῶν ὅλων νοεῖται, ὡς εἶπεν ὁ Γαβριὴλ τῇ Μαριάμ· «Πνεῦμα Ἅ[γιον] ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι»[2]. «Ξύλον γὰρ ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτοῦ»[3], καὶ «ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ»[4], καὶ «ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιοῦμεν»[5]. Καὶ ἡ τοῦ ἁγίου Πέτρου σκιὰ ἐδίωκεν τὸν φθοροποιὸν θάνατον τῶν ἀνθρώπων.

Ἐὰν οὖν καὶ ἡμεῖς ἀντεχώμεθα τῆς σοφίας καὶ τοὺς καρποὺς τοῦ Πνεύματος ἐσθίωμεν, εὑρὼν ἡμᾶς ὁ διάβολος οὐκ ἐγγίζει ἡμῶν. Ἐὰν δὲ τοῖς τοῦ σκότους πράγμασιν ἀποπλανηθῶμεν, ἅ ἐστι πορνεία, μοιχεία, εἰδωλολατρεία[6] καὶ τὰ τούτων ὅμοια, εὑρὼν ἡμᾶς ὁ διάβολος μὴ περιμένοντας τῷ τῆς ζωῆς ξύλῳ εὐκόλως ἀναιρεῖ.

---

**1.** Πρβλ. Κολ. 3,5. **2.** Λουκ. 1,35. **3.** Παρμ. 3,18. **4.** Ψαλ. 1,3. **5.** Ψαλ. 56,2. Πρβλ. Ψαλ. 16,8. 90,1. **6.** Πρβλ. Κολ. 3,5.



## Α'

## 35. Περὶ περιστερᾶς.

**112** Ὁ μὲν Ἰωάννης εἶπεν ὅτι εἶδον τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸ Πνεῦμα τὸ Ἅγιον καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανῶν καὶ μένον ἐπ' αὐτόν, καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν, λέγουσα· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα[1].

[Περὶ πολλῶν περιστερῶν ἐλάλησεν ὁ Φυσιολόγος. Εἰσὶ γὰρ πηγματισταὶ περιστερῶν, καὶ πολλὰ γένη περιστερῶν καὶ πολύχρωμά εἰσιν· ὁ ψαρός, ὁ μελανοειδής, ὁ χρυσόμορφος, ὁ ὁλόλευκος, ὁ πυρροειδής].

Ὁ Φυσιολόγος ἔλεξε περὶ τῶν περιστερῶν ὅτι ἐὰν πάσας τὰς περιστερὰς ὁ πηγματιστὴς ἐξαποστείλῃ, οὐδεμίαν εἰσάγουσιν οὐδὲ πείθουσι τῶν ἄλλων πηγματιστῶν εἰσελθεῖν εἰς τὴν καλιάν, εἰ μὴ μόνος ὁ πυρροειδὴς εἰσάγει πάσας καὶ πείθει.

**113** Προεξαπέστειλεν ὁ Πατὴρ πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ δίκην περιστερῶν πάντας καλέσαι ἐπὶ τὴν ζωὴν Μωυσῆν, Ἠλίαν, Σαμουήλ, Ἱερεμίαν, Ἡσαΐαν, Ἰεζεκιήλ, Δανιήλ, καὶ τοὺς λοιποὺς προφήτας, καὶ οὐδεὶς ἴσχυσεν εἰσαγαγεῖν εἰς τὴν ζωὴν τοὺς ἀνθρώπους· ὅτε δὲ ἐξαπεστάλη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐξ οὐρανῶν παρὰ τοῦ Πατρός, τῷ ἰδίῳ αἵματι πάντας εἰσήγαγεν εἰς τὴν ζωήν, λέγων· «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς»[2].

[Ῥαὰβ ἡ πόρνη, πιστεύσασα τῷ σημείῳ τῷ κοκκίνῳ διεσώθη αὐτῆς ἡ ψυχή, καὶ ὁ κόκκος ὁ νοερὸς πᾶς καὶ ὁ οἶκος αὐτῆς[3]. Καὶ ἐν τοῖς Ἄσμασιν ὁ Σολομὼν φησιν· «ὡς σπαρτίον κόκκινον χείλη σου»[4]. Καὶ Μαριὰμ δὲ ἔλαβε τὸ κόκκινον καὶ τὴν ἀληθινὴν πορφύραν ἐργάζεσθαι, κληρωθεῖσα τοῦτο ποιεῖν. Καὶ ἐν τῷ κατὰ Ματθαῖον γέγραπται ὅτι μέλλων σταυροῦσθαι ὁ Κύριος ἐνεδύσατο χλαμύδα κοκκίνην[5], ἐν δὲ τῷ κατὰ Ἰωάννην ὅτι πορφυροῦν ἐνεδύσατο[6], καὶ τοῦτο δὲ μυστικόν· Ματθαῖος διὰ

---

**1.** Πρβλ. Ματθ. 3,16-17. Ἰω. 1,32. **2.** Ματθ. 11,28. **3.** Πρβλ. Ἰησ. Ν. 6,17,23. Ἑβρ. 11,31. Ἰακ. 2,25. **4.** Ἆσμ 4,3. **5.** Πρβλ. Ματθ. 27,28-29. **6.** Πρβλ. Ἰω. 19,2.

τοῦ κοκκίνου τὴν κατὰ σάρκα οἰκονομίαν ἡρμήνευσεν, Ἰωάννης δὲ διὰ τῆς πορφύρας τὸ βασιλικὸν ἔδειξεν. Οὐδεὶς γὰρ πορφύραν φορεῖ, εἰ μόνον βασιλεύς].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τῆς πυρροειδοῦς περιστερᾶς.

### Β′

### 35ª. Περὶ περιστερῶν.

**114** Ὁ μὲν Ἰωάννης ὁ βαπτιστὴς εἶπεν ὅτι εἶδον τοὺς οὐρανοὺς ἠνεῳγμένους καὶ τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ καὶ μένον ἐπ᾽ αὐτόν· καὶ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα[1].

Περὶ πολλῶν περιστερῶν ἐλάλησεν ὁ Φυσιολόγος λέγων· εἰσὶν οὖν πηγματισταί, περιστεραὶ καὶ πολλὰ γένη περιστερῶν· καὶ πολύχρωτά εἰσιν· ὁ ψαρός, ὁ μελανοειδής, ὁ ποιλίκος, ὁ λευκός, ὁ πυρροειδής. Ὁ Φυσιολόγος ἔλεξεν περὶ τούτων τῶν περιστερῶν· ὅταν πάντας τοὺς περιστεροὺς ὁ πηγματιστὴς ἀποστέλλῃ, οὐδεμίαν εἰσάγουσιν οὐδὲ πείθουσιν τῶν ἄλλων πηγμάτων εἰς τὴν καλιάν, εἰ μὴ μόνον ὁ πυρροειδὴς εἰσάγει πάσας καὶ πείθει.

Ὅτε ἐξαπέστειλεν ὁ Πατὴρ πρὸ τῆς ἐπιδημίας τοῦ Χρι-
**116** στοῦ δίκην περιστερῶν πάντας καλέσαι ἐπὶ τὴν ζωὴν Μωϋσῆν, Ἠλίαν, Ἱερεμίαν, Ἡσαΐαν, Ἰεζεκιήλ, Σαμουήλ, Δανιὴλ καὶ τοὺς λοιποὺς προφήτας, (καὶ) οὐδεὶς ἴσχυεν εἰσαγαγεῖν εἰς τὴν ζωὴν τοὺς ἀνθρώπους· ὅτε δὲ ἐξαπεστάλη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ τῶν οὐρανῶν παρὰ τοῦ Πατρός, τῷ ἰδίῳ αἵματι πάντας εἰσήγαγεν εἰς τὴν ζωὴν λέγων· «δεῦτε πάντες πρός με, οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς»[2].

Ῥαὰβ ἡ πόρνη πιστεύσασα τῷ σημείῳ τῷ κοκκίνῳ, διεσώθη αὐτῆς ἡ ψυχὴ καὶ ὅλος ὁ οἶκος αὐτῆς[3]. Καὶ ἐν τοῖς Ἄ-

---

**1.** Πρβλ. Ματθ. 3,16-17. Ἰω. 1,32. **2.** Ματθ. 11,28. **3.** Πρβλ. Ἰησ. Ν. 6,17,23. Ἑβρ. 11,31. Ἰακ. 2,25. Ψαλ. 86,4.



σμασιν· «ὡς σπαρτίον κόκκινον χείλη σου»[1]. Καὶ Μαρία δὲ ἔλαβεν τὸ κόκκινον καὶ τὴν ἀληθινὴν πορφύραν ἐργάζεσθαι καὶ ποιεῖν· καὶ ἐν τῷ κατὰ Ματθαῖον γέγραπται, ὅτι μέλλων σταυροῦσθαι ὁ Κύριος ἐνεδύσατο χλαμύδα κοκκίνην[2] ἐν δὲ τῷ κατὰ Ἰωάννην γέγραπται, ὅτι πορφύραν ἐνεδύσατο[3]. Καὶ τοῦτο δὲ μυστικῶς διαγορεύεται· Ματθαῖος μὲν γὰρ διὰ τὸ κόκκινον τὴν κατὰ σάρκα οἰκονομίαν ἑρμήνευσεν· Ἰωάννης δὲ διὰ τῆς πορφύρας τὸ βασιλικὸν ἐνέδειξεν· οὐδεὶς γὰρ πορφύραν φορεῖ εἰ μὴ μόνος ὁ βασιλεύς.

Καλῶς ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ πυρροειδοῦς περιστεροῦ.

### Γ′

### **115** — Περὶ περιστερῶν —

### **117** — Περὶ περιστερῶν —

### Α′

### 35ª. Περὶ τῶν αὐτῶν περιστερῶν.

**114** Ὁ Φυσιολόγος ἔλεξεν ὅτι ἐὰν πᾶσαι αἱ περιστεραὶ ὑφ᾽ ἓν πετῶνται, οὐ τολμᾷ ὅλως ὀξύπτερος ἐγγίσαι τινὶ αὐτῶν διὰ τὸν σύμφωνον τῶν πτερῶν ἦχον· ἐπὰν δὲ μίαν ἀποπλανηθεῖσαν εὕρῃ, εὐκόλως ἁρπάσας κατεσθίει αὐτήν.

Τοῦτο δὲ ἐπὶ τοῦ τάγματος τῶν παρθένων λαμβάνεται· ὅτι ἐὰν ἀγεληδὸν ἐν τῇ Ἐκκλησίᾳ συνάγωνται, εὔηχον ὕμνον ἀναπέμπουσαι δι᾽ εὐχῶν καὶ ψαλμῳδιῶν συμφώνως τῷ Θεῷ, καὶ ὁ ἀντικείμενος αὐτῶν διάβολος οὐ τολμᾷ ὅλως ἐγγίσαι τινὶ αὐτῶν, φοβούμενος τὴν μεγάλην εὐχὴν αὐτῶν καὶ ψαλμῳδίαν· ἐπὰν δὲ εὕρῃ μίαν ἀποπλανηθεῖσαν, εὐκόλως ἁρπάσας ἀποκτείνει αὐτήν. Μὴ οὖν ἐγκαταλιμπανέτω τις, οὐ μόνον παρθένος, ἀλλὰ καὶ πᾶς χριστιανός, τὴν ἐπισυναγωγὴν τοῦ Θεοῦ, ἵνα μὴ ἅρπαγμα τοῦ πονηροῦ γένηται.

---

**1.** Ἆσμ. 4,3. **2.** Πρβλ. Ματθ. 27,28-29. **3.** Πρβλ. Ἰω. 19,2.

Β'

35ᵇ. Περὶ τῶν ὀξυπτέρων ⟨καὶ⟩ περιστερῶν.

**118** Ὁ Φυσιολόγος ἔλεξεν, ὅτι ἐὰν πᾶσαι αἱ περιστεραὶ ὑφ' ἓν πέτωνται, οὐ τολμᾷ ὅλως ὁ ὀξύπτερος ἐγγίσαι τινὶ τούτων διὰ τὸ σύμφωνον τῶν περιστερῶν ἠχοῦν· ἐπὰν δὲ τούτων ἀποπλανηθεῖσαν μίαν εὕρῃ, εὐκόλως ἁρπάσας κατεσθίει αὐτήν.

Τοῦτο ἐπὶ τοῦ τάγματος λαμβάνεται τῶν παρθένων· ὅτι ἐὰν ἀγεληδὸν συνάγωνται ἐν τῇ Ἐκκλησίᾳ εὔηχον ὕμνον ἀναπέμπουσαι δι' εὐχῶν ψαλμοφωνούντων τῷ Χριστῷ, ὁ ἀντίδικος αὐτῶν διάβολος ἐγγίσαι τινὶ αὐτῶν φοβεῖται, τὴν μεγάλην καὶ σύμφωνον εὐχὴν καὶ ὑμνῳδίαν δειλιῶν· ἐπὰν δὲ εὕρῃ μίαν ἀποπλανηθεῖσαν, εὐκόλως ἀνελεῖ. Μὴ οὖν ἐγκαταλίμπανε τὴν συνῳδίαν σου, ἀλλὰ καὶ πᾶς Χριστιανὸς τὴν ἐπισυναγωγὴν τοῦ Χριστοῦ μὴ παρεάσῃ, ἵνα μὴ ἅρπαγμα τοῦ πονηροῦ γένηται.

Γ'

**119** —Περὶ τῶν ὀξυπτέρων καὶ περιστερῶν—

Α'

35ᵇ. Περὶ περιστερᾶς.

**115** Ὁ Κύριος πάλιν ἔφησε· «καὶ ἀκέραιοι ὡς αἱ περιστεραί»[1]. Ἐκεῖναι γὰρ τῶν νεοττῶν ἀποστερούμεναι, οὐ μνησικακοῦσι τοῖς ταῦτα ποιοῦσιν, ἀλλ' ἕτερον πάλιν ἐπινοοῦσι φωλεόν, ἵν' ἐκεῖσε νοσσεύσαντες, ἑτέρους πάλιν ἑαυταῖς ἐπινοήσωσι νεοττούς.

Οὕτω καὶ ἡμᾶς πρὸς πάντας ἀκάκους εἶναι παρασκευάζει, καὶ ἀποστερουμένους μὴ μνησικακεῖν μηδ' ἀπαμύνεσθαι, ἀλλὰ μετὰ χαρᾶς ἀποδέχεσθαι πάντα τὰ ἐπερχόμενα ἡμῖν.

1. Ματθ. 10,16.



Β'

**120** —Περὶ περιστερᾶς—

Γ'

35ᶜ. Περὶ περιστερᾶς.

**121** Ὁ Κύριος πάλιν ἔφησεν· «καὶ ἀκέραιοι ὡς αἱ περιστεραί»[1]. Ἐκεῖναι γὰρ τῶν νεοττῶν ἀποστερούμεναι οὐ μνησικακοῦσι τοῖς ταῦτα ποιοῦσιν, ἀλλ' ἕτερον πάλιν ἐπινοοῦσι φωλεόν, ἵν' ἐκεῖσε νοσσεύσαντες ἑτέρους ἐπινοήσωσι νεοττούς.

Οὕτω καὶ ἡμᾶς πρὸς πάντας ἀκάκους εἶναι παρακελεύει καὶ ἀποστερουμένους μὴ μνησικακεῖν μηδ' ἀπαμύνεσθαι, ἀλλὰ μετὰ χαρᾶς ἀποδέχεσθαι πάντα τὰ ἐπερχόμενα ἡμῖν.

Α'

36. Περὶ ὕδρωπος ζῴου.

**116** Ἔστι ζῷον λεγόμενον ὕδρωψ, δριμύτατον πάνυ, ὥστε κυνηγὸν μὴ δύνασθαι ἐγγίσαι αὐτῷ [διὰ τὸ ἰσχύειν αὐτό]· ἔχει δὲ [πρὸς τῇ κεφαλῇ] μακρὰ κέρατα, πρίονος, μορφὴν ἔχοντα, ὥστε αὐτὸ πρίζειν τὰ μεγάλα δένδρα καὶ μετέωρα καὶ καταφέρειν ἐπὶ τὴν γῆν. Ἐὰν δὲ διψήσῃ, ἔρχεται ἐπὶ τὸν Εὐφράτην ποταμόν, καὶ πίνει· εἰσὶ δὲ ἐκεῖ ἐρίκινα λεπτόκλονα, καὶ ἄρχεται παίζειν πρὸς τὴν ἐρίκην τὸ ζῷον [ἐν τοῖς κλάδοις αὐτοῦ] τοῖς **117** κέρασι, καὶ περιπλακὲν κρατεῖται δῆθεν πρὸς τοὺς κλάδους τῆς ἐρικίνης, καὶ κράζει βοῶν, βουλόμενον ἐκφυγεῖν, καὶ οὐ δύναται· [συμπλέκεται γάρ]. Ὁ οὖν κυνηγός, ἀκούων αὐτοῦ βοῶντος [καὶ νοήσας ὅτι κρατεῖται], ἔρχεται καὶ σφάζει τὸ ζῷον.

Καὶ σὺ οὖν, πολιτευτά, ἔχων δύο κέρατα, Παλαιὰν καὶ Καινὴν Διαθήκην, ἐν οἷς δύνῃ τοὺς ἐχθρούς σου κερατίζειν, πορνείαν, μοιχείαν, φι**118**λαργυρίαν, ἀλαζονίαν[2], καὶ πάντα τὰ

1. Ματθ. 10,16. 2. Πρβλ. Γαλ. 5,19.

ὑλικὰ πάθη, μὴ αὐτοῖς συμπλακῇς, ἅ ἐστι δίκην ἐπέχοντα τῆς ἐρικίνης, καὶ ὁ πονηρὸς κυνηγὸς ἀναιρῇ σε.

Β΄

36. Περὶ ζῴου ἀνθώλοπος.

**122** Ἔστιν ζῷον λεγόμενον [ἀνθώλωψ] δριμύτατον πάνυ, ὥστε κυνηγὸν μὴ δύνασθαι ἐγγίσαι αὐτῷ διὰ τὸ ἰσχύειν αὐτόν· ἔχει δὲ μακρὰ κέρατα πρίονος μορφὴν ἔχοντα, ὥστε αὐτὸν πρίζειν τὰ μεγάλα δένδρη καὶ μετέωρα καὶ καταφέρειν αὐτὰ ἐπὶ τὴν γῆν· ὅταν δὲ διψήσῃ, ἔρχεται ἐπὶ τὸν Εὐφράτην ποταμὸν καὶ πίνει· εἰσὶν οὖν ἐρείκινα λεπτόκλονα· ἔρχεται καὶ παίζει πρὸς τῆ[ν ἐρείκην] τὸ ζῷον τοῖς κέρασιν καὶ περιπλακὲν κρατεῖται δεσ[...] τοὺς κλάδους τῆς ἐρεικίνης· καὶ κράζει βοῶν μεγάλως, βουλ[όμενον] ἐκφυγεῖν καὶ οὐ δύναται· ὁ δὲ κυνηγὸς ἀκούων αὐτοῦ βοῶντος ἔρχεται καὶ σφάζει αὐτόν.

**124** Καὶ σύ, ὦ πολιτευτά, ἔχων δύο κέρατα, τὴν Καινὴν καὶ τὴν Παλαιὰν Διαθήκην, ἐν οἷς δύνῃ τοὺς ἐχθρούς σου κερατίζειν, πορνείαν, μοιχείαν, φιλαργυρίαν, ἀλαζονίαν[1] καὶ πάντα τὰ ὑλικὰ πάθη, μὴ αὐτοῖς συμπλακῇς, ἵνα μὴ εἰς τὴν δίκην ἐπάξῃ σε τῆς ἐρεικίνης, καὶ ὁ κυνηγὸς ὁ πονηρὸς ἀναιρῇ σε.

Γ΄

Περὶ δρωπός.

**123** Ἔστι ζῷον λεγόμενον δρὼψ δριμύτατον πάνυ, ὥστε μὴ δύνασθαι κυνηγὸν προσεγγίσαι αὐτῷ, ἔχον κέρατα ὑπερμήκη πρίονος μορφὴν φέροντα, ὥστε δι᾽ αὐτῶν πρίζειν τὰ μεγάλα καὶ μετέωρα δένδρη καὶ εἰς γῆν καταφέρειν. Ὁπόταν δὲ καὶ διψήσῃ, ἔρχεται ἐπὶ τὸν Εὐφράτην ποταμὸν καὶ πίνει. Ἔστιν οὖν ἐκεῖσε ἐρίκηνα λεπτόκλωνα· ἔρχεται οὖν ὁ δρὼψ καὶ παίζει τοῖς κέρασιν μετὰ τῆς ἐρίκης καὶ περιπλακὲν κρατεῖται. Οὕτω καὶ ὁ ἐμπαθὴς ἄνθρωπος φιλαργυρίᾳ, ἀλαζονίᾳ καὶ λοιποῖς πάθεσιν συμπλακεὶς τὴν δίκην ἐπέχεται τῆς ἐρίκης καὶ τοῦ ῥηθέντος

1. Πρβλ. Γαλ. 5,19.



ζῴου· καὶ εὑρὼν αὐτὸν ὁ πονηρὸς ἀναιρεῖ αὐτόν. Κράζει οὖν τοῦτο τὸ ζῷον κρατούμενον καὶ βοᾷ μεγάλως, βουλόμενον ἐκφυγεῖν καὶ οὐ δύναται. Τότε ὁ κυνηγὸς ἀκούων αὐτοῦ βοῶντος ἔρχεται καὶ σφάζει αὐτό.

**125** Σὺ οὖν, πολιτευτά, ἔχων δύο κέρατα, Παλαιὰν καὶ Νέαν Διαθήκην, δι᾽ αὐτῶν δυνήσει τοὺς ἐχθροὺς κερατίζειν, πορνείαν καὶ μοιχείαν[1] καὶ εἴ τι ὅμοιον.

Α΄

37. Περὶ πυροβόλων λίθων.

**118** Εἰσὶ λίθοι, οἳ ὅταν ἐγγίσωσιν ἀλλήλοις, ἀναφθέντες ἐμπυρίζουσι πᾶν τὸ ἐμπῖπτον αὐτοῖς· φύσεως δέ εἰσι τοιαύτης τὸ ἄρρεν καὶ τὸ θῆλυ, μακρὰν δὲ διεστήκασιν ἀλλήλων.

Καὶ σὺ οὖν, γενναιότατε πολιτευτά, φεῦγε τὸ θῆλυ, ἵνα μὴ ἐγγίσας αὐτῷ ἀναφθῇς πρὸς ἡδονὴν καὶ καταφλέξῃς πᾶσαν τὴν ἐν σοὶ ἀρετήν. Καὶ γὰρ Σαμψών, γυναικὶ προσεγγίσας, ἀπεκείρατο τὴν ἰσχύν[2], καὶ πολλοί, κατὰ τὸ γεγραμμένον, ἐπλανήθησαν ἐν κάλλει γυναικῶν[3].

37.bis Περὶ λίθων πυροβόλων.

**119** Εἰσὶ λίθοι πυροβόλοι ἐν τῷ ἀνατολικῷ μέρει, ἄρρεν καὶ θῆλυ· ἐν ὅσῳ μακράν εἰσιν ἀπ᾽ ἀλλήλων, οὐδαμοῦ πῦρ καίει, ἐὰν δὲ ἐγγίσῃ τὸ ἄρρεν τῷ θήλει, ἀνάπτεται πῦρ καὶ ἐμπυρίζει τὰ πάντα.

Ὦ γενναιότατε πολιτευτά, ἄγγελοι ἐν ζόφῳ εἰσὶ καὶ ταρτάρῳ ἕνεκεν γυναικῶν. Σαμψὼν[4] καὶ Σολομὼν καὶ Ἰωσὴφ[5] οἱ δίκαιοι εἰς πειρατήρια ἐνέπεσαν, καὶ πολλοί, κατὰ τὸ γεγραμμένον, ἐπλανήθησαν ἐν κάλλει [καὶ εὐμορφίᾳ τῆς] γυναικός[6].

Β΄

37. Περὶ πυροβόλων.

**126** Εἰσὶν λίθοι, ὅταν ἅψωσιν ἀλλήλων, συναφθέντες ἐμπυρί-

1. Πρβλ. Γαλ. 5,19. 2. Πρβλ. Κριτ. 16,4-31. 3. Πρβλ. Σ. Σειρ. 9,8. 4. Πρβλ. Κριτ. 16,4-31. 5. Πρβλ. Γεν. 39,12. 6. Πρβλ. Σ. Σειρ. 9,8.

ζουσι πᾶν, ὅ,τι εὕρωσιν· φύσεως δὲ τοιαύτης εἰσὶν τὸ ἄρρεν καὶ τὸ θῆλυ, μακρὰν διεστήκασιν ἀλλήλων.

Καὶ σὺ οὖν, γενναιότατε πολιτευτά, φεῦγε τὸ θῆλυ, ἵνα μὴ ἀψάμενος αὐτῷ ἀναφθῇς πρὸς ἡδονὴν καὶ καταφλέξῃς πᾶσαν τὴν ἐν σοὶ ἀρετήν. Καὶ γὰρ Σαμψὼν γυναικὶ προσεγγίσας ἀπεκείρατο τὴν ἰσχύν[1]. Καὶ «πολλοὶ» κατὰ τὸ γεγραμμένον «ἐπλανήθησαν ἐν κάλλει γυναικός»[2].

Γ′

Περὶ πυροβόλου.

**127** Εἰσὶ λίθοι, ὅταν ἐγγίσωσι ἀλλήλοις, ἀναφθέντες ἐμπυρίζουσιν πᾶν τὸ ἐμπίπτον αὐτοῖς· φύσεως δέ εἰσι τοιαύτης τὸ ἄρρεν καὶ τὸ θῆλυ, μακρὰν δὲ ἑστήκασιν ἀλλήλων.

Καὶ σὺ οὖν, πολιτευτὰ γενναιότατε, φεῦγε τὸ θῆλυ, ἵνα μὴ ἐγγίσας [αὐτῷ] ἀναφθῇς πρὸς ἡδονὴν καὶ καταφλέξῃς πᾶσαν τὴν ἐν σοὶ ἀρετήν. Καὶ [γὰρ] Σαμψὼν γυναικὶ προσεγγίσας ἀπεκείρατο τὴν ἰσχύν[3]· καὶ πολλοὶ ἔπεσαν ἐν κάλλει γυναικός[4], ὡς γέγραπται.

Α′

38. Περὶ λίθου μαγνήτου.

**119** Ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ μαγνήτου λίθου ὅτι ἀνακρεμάζει τὸν σίδηρον· [κολλήσας τὸν σίδηρον τῷ λίθῳ, ἀνακρεμάζει αὐτόν].

**120** Εἰ οὖν τὰ κτίσματα ἀνακρεμάζει ἄλληλα, πόσῳ μᾶλλον ὁ κτίστης τῶν ἀπάντων καὶ Δημιουργὸς [Θεός], ἀνακρεμάσας τὸν οὐρανὸν ἀπὸ τῆς γῆς καὶ ἐκτείνας αὐτὸν ὡσεὶ δέρριν[5].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ μαγνήτου λίθου.

**1.** Πρβλ. Κριτ. 16,4-31. **2.** Σ. Σειρ. 9,8. **3.** Πρβλ. Κριτ. 16,4-31. **4.** Πρβλ. Σ. Σειρ. 9,8. **5.** Πρβλ. Ψαλ. 103,2.



Β′

38. Περὶ μαγνήτου λίθου.

**128** Ὁ Φυσιολόγος ἔλεξεν περὶ τοῦ μαγνήτου λίθου, ὅτι ἕλκει εἰς ἑαυτὸν τὸν σίδηρον καὶ προσκολλεῖ τοῦτον ἑαυτῷ.

Εἰ οὖν τὰ κτίσματα ἕλκουσιν ἄλληλα, πόσῳ γὲ μᾶλλον ὁ κτίστης τῶν ἁπάντων καὶ Δημιουργὸς Θεὸς ἑλκύσει ἡμᾶς πρὸς αὐτὸν ἐν τοῖς οὐρανοῖς, καθὼς αὐτὸς ὁ Κύριος εἴρηκεν· «ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν»[1].

Γ′

Περὶ λίθου μαγνήτου.

**129** [Ὁ] Φυσιολόγος ἔλεξε περὶ τοῦ μαγνήτου λίθου, ὅτι ἀνακρεμάζει τὸ σίδηρον· κολλήσας τὸ σίδηρον τῷ λίθῳ ἀνακρεμάζει αὐτῷ.

Εἰ οὖν τὰ κτίσματα ἀνακρεμάζουσιν ἄλληλα, πόσῳ μᾶλλ[ον] ὁ κτίστης καὶ Δημιουργὸς τῶν ἁπάντων Θεὸς ἀνακρεμάσας τὸν οὐρανὸν ἀπὸ τῆς γῆς καὶ ἐκτείνας αὐτὸν ὡσεὶ δέῤῥιν[2].

Α′

39. Περὶ κήτους καλουμένου πρίονος.

**121** Ἔστιν ζῷον ἐν τῇ θαλάσσῃ πρίων λεγόμενον, πτέρυγας ἔχον μακράς, καὶ ἐὰν ἴδῃ πλοῖα ἀρμενίζοντα, καὶ αὐτὸ μιμεῖται αὐτά, καὶ ὑψοῖ τὰς πτέρυγας αὐτοῦ, καὶ ἀρμενίζει, ἐρίζον τοῖς πλοίοις τοῖς ἀρμενίζουσιν· ἐὰν δὲ ποιήσῃ σταδίους τριάκοντα ἢ τεσσαράκοντα, κοπιᾷ καὶ τὰς πτέρυγας εἰς ἑαυτὸ ἕλκει [κοπιάσας], καὶ τὰ κύματα αὐτὸ φέρει εἰς τὸν παλαιὸν αὐτοῦ τόπον.

Λαμβάνεται οὖν ἡ θάλασσα ἐπὶ τὸν κόσμον, καὶ τὰ πλοῖα εἰς πρόσωπον τῶν Ἀποστόλων καὶ μαρτύρων, οἵτινες, διαπεράσαντες δίκην θα**122**λάσσης, καταντλούμενοι [τοῖς κύμασι, τουτέστι] ταῖς τοῦ βίου πραγματείαις [καὶ τρικυμίαις], ἔφθασαν εἰς

**1.** Ἰω. 12,32. **2.** Πρβλ. Ψαλ. 103,2.

εὔδιον λιμένα, εἰς τὴν τῶν οὐρανῶν βασιλείαν[1]· τὸ ζῷον δὲ τοῦτο παρείκασται εἰς τοὺς ἐναρξαμένους τῆς πολιτείας τῆς ἀσκήσεως, καὶ παλινδρομήσαντας ἐπὶ τὴν προτέραν ἀναστροφὴν τοῦ κόσμου, [καθὰ καὶ τοῦτο τὸ ζῷον μὴ δυνάμενον συναρμενίζειν ἀπέμεινε].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ πρίονος.

Τὴν θάλασσαν νόει τὸν κόσμον, τὰ πλοῖα τοὺς ἁγίους Ἀποστόλους, τοὺς περάσαντας τὸν αἰῶνα τοῦτον καὶ τὰς ἀντικειμένας δυνάμεις· ὁ δὲ πρίων ὁ μὴ ὑπομείνας ἀρμενίζειν μετὰ τῶν πλοίων ἐπὶ τοὺς πρὸς χρόνον πολιτευσαμένους καὶ μὴ ὑπομείναντας εἰς τέλος. Ἐναρξάμενοι γὰρ ἔργων **123** ἀγαθῶν, εἰς τέλος οὐχ ὑπέμειναν ἕνεκεν φιλαργυρίας, ἢ ἀλαζονίας, ἢ μοιχείας, ἢ αἰσχροκερδείας, ἢ πορνείας, ἢ μίσους, καὶ τὰ κύματα τῆς θαλάσσης, τουτέστιν αἱ ἀντικείμεναι δυνάμεις, καταφέρουσιν αὐτὸν εἰς τὸν Ἅδην.

Ὥσπερ δὴ ὁ πρίων μιμεῖται τὰ πλοῖα, οὕτω δὴ καὶ οἱ ἄνθρωποι ἀκολουθοῦντες τὴν ἀρετὴν εἰς τὸ ἐκπερᾶσαι ἐκ τοῦ ἁλμυροῦ τούτου βίου - τοῦτο γὰρ ἡ θάλασσα -, εἶτα ἀπατηθέντες καὶ μὴ ὑπομείναντες εἰς τέλος, [ἤγουν] ἐκ τῶν πονηρῶν ἔργων, δηλονότι τῶν κυμάτων τῶν τῆς θαλάσσης, καταφέρονται πάλιν εἰς αἰωνίους βασάνους. «Ὁ γὰρ ὑπομείνας εἰς τέλος», φησίν, «οὗτος σωθήσεται»[2].

## Β′

### 39. Περὶ κήτους καλουμένου πρίονος.

**130** Ἔστιν τοῦτο τὸ ζῷον πτέρυγας ἔχον μακράς· καὶ ἐὰν ἴδῃ πλοῖον ἀρμενίζον, καὶ αὐτὸ μιμεῖται τὸ πλοῖον καὶ ὑψοῖ τὰς πτέρυγας αὐτοῦ καὶ ἀρμενίζει ἐρίζον τοῖς ἀρμενίζουσι πλοίοις· ἐὰν [ποι]ήσῃ στάδια εἴκοσι, κοπιᾷ καὶ τὰς πτέρυγας εἰς ἑαυτὸν ἕλ[κει] κοπιάσας, καὶ τὰ κύματα αὐτὸν ἀποφέρουσιν εἰς τὸν παλαι[ὸν] αὐτοῦ τόπον.

Λαμβάνεται οὖν ἡ θάλασσα τροπικῶς εἰς τὸν κόσμον· καὶ τὰ πλοῖα ἐπὶ τοὺς Ἀποστόλους καὶ μάρτυρας, οἵτινες δι[α]περάσαντες δίκην θαλάσσης τὸν παρόντα βίον εἰς εὔδιον λιμένα κατήντησαν, τουτέστιν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν[1]. Τὸ ζῷον τοῦτο παρείκασται τοῖς ἐναρξαμένοις πολιτείᾳ τῆς ἀσκήσεως· καὶ πάλιν ἐπὶ τὴν προτέραν ἀναστροφὴν τ[οῦ] ἀπατηλοῦ βίου ὑπέστρεψαν.

**1.** Πρβλ. Ματθ. 3,2. 4,17. 5,3. 10,19. **2.** Ματθ. 10,22.



## Γ′

### Περὶ πρίονος.

**131** Ἔστιν ζῷον ἐν τῇ θαλάσσῃ, ὃ λέγεται πρίων, ἔχον πτέρυγας μικράς· καὶ ἐὰν ἴδῃ πλοῖα ἀρμενίζοντα, μιμεῖται αὐτὰ καὶ ὑψοῖ τὰς πτέρυγας αὐτοῦ ἀρμενίζον τοῖς ἀρμενίζουσι· καὶ ἐὰν ὑπάγῃ σταδίους εἴκοσι ἢ τριάκοντα, κοπιᾷ καὶ τὰς πτέρυγας αὐτοῦ εἰσφέρει πρὸς ἑαυτόν, ἀπαγόμενον εἰς τὸν ἴδιον αὐτοῦ τόπον παρὰ τῶν κυμάτων.

Λαμβάνεται οὖν ἡ θάλασσα εἰς τόνδε τὸν κόσμον, τὰ δὲ πλοῖα εἰς τοὺς ἁγίους Ἀποστόλους καὶ μάρτυρας, οἳ δίκην θαλάσσης τὸν βίον διῆλθον φθάσαντες εἰς τὸν γαλήνιον λιμένα, τὴν εἰς τῶν οὐρανῶν βασιλείαν[2]. Τὸ δὲ ζῷον παρείκασται τοῖς ἐναρξαμένοις πολιτείαν τῆς ἀσκήσεως· καὶ παλινδρομοῦσι ἐπὶ τὴν προτέραν ἀναστροφὴν τοῦ κόσμου, καθὰ καὶ τοῦτο τὸ ζῷον μὴ δυνάμενον συναρμενίζειν ἀπέμεινεν.

## Α′

### 40. Περὶ ἴβεως.

**123** Ἀκάθαρτός ἐστι κατὰ τὸν Νόμον ἡ ἶβις[3]. Κολυμβᾶν οὐκ οἶδε, ἀλλὰ παρὰ τὰ χείλη τῶν ποταμῶν καὶ τῶν λιμνῶν νέμεται, καὶ οὐ δύναται εἰσελθεῖν εἰς τὰ βάθη, ὅπου οἱ καθαροὶ ἰχθύες νήχονται, ἀλλ' ὅπου τὰ ἀκάθαρτα ἰχθύδια αὐλίζονται.

**124** Μάθε οὖν καὶ σὺ νοερῶς κολυμβᾶν, ἵνα ἔλθῃς ἐπὶ τὸν νοερὸν βαθὺν ποταμόν, εἰς βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ[4]. Εἰ μὴ γὰρ τὰς δύο χεῖρας ἐκτενεῖς καὶ ποιήσεις τὸ

**1.** Πρβλ. Ματθ. 3,2. 4,17. 5,3. 10,19. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Λευϊτ. 11,17. **4.** Πρβλ. Ρωμ. 11,33.

σημεῖον τοῦ σταυροῦ, οὐ δυνήσει περᾶσαι τὴν τοῦ βίου θάλασσαν. Ὁ γὰρ τύπος τοῦ σταυροῦ ἐπὶ πάντα τὰ κτίσματα συντείνει· ὁ ἥλιος, ἐὰν μὴ ἐκτείνῃ αὐτοῦ τὸ δικέρατον, οὐ λάμπει· πετεινόν, ἐὰν μὴ ἐκτείνῃ αὐτοῦ τὰς πτέρυγας, οὐχ ἵπταται. Μωυσῆς, ἐκτείνας τὰς χεῖρας, ἀνεῖλε τὸν Ἀμαλήκ[1], Δανιὴλ τοὺς λέοντας[2]. Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους[3], Θέκλα ἐν πυρὶ καὶ θηρίοις καὶ φώκαις ἐβλήθη καὶ ὁ τύπος τοῦ σταυροῦ αὐτὴν διέσωσε. Σωσάννα[4] ἐκ τῶν πρεσβυτέρων, Ἰουδὴθ ἐκ τοῦ Ὁλοφέρνου[5] καὶ Ἐσθὴρ[6] ἐκ τοῦ Ἀρταξέρξου, καὶ οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ τοῦ πυρὸς [ἐν τῇ πίστει] διεσώθησαν[7], καὶ τὸ χεῖρον πάντων ἶβις[8]... Τὰ δὲ γεννήματα τῶν ἁμαρτωλῶν ἁμαρτίαι εἰσίν.

## Β′

### 40. Περὶ τῆς ἴβεως.

**132** Ἀκάθαρτός ἐστιν ἡ ἶβις κατὰ τὸν νόμον[9]. Νήχειν οὐκ οἶδεν, ἀλλὰ παρὰ τὰ χείλη τῶν ποταμῶν καὶ τῶν λιμνῶν νέμεται· οὐ δύναται εἰς τὰ βάθη εἰσελθεῖν, ὅπου οἱ καθαροὶ ἰχθύες νέμονται, ἀλλ' ὅπου τὰ ἀκάθαρτα ἰχθύδια αὐλίζεται.

Μάθε οὖν καὶ σὺ νοερῶς κολυμβᾶν, ἵνα φθάσῃς εἰς βάθος πλούτου, σοφίας καὶ δυνάμεως Θεοῦ[10]. Καὶ γὰρ ἐὰν μή τις ἐκτείνῃ τὰς δύο χεῖρας καὶ ποιήσῃ τὸ σημεῖον τοῦ σταυροῦ, οὐ δύναται περᾶσαι τὴν τοῦ βίου θάλασσαν· ὁ γὰρ τύπος τοῦ σταυροῦ ἐπὶ πάντα τὰ κτίσματα τοῦ οὐρανοῦ συντείνει· ὁ ἥλιος ἐὰν μὴ ἐκτείνῃ τὰς ἀκτῖνας, οὐ δύναται λάμψαι· ἡ σελήνη ἐὰν μὴ ἐκτείνῃ τὸ δικέρατον, οὐ λάμπει· τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐὰν μὴ ἐκτείνῃ τὰς πτέρυγας, οὐκ ἵπταται· Μωϋσῆς ἐκτείνας τὰς χεῖρας καθεῖλεν τὸν Ἀμαλήκ[11], Δανιὴλ τοὺς λέοντας[12], Σουσσάνα τοὺς πρεσβυτέρους[13], Θέκλα δὲ καὶ πῦρ καὶ θηρία καὶ πίστει ἐσώθη.

**1.** Πρβλ. Ἐξ. 17,11-16. **2.** Πρβλ. Δαν. 6,18-25. **3.** Πρβλ. Ἰων. 2,1-2. **4.** Πρβλ. Δαν. (Σωσ). 1, ἑξ. **5.** Πρβλ. Ἰουδὶθ 10,13-14,19. **6.** Πρβλ. Ἐσθὴρ 2,16-20. $4,17^k$-$17^z$. 5,1-14. 6,7,8,9. **7.** Πρβλ. Δαν. 3,46-97. **8.** Πρβλ. Λευϊτ. 11,17. **9.** Ἔνθ' ἀν. **10.** Πρβλ. Ρωμ. 11,33. **11.** Πρβλ. Ἐξ. 17,11-16. **12.** Πρβλ. Δαν. 6,18-25. **13.** Πρβλ. Δαν (Σωσ.) 1, ἑξ.



## Γ′

## 133 — Περὶ τῆς ἴβεως —

## Α′

### 41. Περὶ δόρκωνος.

**125** Ἔστι ζῷον [ἐν τῷ ὄρει] λεγόμενον δόρκων. Ὁ Φυσιολόγος ἔλεξε περὶ αὐτοῦ ὅτι ἀγαπᾷ πάνυ τὰ ὑψηλὰ ὄρη, τὴν δὲ τροφὴν εὑρίσκει ἐπὶ τὰ πεδινὰ τῶν ὀρέων, καὶ θεωρεῖ ἀπὸ μακρόθεν πάντας τοὺς προσερχομένους πρὸς αὐτόν, καὶ γινώσκει εἰ μετὰ δόλου ἔρχονται, ἢ μετὰ φιλίας.

Ἔστιν οὖν τύπος τῆς τοῦ Θεοῦ σοφίας. Αὕτη οὖν ἐστιν ἡ ἀγαπῶσα [τοὺς προφήτας, τουτέστι] τὰ ὑψηλὰ ὄρη, ὡς εἶπεν· ἰδοὺ ὁ ἀδελ**126**φιδός μου ἅλεται ἐπὶ τῶν ὀρέων, πηδῶν ἐπὶ τῶν βουνῶν[1]. [Τὰ ὄρη λαμβάνεται ἐπὶ τοὺς προφήτας, οἱ βουνοὶ ἐπὶ τοὺς Ἀποστόλους].

Ἐπειδὴ οὖν ὀξύδορκός ἐστιν ὁ δόρκων, σημαίνει ὅτι ὁ Σωτὴρ βλέπει πάντα τὰ πραττόμενα (Θεὸς γὰρ κέκληται διὰ τὸ αὐτὸν θεωρεῖν τὰ ἔργα ἡμῶν), **127** καὶ τοὺς μακρόθεν ἐρχομένους πρὸς αὐτὸν μετὰ δόλου γινώσκει, ὡς ἔγνω τὸν Ἰούδαν, τὸν φιλήματι αὐτὸν παραδόντα[2]. Ἔφη δὲ καὶ ὁ Δαβίδ· ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ[3], εἶπε δὲ καὶ ὁ Ἰωάννης· «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[4].

## Β′

### 41. Περὶ δορκάδος.

**134** Ἔστιν ζῷον αὐλιζόμενον ἐν τῷ ὄρει λεγόμενον δορκάς· ἀγαπᾷ πάνυ τὰ ὑψηλὰ ὄρη, τὴν δὲ τροφὴν εὑρίσκεται ἐπὶ τὰ στενὰ τῶν ὀρέων, καὶ θεωρεῖ ἀπὸ μακρόθεν πάντας τοὺς προσερχομένους αὐτῷ καὶ γινώσκει, εἰ μετὰ δόλου ἔρχεται ἢ μετὰ φιλίας. Αὕτη οὖν ἐστιν ἡ ἀγαπῶσα τοὺς προφήτας, τουτέ-

**1.** Πρβλ. Ἆσμ. 2,8. **2.** Πρβλ. Ματθ. 26,48. Μάρκ. 14,44. Λουκ. 22,47. **3.** Πρβλ. Ψαλ. 1,6. **4.** Ἰω. 1,29.

στιν τὰ ὑψηλὰ ὄρη, ὡς εἶπεν· ἰδοὺ ὁ ἀδελφός μου ἅλεται ἐπὶ τὰ ὄρη, ⟨πηδῶν ἐπὶ τῶν βουνῶν⟩[1]. Τὰ ὄρη ἐπὶ τοὺς προφήτας λαμβάνεται· οἱ βουνοὶ ἐπὶ τοὺς Ἀποστόλους.

Ἐπειδὴ ὀξύδορκός ἐστιν ὁ δορκών, σημαίνει, ὅτι ὁ Σωτὴρ βλέπει πάντα τὰ γινόμενα — Θεὸς γὰρ κέκληται διὰ τὸ αὐτὸν θεᾶσθαι τὰ ἔργα ἡμῶν — καὶ τοὺς μακρόθεν ἐρχομένους πρὸς αὐτὸν μετὰ δόλου ἢ ἀγάπης ὁρᾷ, ὡς ἔγνω Κύριος τὸν Ἰούδαν τῷ φιλήματι αὐτὸν παραδόντα[2]. Εἶπεν δὲ καὶ ὁ Δαβίδ· ἔγνω Κύριος τοὺς ὄντας μετὰ δόλου[3].

Καὶ εἶπεν δὲ καὶ ὁ Ἰωάννης· «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[4].

Γ'

### Περὶ δορκῶ.

**135** Ἔστιν ζῷον λεγόμενον δορκῶ. Ὁ Φυσιολόγος ἔλεξε περὶ αὐτοῦ, ὅτι ἀγαπᾷ πάνυ τὰ ὑψηλὰ ὄρη, τὴν δὲ τροφὴν εὑρίσκει ἐπὶ τὰ πεδινὰ τῶν ὀρέων, καὶ θεωρεῖ ἀπὸ μακρόθεν τοὺς προσερχομένους πρὸς αὐτὸν καὶ γινώσκει τοὺς μετὰ δόλου τε καὶ φιλίας προσερχομένους. Αὕτη οὖν ἐστιν ἡ ἀγαπῶσα τοὺς προφήτας, τουτέστιν τὰ ὑψηλὰ ὄρη, ὡς εἶπεν· ἰδοὺ ὁ ἀδελφός μου ἅλλεται ἐπὶ τῶν ὀρέων, πηδῶν ἐπὶ τῶν βουνῶν[5].

Ἐπειδὴ οὖν ὀξύδορκός ἐστιν, δορκῶ οὖν σημαίνει τὸ βλέπω· βλέπει γὰρ ὁ Σωτὴρ πάντα τὰ πραττόμενα, ὡς ἔγνω τὸν Ἰούδαν τὸν φιλήματι αὐτὸν παραδώσαντα[6]· ἔφη δὲ καὶ ὁ Δαβίδ· ἔγνω Κύριος τοὺς ἀγαπῶντας αὐτόν[7].

Εἶπε δὲ καὶ Ἰωάννης· «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[8].

Α'

### 42. Περὶ ἀδαμαντίνου λίθου [ἰσχυροῦ].

**127** Ἔστιν ἄλλη φύσις ἀδαμαντίνου λίθου [ἰσχυροῦ]· οὗτος

1. Πρβλ. ᾎσμ. 2,8. 2. Πρβλ. Ματθ. 26,48. Μάρκ 14,44. Λουκ. 22,47. 3. Πρβλ. Ψαλ. 1,6. 4. Ἰω. 1,29. 5. Πρβλ. ᾎσμ. 2,8. 6. Πρβλ. Ματθ. 26,48. Μάρκ. 14,44. Λουκ. 22,47. 7. Πρβλ. Ψαλ. 1,6. 8. Ἰω. 1,29.



γὰρ οὔτε σίδηρον φοβεῖται τυπτόμενος, οὔτε πῦρ [φοβεῖται καιόμενος], οὔτε ὀσμὴν καπνοῦ λαμβάνει. Ἐὰν δὲ ἐν οἴκῳ εὑρεθῇ, οὔτε δαίμων ἐκεῖ εἰσέρχεται οὔτε τί ποτε κακὸν εὑρίσκεται, ὁ δὲ κρατῶν αὐτὸν ἄνθρωπος νικᾷ πᾶσαν διαβολικὴν ἐνέργειαν.

Ὁ ἀδαμάντινός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· ἐὰν οὖν ἔχῃς αὐτὸν ἐν τῇ καρδίᾳ σου, ὦ ἄνθρωπε, οὐδέν σοι κακὸν ἀπαντήσει ποτέ.

Β'

### 42. Περὶ ἀδαμαντίνου λίθου.

**136** Ἔστιν ἄλλη φύσις ἀδαμαντίνου λίθου ἰσχυροῦ.

Ὁ Φυσιολόγος ἔλεξεν περὶ αὐτοῦ, ὅτι οὔτε σίδηρον φοβεῖται τυπτόμενος οὔτε τὸ πῦρ δειλιᾷ οὔτε ὀσμὴν καπνοῦ λαμβάνει· ἐὰν δὲ ἐν οἴκῳ εὑρεθῇ, οὔτε δαίμων ἐκεῖ εἰσέρχεται οὔτ' ἔτι ἐναντίον πλησιάζει.

Ὁ ἀδάμας λίθος ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· ἐὰν οὖν ἔχῃς αὐτὸν ἐν τῇ καρδίᾳ σου, ἄνθρωπε, οὐδέν σοι κακὸν πλησιάσει ποτέ.

Γ'

### **137** — Περὶ ἀδαμαντίνου λίθου —

Α'

### 43. Περὶ ἐλέφαντος.

**128** Ἔστι ζῷον ἐν τῷ ὄρει λεγόμενον ἐλέφας, **[521]** [καὶ ἄλλο γεργελέφας]. Ἐν τούτῳ τῷ ζῴῳ οὐκ ἔστι συνουσίας ἐπιθυμία· ἐὰν οὖν θέλῃ τεκνοποιῆσαι, ὑπάγει εἰς τὴν ἀνατολήν, πλησίον τοῦ παραδείσου. Ἔστι δὲ ἐκεῖ δένδρον μανδραγόρα λεγόμενον· ἀπέρχεται οὖν ἐκεῖ ἡ θήλεια καὶ ὁ ἄρρην, καὶ ἡ θήλεια, μεταλαβοῦσα πρώτη ἀπὸ τοῦ δένδρου, παρέχει καὶ τῷ αὐτῆς ἄρρενι καὶ προσπαίζει αὐτῷ, ἕως οὗ καὶ αὐτὸς μεταλάβῃ, καὶ φαγὼν ὁ ἄρρην, συγγίνεται τῇ θηλείᾳ [ὀπισθοφανῶς, διὰ τὸ

μὴ ἔχειν ἁρμονίαν· βαστάζει δὲ τὸ ἐγγάστριον χρόνον ἕνα], καὶ εὐθέως ἐν γαστρὶ λαμβάνει. Ἐὰν οὖν ὁ καιρὸς γένηται τοῦ τεκεῖν αὐτήν, ἔρχεται ἐπὶ λίμνην ὕδατος [καὶ ἐμβαίνει ἔσωθεν], ἕως οὗ ἔλθῃ τὸ ὕδωρ ἐπὶ τῶν μαζῶν αὐτῆς, καὶ οὕτω λοιπὸν ἀποκύει τὸ τέκνον αὐτῆς ἐπὶ τοῦ ὕδατος, καὶ ἔρχεται ἐπὶ τοὺς μηροὺς αὐτῆς, καὶ θηλάζει τὸν μαζὸν τῆς μητρὸς αὐτοῦ.

**129** Ὁ δὲ ἐλέφας φυλάσσει αὐτὴν ὠδίνουσαν διὰ τὸν ὄφιν, ἐπειδὴ ἐχθρός ἐστιν ὁ ὄφις τοῦ ἐλέφαντος, καὶ ἐὰν εὕρῃ αὐτὸν ὁ ἐλέφας, καταπατεῖ καὶ ἀποκτείνει αὐτόν.

**130** Ἡ δὲ φύσις τοῦ ἐλέφαντος τοιαύτη ἐστίν· ἐὰν πέσῃ, οὐ δύναται ἀναστῆναι· οὐκ ἔχει γὰρ ἁρμογὰς εἰς τὰ γόνατα αὐτοῦ [ὡς καὶ τῶν λοιπῶν ζῴων]. Πῶς δὲ καὶ πίπτει; Ἐὰν θέλῃ ὑπνῶσαι, ἐπὶ δένδρου ἑαυτὸν ἀνακλίνει καὶ κοιμᾶται· οἱ οὖν κυνηγοί, εἰδότες τὴν τοῦ ἐλέφαντος φύσιν, ὑπάγουσι καὶ πρίζουσι τὸ δένδρον παρολίγον. Ἔρχεται οὖν ἀνακλῖναι ἑαυτὸν ὁ ἐλέφας, καὶ ἅμα τῷ δένδρῳ συμπίπτει, καὶ ἄρχεται βοᾶν κλαίων, καὶ ἀκούει ἄλλος ἐλέφας, καὶ ἔρχεται βοηθῆσαι αὐτῷ, καὶ οὐ δύναται ἐγεῖραι **131** αὐτόν· βοῶσι δὲ οἱ δύο, καὶ ἔρχονται δώδεκα ἐλέφαντες, καὶ οὐδὲ αὐτοὶ δύνανται τὸν πεπτωκότα ἐγεῖραι· εἶτα οἱ πάντες βοῶσιν· ὕστερον δὲ πάντων ἔρχεται μικρὸς ἐλέφας, καὶ ὑποτίθησι τὴν προμοσχίδα αὐτοῦ ὑποκάτω τοῦ ἐλέφαντος, καὶ ἐγείρει αὐτόν.

[Ἡ δὲ φύσις τοῦ μικροῦ ἐλέφαντος τοιαύτη ἐστίν· ἐὰν θυμιάσῃς αὐτοῦ τρίχας ἢ ὀστέα ἔν τινι τόπῳ, οὔτε δαίμων, οὔτε δράκων, οὔτε τίποτε κακὸν ἐκεῖ εἰσέρχεται].

**132** Εἰς πρόσωπον οὖν τοῦ Ἀδὰμ καὶ τῆς Εὔας λαμβάνονται ὁ ἐλέφας καὶ ἡ γυνὴ αὐτοῦ· ἡνίκα ἦσαν ἐν τῇ τρυφῇ τοῦ παραδείσου πρὸ τῆς παραβάσεως, οὐκ ᾔδεισαν τότε συνουσίαν, ἀλλ' οὐδὲ νόησιν μίξεως εἶχον. Ἀλλ' ὅτε ἡ γυνὴ ἔφαγεν ἀπὸ τοῦ ξύλου, τουτέστι τῶν νοερῶν μανδραγόρων, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς[1], τότε ἔγνω τὴν γυναῖκα ὁ Ἀδάμ, καὶ ἔτεκε τὸν Κάϊν[2] ἐπὶ τὰ ψεκτὰ ὕδατα, ὡς εἶπεν ὁ Δαβίδ· «σῶσόν με ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου»[3]. Ἦλθεν οὖν ὁ μέγας ἐλέφας, τουτέστιν ὁ Νόμος, καὶ οὐκ ἠδυνήθη αὐτὸν ἐγεῖ-

**1.** Πρβλ. Γεν. 3,6. **2.** Πρβλ. Γεν. 4,1. **3.** Ψαλ. 68,2.



ραι· εἶτα ἦλθον οἱ δώδεκα ἐλέφαντες, τουτέστιν ὁ χορὸς τῶν προφητῶν, καὶ οὐδὲ αὐτοὶ ἠδυνήθησαν ἐγεῖραι τὸν πεπτωκότα· ὕστερον δὲ πάντων ἦλθεν ὁ νοερὸς καὶ ἅγιος ἐλέφας, [ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός], καὶ ἤγειρε τὸν ἄνθρωπον ἀπὸ **133** τῆς γῆς. Ὁ ὢν μειζότερος πάντων, [ἤτοι ὁ Χριστὸς καὶ νέος Ἀδάμ], ἐγένετο πάντων δοῦλος[1]· ἐταπείνωσε γὰρ ἑαυτόν, μορφὴν δούλου λαβών[2], [γενόμενος ὅμοιος αὐτῶν], ἵνα πάντας σώσῃ.

Καλῶς ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ἐλέφαντος.

## Β'

### 43. Περὶ ἐλέφαντος ζῴου.

**138** Ἔστιν ζῷον ἐν τῇ Ἰνδίᾳ λεγόμενον ἐλέφας.

**140** Ἐν τούτῳ τῷ ζῴῳ οὐκ ἔστιν συνουσίας ἐπιθυμία· ἐὰν οὖν θέλῃ τεκνοποιῆσαι, ὑπάγει ἐν τῇ ἀνατολῇ πλησίον τοῦ παραδείσου· πορεύεται δὲ καὶ ἡ θήλεια μετ' αὐτοῦ· καὶ ἔστιν ἐκεῖ δένδρον μανδραγόρα καλούμενον· ἡ οὖν θήλεια μεταλαβοῦσα πρώτη ἀπὸ τοῦ δένδρου παρέχει καὶ τῷ ἑαυτῆς ἄρρενι καὶ προπαίζει αὐτῷ, ἕως οὗ καὶ αὐτὸς μεταλάβῃ· καὶ φαγὼν ὁ ἄρρην εὐθέως προσεγγίσας συγγίνεται τῇ θηλείᾳ, καὶ παραυτὰ συλλαμβάνει ἐν γαστρί. Καὶ ὅταν ὁ καιρὸς πληροῦται τοῦ τεκεῖν αὐτῇ, ἀπέρχεται ἐπὶ λίμνην ὕδατος, ἕως οὗ ἀναβῇ αὐτὸ τὸ ὕδωρ μέχρι τῶν μαζῶν αὐτῆς· καὶ οὕτως λοιπὸν ἀποτίκτει τὸν γόνον αὐτῆς ἐπὶ τοῦ ὕδατος.· Καὶ ἔρχεται ἐπὶ τοὺς μηροὺς αὐτῆς καὶ θηλάζει τοὺς μασθοὺς αὐτῆς. Ὁ δὲ ἐλέφας φυλάσσει αὐτὴν ὠδίνουσαν διὰ τὸν ὄφιν, ἐπειδὴ ἐχθρός ἐστιν τοῦ ἐλέφαντος ὁ ὄφις· ἐὰν οὖν εὕρῃ τὸν ὄφιν, καταπατεῖ καὶ ἀποκτείνει αὐτόν.

Ἡ δὲ φύσις τοῦ ἐλέφαντος τοιαύτη ἐστίν· ἐὰν πέσῃ, **142** οὐ δύναται στῆναι· οὐκ ἔχει γὰρ ἁρμοὺς τὰ γόνατα αὐτοῦ. Πῶς δὲ καὶ πίπτει; ἐὰν θέλῃ ὑπνῶσαι, ζητεῖ δένδρον καὶ ἀνακλίνας ἑαυτὸν κοιμᾶται. Οἱ οὖν Ἰνδοὶ ὡς γινώσκοντες τὴν τοῦ ἐλέφαντος φύσιν πορεύονται καὶ πρίζουσιν τὸ δένδρον παρ' ὀλίγον·

**1.** Πρβλ. Μάρκ. 10,44. **2.** Πρβλ. Φιλιπ. 2,7.

ἔρχεται οὖν ἀνακλῖναι ἑαυτὸν καὶ ἅμα τῷ δένδρῳ συμπίπτει. Καὶ ἄρχεται βοᾶν κλαίων καὶ κράζων, καὶ ἀκούει ἄλλος ἐλέφας τῆς φωνῆς αὐτοῦ καὶ ἔρχεται βοηθῆσαι αὐτῷ· καὶ οὐ δύναται ἐγεῖραι τὸν πεπτωκότα· εἶτα ἔρχονται ἕτεροι δώδεκα· εἶτα πάντες βοῶσιν· ὕστερον δὲ πάντων ἔρχεται μικρὸς ἐλέφας καὶ ὑποτίθησι τὴν προβοσκίδα αὐτοῦ ὑποκάτω τοῦ ἐλέφαντος καὶ ἐγείρει αὐτόν.

Ἡ δὲ φύσις τοῦ μικροῦ ἐλέφαντος τοιαύτη ἐστίν· ἐὰν θυμιάσῃς αὐτοῦ τρίχας ἢ ὀστέα ἔν τινι τόπῳ, οὐ δαίμων ἐκεῖ εἰσέρχεται οὔτ' ἔτι κακὸν ἐκεῖ εὑρίσκεται.

Εἰς πρόσωπον οὖν τοῦ Ἀδὰμ καὶ τῆς Εὔας λαμβάνεται **144** ὁ ἐλέφας καὶ ἡ γυνὴ αὐτοῦ· ἡνίκα ἦσαν ἐν τῇ τρυφῇ τοῦ Παραδείσου πρὸ τῆς ἑαυτῶν παραβάσεως, οὐκ ᾔδεισαν τότε συνουσίαν, ἀλλ' οὐδὲ νόησιν μίξεως εἶχον· ἀλλ' ὅτε ἡ γυνὴ ἔφαγεν ἀπὸ τοῦ ξύλου, τουτέστιν τῶν νοερῶν μανδραγορῶν, καὶ ἔδωκεν τῷ ἀνδρὶ αὐτῆς[1] τότε ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ, καὶ ἔτεκεν τὸν Κάϊν[2] ἐπὶ τὰ ψεκτὰ ὕδατα, ὥσπερ εἶπεν Δαβίδ· «σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου»[3].

Ἦλθεν οὖν ὁ μέγας ἐλέφας, τουτέστιν ὁ νόμος, καὶ οὐκ ἠδυνήθη αὐτὸν ἐγεῖραι· εἶτα ἦλθον οἱ δώδεκα ἐλέφαντοι, τουτέστιν ὁ χορὸς τῶν προφητῶν, καὶ οὐδὲ αὐτοὶ ἠδυνήθησαν ἐγεῖραι τὸν πεπτωκότα· ὕστερον δὲ πάντων ἦλθεν ὁ ἅγιος νοερὸς ἐλέφας καὶ ἤγειρεν τὸν ἄνθρωπον ἀπὸ τῆς γῆς· ὁ ὢν μειζότερος πάντων ἐγένετο πάντων δοῦλος[4] ἑαυτὸν γὰρ ἐταπείνωσεν, ἵνα πάντας σώσῃ[5].

## Γ'

## Περὶ ἐλέφαντος καὶ τοῖς αὐτοῦ σημείοις.

**139** Ἔστι ζῷον λεγόμενον ἐλέφας μέγα καὶ ὑπερμήκη πάντων τῶν χερσαίων, εἰς τὴν τῶν ἐντυγχανόντων ἔκπληξιν πραχθέν. Τούτῳ ⟨εἰ⟩ μέγας καὶ ἀνάλογος τοῖς ποσὶν ὁ τράχηλος [προσετέθη, δυσμεταχείριστος ἂν ἦν] τῷ ὑπερβάλλοντι βάρει

**1.** Πρβλ. Γεν. 3,6. **2.** Πρβλ. Γεν. 4,1. **3.** Ψαλ. 68,2. **4.** Πρβλ. Μάρκ. 10,44. **5.** Πρβλ. Φιλιπ. 2,7.



καταρρέπων ἀεὶ πρὸς τὸ κάτω. Νῦν δὲ μὲν ἡ κεφαλὴ δι' ὀλίγων τῶν τοῦ αὐχένος σφονδύλων πρὸς τὴν ῥάχιν συνάπτεται· ἔχει δὲ τὴν προνομαίαν, τὴν τοῦ τραχήλου χρεὰν ἀποπληροῦσαν, δι' ἧς καὶ τὴν τροφὴν προσάγεται καὶ τὸ ποτὸν ἀνιμᾶται. Ἀλλὰ καὶ ἀδιάρθρωτοι οἱ πόδες αὐτοῦ, οἱονεὶ κίονες ἡνωμένοι, τὸ βάρος ὑποστηρίζουσιν· εἰ γὰρ χαῦνα αὐτῷ καὶ ὑγρὰ ὑπετέθη τὰ κῶλα, συνεχεῖς ἂν ἐγίνοντο τῶν ἄρθρων αἱ ἐκτροπαὶ καὶ συνοκλάζοντος διανισταμένου κουφίζειν τὸ βάρος μὴ ἐξαρκούντων· νῦν δὲ βραχὺς ἀστράγαλος ὑπόκειται τῷ ποδὶ αὐτοῦ, οὐ μὴν εἰς ἀγκύλην οὔτε εἰς γόνυ διήρθρωται· οὐ γὰρ ἂν ὑπήνεγκε τὸ τῶν ἄρθρων ὀλισθηρὸν τὴν πολυσαρκίαν τοῦ ζῴου πολλὴν αὐτῷ περικεχυμένην καὶ περιτρέμουσαν, **141** ὅθεν χρεία γέγονεν τοῦ μυκτῆρος ἐκείνου μέχρι ποδῶν καθιεμένου.

Εἰ θελήσῃ οὖν τεκνοποιῆσαι, ἀπέρχεται πλησίον τοῦ παραδείσου· καὶ ἔστιν ἐκεῖ δένδρον μανδραγόρα λεγόμενον· ἀπέρχεται δὲ ἐκεῖσε ἥ τε θῆλυ καὶ ὁ ἄρρεν· ἐξ οὗ λαβοῦσα ἡ θήλεια παρέχει τῷ ἀνδρὶ αὐτῆς καὶ προπαίζει αὐτῷ, ἕως οὗ καὶ αὐτὸς μεταλάβῃ, καὶ φαγὼν συγγίνεται αὐτῇ, καὶ ἔγκυος γίνεται. Ὅτε δὲ ὁ καιρὸς ἔλθῃ τοῦ τεκεῖν αὐτήν, ἐπὶ λίμνην ὕδατος, ἕως οὗ εἰσέλθῃ τὸ ὕδωρ ἐπὶ τοὺς μαζοὺς αὐτῆς, καὶ οὕτως ἀποκύει τὸ τέκνον αὐτῆς ἐπὶ τοῦ ὕδατος, καὶ ἔρχεται ἐπὶ τοὺς μηροὺς καὶ θηλάζει τοὺς μαστοὺς αὐτῆς.

Ὁ δὲ ἐλέφας φυλάττει αὐτὴν ὠδίνουσαν διὰ τὸν ὄφιν, ἐπεὶ δὲ ἐχθρός ἐστι τοῦ δράκοντος, καὶ εἰ εὕροι τοῦτον ὁ ἐλέφας, τοῖς ποσὶν αὐτοῦ ἀποκτείνει αὐτόν.

Ἡ οὖν φύσις τοῦ ἐλέφαντος τοιαύτη ἐστίν· ἐὰν πέσῃ, **143** οὐ δύναται ἀναστῆναι· οὐ γὰρ ἔχει ἁρμογὰς ἐπὶ τὰ γόνατα, ὡς προέφημεν· καὶ ἐὰν θελήσῃ ὑπνῶσαι, ἀνακλίνει ἑαυτὸν ἐπὶ δένδρον καὶ κοιμᾶται. Οἱ οὖν θηρευταὶ εἰδότες τούτου τὴν φύσιν ἀπέρχονται καὶ πρίζουσι τὸ δένδρον παρ' ὀλίγον· ἔρχεται οὖν τοῦ ἀνακλῖναι ἑαυτὸν ὁ ἐλέφας καὶ αὖθις συμπίπτει μετὰ δένδρου. Καὶ τότε ἄρχεται βοᾶν ὡσανεὶ κλαίων, ἀκούει δὲ τούτου ἕτερος ἐλέφας καὶ ἥκει βοηθήσων αὐτῷ καὶ οὐ δύναται· βοώντων δὲ αὐτῶν ὁμοῦ, ἔρχονται καὶ ἕτεροι δέκα ἢ καὶ πλέον καὶ οὐδ' αὐτοὶ δύνανται ἀναστῆναι αὐτόν· ὕστερον δὲ πάντων ἔρχεται ὁ μικρότερος αὐτῶν ἐλέφας καὶ ὑποτίθησι τὴν προμυχίδα

αὐτοῦ ὑποκάτω τοῦ ἐλέφαντος καὶ ἀνιστᾷ αὐτόν.

Τοῦ δὲ μικροῦ ἐλέφαντος τοιαύτη ἐστὶ φύσις· ἐὰν θυμιάσῃς αὐτοῦ τρίχας ἢ ὀστοῦν αὐτοῦ ἔν τινι τόπῳ, οὔτε δαίμων εἰσέρχεται ἐκεῖσε οὔτε δρά⟨κων⟩ οὔτ' ἄλλο τι πονηρόν.

Εἰς πρόσωπον οὖν τοῦ **145** Ἀδὰμ καὶ τῆς Εὔας λαμβάνονται οἱ ἐλέφαντες· πρὸ γὰρ τῆς παραβάσεως οἱ πρωτόπλαστοι συνουσίαν οὐκ ᾔδεισαν οὐδὲ νόησιν μίξεως εἶχον, τουτέστι τῆς νοερᾶς μανδραγόρας, καὶ ἔδωκεν τῷ ἀνὴρ αὐτῆς[1]· τότε ἔγνω τὴν γυναῖκα, καὶ συλλαβοῦσα ἔτεκεν τὸν Κάϊν[2] ἐπὶ τὰ ψεκτὰ ὕδατα, ὡς εἶπεν ὁ Δαβίδ· «σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου»[3].

Ἦλθε γὰρ ὁ μέγας ἐλέφας, τουτέστιν νόμος, καὶ πεπτωκότα τὸν Ἀδὰμ καὶ τὴν Εὔαν οὐκ ἠδυνήθη ἐγεῖραι· εἶτα οἱ δώδεκα, τουτέστιν ὁ χορὸς τῶν προφητῶν, καὶ οὐδὲ αὐτοὶ ἴσχυσαν ἐγεῖραι αὐτούς· ὕστερον δὲ πάντων ἦλθε ὁ ἅγιος καὶ νοερὸς ἐλέφας, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ ἤγειρε τὸν πεπτωκότα ἀπὸ τῆς γῆς. Ὁ οὖν μειζότερος πάντων ἐγένετο πάντων δοῦλος[4] καὶ ἐταπείνωσεν αὐτόν, μορφὴν δούλου λαβών[5], γενόμενος ὅμοιος αὐτῶν.

## Α'

### 44. Περὶ Ἀχάτου καὶ μαργαρίτου.

**133** Ὅταν οἱ τεχνῖται ζητῶσι τὸν μαργαρίτην, δι' ἀχάτου αὐτὸν εὑρίσκουσι. Δεσμεύουσι γὰρ τὸν ἀχάτην σπαρτίῳ στερεῷ, καὶ χαλῶσιν αὐτὸν εἰς τὴν θάλασσαν· ἔρχεται οὖν ὁ ἀχάτης ἐπὶ τὸν μαργαρίτην, καὶ στήκει ἐκεῖ, καὶ οὐ σαλεύεται, καὶ εὐθέως νοοῦσιν οἱ δύται τὸν τόπον τοῦ ἀχάτου, καὶ ἀκολουθοῦντες τῷ σπαρτίῳ, εὑρίσκουσι τὸν μαργαρίτην.

Ὁ ἀχάτης οὖν ἐπὶ τὸν Ἰωάννην νοεῖται· αὐτὸς γὰρ ἔδειξεν ἡμῖν τὸν νοερὸν μαργαρίτην, λέγων· «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[6]. Λαμβάνεται οὖν ἡ θάλασσα ἐπὶ τὸν κόσμον, καὶ οἱ δύται ἐπὶ τὸν χορὸν τῶν προφητῶν· αἱ

---

**1.** Πρβλ. Γεν. 3,6. **2.** Πρβλ. Γεν. 4,1. **3.** Ψαλ. 68,2. **4.** Πρβλ. Μάρκ. 10,44. **5.** Πρβλ. Φιλιπ. 2,7. **6.** Ἰω. 1,29.



δὲ δύο τοῦ κόγχου πτέρυγες ἐπὶ τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην.

Ὁμοίως καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ ἄστρα καὶ ἡ δρόσος ἐπὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, τοῦ ἐπιφοιτοῦντος ἐν ταῖς Διαθήκαις, ὁ μαργαρίτης.

**134** Πῶς δὲ καὶ γεννᾶται ὁ μαργαρίτης; ἄκουσον· ἔστι κόγχος ἐν τῇ θαλάσσῃ, λεγόμενος ὄστρεος, ἀνέρχεται δὲ ἀπὸ τῆς θαλάσσης ἐν ταῖς ἑωθιναῖς ὥραις ὄρθρου, καὶ ἀνοίγων ὁ κόγχος τὸ στόμα αὐτοῦ, καὶ καταπίνων τὴν οὐράνιον δρόσον καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἄστρων, ποιεῖ τὸν μαργαρίτην ἐκ τῶν ἄνω φωστήρων. Ὁ δὲ κόγχος ἔχει πτέρυγας δύο, ὅπου εὑρίσκεται ὁ μαργαρίτης.

**135** Ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· [οὗτος γάρ ἐστιν ὁ τίμιος μαργαρίτης], ὃν λαβὼν ἄνθρωπος καὶ πωλήσας πάντα τὰ ὑπάρχοντα αὐτοῦ [καὶ διδοὺς πτωχοῖς], κτᾶται τὸν τίμιον μαργαρίτην[1].

### 44ᵇ. Περὶ μαργαρ⟨ιτ⟩ῶν.

Ἐν δὲ τῇ Ἰνδίᾳ ἦν ἡ παροῦσα πῖνα φυτευτὴ ἐν τῷ βυθῷ τῆς θαλάσσης ὑστερουμέν⟨ῳ⟩ γλυκαίων ὑδάτων· τὸ⟨ν⟩ Δαιμάϊον μῆνα ὑδατοφορᾷ ἐν Ἰνδίᾳ, καὶ δεομένη ἡ πῖνα γλυκαίου ὕδατος, ἐξέρχεται ἄνω τῆς θαλάσσης, καὶ βροντᾷ καὶ ⟨ἀ⟩στράπτει καὶ βρέχει, καὶ ἡ πῖνα δέχεται τὴν βοὴν τῆς βροντῆς καὶ τὸ πῦρ ⟨τὸ⟩ φλογ⟨ίζον⟩ τῆς ἀστραπῆς καὶ τὴν στάξιν τοῦ ὕδατος, εὐθὺς δὲ πάλιν πορεύεται εἰς τὰ ἴδια. Ἀγρευθ⟨εῖσα⟩ δ' ὑπ' ἀνθρώπων ἡ πῖνα, [καὶ] ἐξελῶσι τὸν μαργαρίτην, καὶ δοθ⟨εὶς⟩ τῷ χρυσοχόῳ, καὶ τρυπήσας αὐτ⟨όν⟩, ποία φύσις πάσχει, βροντ⟨ῆς⟩, ἀστραπῆς ἢ τοῦ ὀστράκου;

**136** Τοῦτο γάρ ἐστιν ἐπὶ τῆς θεότητος τῆς ἐνσάρκου οἰκονομίας. Διὰ μὲν τῆς βροντῆς ἦν ἡ τοῦ ἀγγέλου φωνή, διὰ δὲ τῆς ἀστραπῆς ἦν ἡ θεότης, διὰ δὲ τοῦ ὕδατος ἦν ὁ Λόγος, διὰ δὲ τοῦ ὀστρακοδέρματος ἦν ἡ Θεοτόκος, ἤγουν ἡ κογχυλ⟨ίου⟩ πορφύρα, ἡ βάψασα ἐξ αἱμάτων αὐτ⟨ῆς⟩ τῷ βασιλ⟨εῖ⟩ τῶν δυνάμεων. Τρυπηθεῖσα δὲ πάσχει τοῦ ὀστρακοδέρματος ἡ φύσις, ἤγουν ἡ σάρξ

---

**1.** Πρβλ. Ματθ. 13,46.

τῆς ἀνθρωπότητος· ἡ γὰρ θεότης ἀπαθὴς διέμ⟨ει⟩ν⟨εν⟩, ὡς φησὶν Ἰωάννης ὁ Δαμασκηνὸς 'ἡ μαργαρίτ⟨η⟩ τῆς θείας ἐξ ἀστραπῆς τὸν Χριστὸν κυήσασα', καὶ τὰ ἑξῆς. Αἰσχυνέσθωσαν Ἀρμένιοι καὶ οἱ Θεοπασχῖται οἱ λέγοντες· ὁ σταυρωθεὶς Θεός.

Καὶ ταῦτα μὲν τὰ τῶν ὀστρακοδερμάτων τῆς θαλάσσης.

### 44ᶜ. Περὶ τῶν μαργαριτῶν.

**137** Ἐν αὐτῇ τῇ Ἐρυθρᾷ θαλάσσῃ γίνεται τὸ μαργαριτάριον εἰς πλῆθος· γίνεται δὲ οὕτως· ἐν ἐκείνῃ τῇ θαλάσσῃ εἰσὶν ὀστρακοδέρματα καλούμενα πῖναι· αὗται γοῦν αἱ πῖναι ἵστανται πρὸς τὸν αἰγιαλόν, μία ἑκάστη αὐτῶν ἔχουσα τὸ στόμα ἀνεῳγμένον τοῦ εἰσελθεῖν τι πρὸς βρῶσιν αὐτῆς. Ἱσταμένης δὲ αὐτῆς καὶ χ⟨α⟩ινομένης τῷ στόματι, ὡς δὲ συχνάκις τῶν ἀστραπῶν γινομένων, χωρεῖται ἡ ἀστραπτικὴ δύναμις πρὸς τὰ ἐντὸς τῆς πίνης, καὶ δειλιοῦσα ἡ πῖνα ἀσφαλίζει· ἀσφαλισθείσης δὲ τῆς πίνης, ἐχούσης δὲ ἐντὸς τὴν ἀστραπήν, εἰλίσσεται ἡ ἀστραπὴ μετὰ τῶν βολβίων τῶν ὀφθαλμῶν τῆς πίνης, ⟨καὶ⟩ εἰλισσομένη τοὺς δύο ὀφθαλμοὺς μαργαρίτας ἐργάζεται. Καὶ οὕτω κρ⟨ά⟩ζουσα ἡ πῖνα διαχεομένη, οἱ μαργαρῖται λάμπουσι πρὸς τὴν Ἐρυθρὰν θάλασσαν, καὶ θεωροῦντες οἱ ἄνθρωποι εἰσέρχονται καὶ λαμβάνουσιν αὐτούς, καὶ οὕτω γίνονται οἱ μαργαρῖται.

Ὥσπερ δὲ ἐκεῖ οὕτως οἱ μαργαρῖται ἐργάζονται, τὸν αὐτὸν τρόπον καὶ ἡ ὑπέραγνος Μαρία, κεκαθαρμένη οὖσα ἀπὸ παντὸς ῥύπου. Ἐλθοῦσα ⟨γὰρ⟩ ἡ θεία ἀστραπὴ ἐκ τοῦ οὐρανοῦ, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, χωρηθῆναι ἐν τῇ πανάγνῳ πίνῃ τῇ Θεοτόκῳ Μαρίᾳ, ἀτίμητος μαργαρίτης ἐξ αὐτῆς γέγονεν, περὶ οὗ γέγραπται· τὸν μαργαρίτην τῆς θείας ἐξ ἀστραπῆς τὸν Χριστὸν κυήσασα, καὶ φρόνιμός ἐστιν ὁ ἔμπορος ὃς ἂν ἐπιδώσῃ ὅσα ἔχει, καὶ ἀγοράσῃ τὸν ἀληθῆ μαργαρίτην[1], αὐτὸν τὸν Χριστόν.

## Β΄

### 44. Περὶ ἀχάτου καὶ μαργαρίτου.

**146** Ὅταν οἱ τεχνῖται ζητῶσιν τὸν μαργαρίτην, διὰ τοῦ

1. Πρβλ. Ματθ. 13,46.



ἀχάτου αὐτὸν εὑρίσκουσιν· δεσμεύουσιν γὰρ τὸν ἀχάτην σπαρτίῳ στερρῷ καὶ χαλῶσιν αὐτὸν εἰς τὴν θάλασσαν· ἔρχεται οὖν ὁ ἀχάτης ἐπὶ τὸν μαργαρίτην καὶ στήκει ἐκεῖ καὶ οὐ σαλεύεται· εὐθέως νοοῦσιν οἱ δύται [κατὰ] τὸν τόπον τοῦ ἀχάτου καὶ ἀκολουθοῦντες τῷ σπαρτίῳ εὑρίσκουσιν τὸν μαργαρίτην.

Ἔστιν κόγχος ἐν τῇ θαλάσσῃ λεγόμενος ὄστρεον· καὶ ἀνέρχεται ἐκ τῆς θαλάσσης ἑωθιναῖς ὄρθρου· καὶ ἀνοίγει ὁ κόγχος τὸ στόμα αὐτοῦ· καταπίνει τὴν οὐράνιον δρόσον καὶ εἰσδέχεται τὴν ἀκτῖνα τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων, καὶ ποιεῖ τὸν μαργαρίτην ⟨ἐκ τῶν ἄνω φωστήρων· ὁ δὲ κόγχος ἔχει πτέρυγας δύο, ὅπου εὑρίσκεται ὁ μαργαρίτης⟩.

**148** Ὁ ἀχάτης οὖν ἐπὶ τὸν Ἰωάννην νοεῖται· αὐτὸς γὰρ ἔδειξεν ἡμῖν τὸν νοερὸν μαργαρίτην λέγων· «Ἰδὲ ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[1]. Λαμβάνεται οὖν ἡ θάλασσα ἐπὶ τὸν κόσμον, καὶ οἱ δύται ἐπὶ τὸν χορὸν τῶν προφητῶν· αἱ δὲ δύο τοῦ κόγχου πτέρυγες ἐπὶ τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην. Ὁμοίως ὁ ἥλιος καὶ σελήνη καὶ οἱ ἀστέρες ἐπὶ τοὺς Ἀποστόλους καὶ μάρτυρας καὶ δικαίους· καὶ ἡ δρόσος ἐπὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, τοῦ ἐπιφοιτοῦντος ἐν ταῖς Διαθήκαις· ὁ μαργαρίτης ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.-

Οὗτός ἐστιν ὁ τίμιος μαργαρίτης· ὃν λαβὼν ἄνθρωπος ἐπώλησεν ἑαυτοῦ πάντα τὰ ὑπάρχοντα καὶ ἔδωκε πτωχοῖς[2], ὠνήσατο καὶ ἐκτήσατο τὸν τίμιον μαργαρίτην[3].

## Γ΄

### Περὶ ἀχάτου καὶ μαργαρίτου.

**147** Ὅταν οἱ τεχνῖται ζητῶσι τὸν μαργαρίτην, διὰ τοῦ ἀχάτου αὐτὸν εὑρίσκουσιν· δεσμεύουσι γὰρ τὸν ἀχάτην σπαρτίῳ στερρῷ καὶ χαλῶσιν αὐτὸν εἰς τὴν θάλασσαν· ἔρχεται οὖν ὁ ἀχάτης ἐπὶ τὸν μαργαρίτην καὶ στήκει ἐκεῖ καὶ οὐ σαλεύεται· καὶ εὐθέως ⟨νοοῦσιν⟩ οἱ δύται τὸν τόπον τοῦ ἀχάτου καὶ ἀκολουθοῦντες τῷ σπαρτίῳ εὑρίσκουσι τὸν μαργαρίτην.

Πῶς δὲ καὶ γεννᾶται ὁ μαργαρίτης; κόγχος ἐν τῇ θαλάσσῃ

1. Ἰω. 1,29. 2. Πρβλ. Ματθ. 19,21. 3. Πρβλ. Ματθ. 13,46.

καλούμενος ὄστρεον· ἀνέρχεται δὲ ἐκ τῆς θαλάσσης ἐν ταῖς ἑωθιναῖς ὥραις ὄρθρου καὶ ἀνοίγει ὁ κόγχος τὸ στόμα αὐτοῦ· καταπίνων τὴν οὐράνιον δρόσον καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων, ποιεῖ τὸν μαργαρίτην ἐκ τῶν ἄνω φωστήρων· ὁ οὖν κόγχος ἔχει πτέρυγας δύο, ὅπου εὑρίσκεται ὁ μαργαρίτης.

**149** Ὁ ἀχάτης οὖν ἐπὶ τὸν Ἰωάννην νοεῖται. Αὐτὸς γὰρ ἔδειξεν ἡμῖν τὸν νοερὸν μαργαρίτην λέγων· «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[1]. Λαμβάνεται οὖν ἡ θάλασσα ἐπὶ τὸν κόσμον καὶ οἱ δύται ἐπὶ τὸν χορὸν τῶν προφητῶν· αἱ δὲ δύο τοῦ κόγχου πτέρυγες ἐπὶ τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην. Ὁμοίως ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ ἄστρα καὶ ἡ δρόσος ἐπὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, τοῦ ἐπιφοιτοῦντος ἐπὶ ταῖς Διαθήκαις· ὁ μαργαρίτης ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν λαβὼν ἄνθρωπος καὶ διδοὺς πτωχοῖς πωλήσας τὰ ὑπάρχοντα αὐτοῦ κτᾶται τὸν τίμιον μαργαρίτην.

## Α′

### 45. Περὶ ὀνάγρου καὶ πιθήκου.

**139** Ἔστιν ἄλλη φύσις τοῦ ὀνάγρου. Εἶπεν ὁ Φυσιολόγος ὅτι ἐν τοῖς βασιλείοις εὑρίσκεται, καὶ ἐν τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ Φαμενὼθ μηνὸς γινώσκουσιν ἀπὸ τοῦ ὀνάγρου ὅτι ἰσημερία γίνεται· ἐὰν οὖν βοήσῃ δωδεκάκις, γινώσκει ὁ βασιλεὺς καὶ τὸ παλάτιον ὅτι ἰσημερία γίνεται. Ὁμοίως δὲ καὶ ὁ πίθηκος, ἐὰν ἑπτάκις οὐρήσῃ τῆς νυκτός, [γινώσκουσιν ὅτι] ἰσημερία γίνεται.

Ὁ οὖν ὄναγρός ἐστιν ὁ διάβολος, ἐπειδὴ ἡ νὺξ [ἐστι], τουτέστιν ὁ λαὸς τῶν ἐθνῶν, ἴση γέγονε τῆς ἡμέρας, τουτέστι τῶν πιστευσάντων προφητῶν. [Ἐβόησεν οὖν ὁ ὄναγρος, τουτέστιν ὁ διάβολος]. Καὶ ὁ πίθηκος δὲ τοῦ αὐτοῦ διαβόλου πρόσωπον λαμβάνει· ἔχει γὰρ ἀρχήν, τέλος δὲ οὐκ ἔχει, τουτέστιν οὐράν, [ὡς οὐδὲ ὁ πίθηκος μὴ ἔχων τέλος καλόν, τουτέστιν οὐράν], ὡς καὶ ὁ διάβολος, [μὴ ἔχων τέλος καλόν], ἐν τῇ ἀρχῇ εἷς ἦν τῶν ἀρχαγγέλων, τὸ δὲ τέλος αὐτοῦ οὐχ εὑρέθη[2] [καλόν, ὡς οὐδὲ ὁ

**1.** Ἰω. 1,29. **2.** Πρβλ. Ψαλ. 9,36.



πίθηκος μὴ ἔχων οὐράν ἐστι καλός· ἄμορφον γάρ ἐστι τῷ πιθήκῳ τὸ μὴ ἔχειν οὐράν].

Καλῶς ὁ Φυσιολόγος ἔλεξε περὶ ὀνάγρου καὶ πιθήκου.

## Β′

### 45. Περὶ ὀνάγρου καὶ πίθηκος.

**150** Ἔστιν ἄλλη φύσις ὀνάγρου· ὁ Φυσιολόγος ἔλεξεν, ὅτι ἐν τοῖς βασιλείοις εὑρίσκεται· καὶ ἐν τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ Φαμενὼθ μηνὸς γινώσκουσι ἀπὸ ὀνάγρου, ὅτι ἰσημερία γίνεται· ⟨ἐὰν οὖν βοήσῃ δωδεκάκις, γινώσκει ὁ βασιλεὺς καὶ τὸ παλάτιον, ὅτι ἰσημερία γίνεται⟩. Καὶ ὁ πίθηξ δὲ ἐὰν ἑπτάκις οὐρήσῃ τῆς νυκτός, ἰσημερία γίνεται.

Ὁ ὄναγρος ἐστιν ὁ διάβολος, ἐπειδὴ νύξ ἐστιν ὁ λαὸς ⟨τῶν ἐθνῶν· ἴση γέγονε τῆς ἡμέρας, τουτέστι⟩ τῶν πιστευόντων προφητῶν· ἐβόησεν οὖν ὁ ὄναγρος, τουτέστιν ὁ διάβολος· καὶ αὐτὸς δὲ ὁ πίθηξ τοῦ διαβόλου πρόσωπον λαμβάνει, ἔχων μὲν ἀρχήν, τέλος δὲ μὴ ἔχων, ⟨τουτέστιν οὐράν· καὶ ὁ διάβολος ἐν τῇ ἀρχῇ εἷς ἦν τῶν ἀρχαγγέλων, τὸ δὲ τέλος αὐτοῦ οὐχ εὑρέθη⟩[1], τουτέστιν ἀρχὴν μὲν κτίσεως ἔχει, τέλος δὲ ἀγαθὸν οὐκ ἔχει.

## Γ′

### [Π]ερὶ ὀνάγρου καὶ πιθήκου.

**151** [Ἔ]στιν ἄλλη φύσις τοῦ ὀνάγρου, περὶ οὗ εἶπεν ὁ Φυσιολόγος, ὅτι ἐν τοῖς βασιλείοις εὑρίσκεται. Ἐν τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ Φαμενὼθ μηνὸς γινώσκουσι ἀπὸ τοῦ ὀνάγρου, ὅτι ἰσημερία γίνεται· ἐὰν οὖν βοήσῃ δωδεκάκις, γινώσκει ὁ βασιλεὺς καὶ τὸ παλάτιον, ὅτι ἰσημερία γίνεται. Καὶ ὁ πίθηκος δὲ ἐὰν ἑπτάκις οὐρήσῃ τῆς νυκτός, ἰσημερία γίνεται. Ὁ οὖν ὄναγρός ἐστιν ὁ διάβολος, ἐπειδὴ ἡ νύξ ἐστιν, τουτέστιν ὁ λαὸς τῶν ἐθνῶν· ἴση γέγονε τῆς ἡμέρας, τουτέστι τῶν πιστευόντων προφητῶν· καὶ ὁ πίθηκος δὲ τοῦ αὐτοῦ διαβόλου πρόσωπον

**1.** Πρβλ. Ψαλ. 9,36.

λαμβάνει· ἀρχὴν γὰρ ἔχει, τέλος δὲ οὐκ ἔχει[1], τουτέστιν οὐρὰν δέ, ὡς οὐδὲ ὁ πίθηκος μὴ ἔχων τέλος καλόν, τουτέστιν οὐράν, ὡς καὶ ὁ διάβολος μὴ ἔχων τέλος καλόν.

Α′

## 46. Περὶ λίθου ἰνδικοῦ.

**140** Ἔστιν λίθος ἰνδικός, [ὀνόματι βατράχιος], τοιαύτην φύσιν ἔχων· ἐὰν ἄνθρωπος ὑδρωπικὸς τυγχάνῃ, οἱ τεχνῖται ἰατροὶ ζητοῦσι τὸν λίθον ἐκεῖνον, καὶ δεσμεύουσιν αὐτὸν τῷ ὑδρωπικῷ ὥρας τρεῖς, καὶ ὅλα τὰ ὕδατα **141** συμπίνει τοῦ ὑδρωπικοῦ ὁ λίθος. Εἶτα λύουσι τὸν λίθον, καὶ σταθμίζουσιν αὐτὸν μετὰ τοῦ ἀνθρώπου εἰς τὸν σταθμόν, καὶ ὁ μικρὸς λίθος ἕλκει τὸ σῶμα τοῦ ἀνθρώπου εἰς τὸν σταθμόν. Ἐὰν δὲ ἀφεθῇ ὁ λίθος εἰς τὸν ἥλιον ὥρας τρεῖς, πάντα τὰ σαπρὰ ὕδατα ἅπερ ἦρεν ἐκ τοῦ σώματος τοῦ ἀνθρώπου ἐκχέει ἔξω, καὶ γίνεται ὁ λίθος καθαρὸς πάλιν ὥσπερ ἦν.

Ὁ λίθος ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός[2], ἡ τελεία ἀγάπη ἔξω βάλλουσα τὸν φόβον[3]. Ἐπειδὴ ὑδρωπικοὶ ἦμεν, ἔχοντες τὰ ὕδατα τοῦ διαβόλου ἐν τῇ καρδίᾳ, κατελθὼν ὁ Κύριος καὶ δεθεὶς διὰ τοῦ Σταυροῦ **142** εἰς τὰς καρδίας ἡμῶν, τοὺς κλύδωνας ἡμῶν ἰάσατο. Αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν ἦρε [καὶ ἀνέβαλε], καὶ τὰς νόσους ἐβάστασε[4].

Καλῶς οὖν ὁ Φυσιολόγος ἔλεξε περὶ τοῦ ἰνδικοῦ λίθου.

Β′

## 46. Περὶ λίθου Ἰνδικοῦ.

**152** Ἔστιν λίθος Ἰνδικὸς τοιαύτην φύσιν ἔχων· ἐὰν ἄνθρωπος ὑδρωπικὸς τυγχάνῃ, οἱ τεχνῖται ἰατροὶ ζητοῦσι τὸν λίθον ἐκεῖνον· καὶ δεσμεύουσιν αὐτὸν τῷ ὑδρωπικῷ ὥρας τρεῖς· καὶ ὅλα τὰ ὕδατα τοῦ ὑδρωπικοῦ συμπίνει ὁ λίθος. Εἶτα λύου-

**1.** Πρβλ. Ψαλ. 9,36. **2.** Πρβλ. Ματθ. 21,42. Α′ Πέτρ. 2,4 ἑξ. Ψαλ. 117,22. Ἡσ. 28,16. **3.** Πρβλ. Α′ Ἰω. 4,18. **4.** Πρβλ. Ἡσ. 53,4. Ματθ. 8,17.



σιν τὸν λίθον καὶ σταθμίζουσιν αὐτὸν μετὰ τοῦ ἀνθρώπου εἰς τὸ στάθμιον· καὶ ὁ μικρὸς λίθος ἕλκει τὸ σῶμα τοῦ ἀνθρώπου εἰς τὸ στάθμιον· ἐὰν δὲ ἀφεθῇ ὁ λίθος εἰς τὸν ἥλιον ἡμέρας τρεῖς, πάντα τὰ σαπρὰ ὕδατα, ἅπερ ἑλκύσατο ἐκ τοῦ σώματος τοῦ ἀνθρώπου, ἐκχέει ἔξω· καὶ γίνεται ὁ λίθος καθαρὸς ὥσπερ ἦν.

Ὁ λίθος ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός[1], ἡ τελεία ἀγάπη ἡ τὸν φόβον ἔξω βάλλουσα[2]· ἐπειδὴ ὑδρωπικοὶ ὄντες καὶ τὰ ὕδατα τοῦ διαβόλου ἐν τῇ σαρκὶ ἔχοντες, κατελθὼν οὗτος ὁ λίθος ἐκ τῶν οὐρανῶν καὶ ἄνθρωπος γενόμενος καὶ δεσμευθεὶς διὰ τοῦ Σταυροῦ εἰς τὰς καρδίας ἡμῶν, αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἦρεν καὶ τὰς νόσους ἐβάστασεν[3].

Γ′

## Περὶ λίθου Ἰνδικοῦ.

**153** Ἔστιν λίθος Ἰνδικὸς τοιαύτην φύσιν ἔχων· ἐὰν ἄνθρωπος ὑδρωπικὸς τυγχάνῃ, οἱ ἰατροὶ ζητοῦσι τὸν λίθον ἐκεῖνον· καὶ δεσμοῦσιν αὐτὸν τῷ ὑδρωπικῷ ὥρας τρεῖς· καὶ πάντα τὰ ὕδατα συμπίνει τοῦ ὑδρωπικοῦ ὁ λίθος. Εἶτα λύουσι τὸν λίθον καὶ σταθμίζουσι αὐτὸν μετὰ τοῦ ἀνθρώπου εἰς τὸν(ν) στάθμιον· ἐὰν δὲ ἀφεθῇ ὁ λίθος εἰς τὸν ἥλιον ὥρας τρεῖς, πάντα τὰ σαπρὰ ὕδατα, ἅπερ ἦρεν ἐκ τοῦ σώματος τοῦ ἀνθρώπου, ἐκχέει ἔξω· καὶ γίνεται ὁ λίθος καθαρὸς ὥσπερ ἦν.

Ὁ λίθος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν[4], ἡ τελεία ἀγάπη ἡ ἔξω βάλλουσα τὸν φόβον[5]. Ἐπειδὴ ὑδρωπικοὶ ὦμεν ἔχοντες τὰ ὕδατα τοῦ διαβόλου ἐν ταῖς καρδίαις, κατελθὼν οὖν καὶ δεθεὶς διὰ τοῦ σταυροῦ εἰς τὰς καρδίας ἡμῶν τοὺς κλύδωνας ἡμῶν ἰάσατο· αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν ἦρεν καὶ τὰς νόσους ἐβάστασεν[6].

**1.** Πρβλ. Ματθ. 21,42. Α′ Πετρ. 2,4. ἑξ. Ψαλ. 117,22. Ἡσ. 28,16. **2.** Πρβλ. Α′ Ἰω. 4,18. **3.** Πρβλ. Ἡσ. 53,4. Ματθ. 8,17. **4.** Πρβλ. Ματθ. 21,42. Α′ Πετρ. 2,4. ἑξ. Ψαλ. 117,22. Ἡσ. 28,16. **5.** Πρβλ. Α′ Ἰω. 4,18. **6.** Πρβλ. Ἡσ. 53,4. Ματθ. 8,17.

## Α'

### 47. Περὶ ἐρωδιοῦ πετεινοῦ.

**142** Εἶπεν ὁ Ψαλμῳδός· «τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν»[1]. Ὁ δὲ Φυσιολόγος ἔφη· ἔστι τοῦτο τὸ πετεινὸν πάνυ φρόνιμον ὑπὲρ πολλὰ πετεινά. Μίαν δὲ σκήνωσιν ἔχει καὶ μίαν μάνδραν, οὐ πολλὰς κοίτας ζητεῖ, ἀλλ' ὅπου ἐὰν κατασκηνώσῃ, ἐκεῖ καὶ τρέφεται καὶ κοιμᾶται, ἀλλ' οὔτε νεκρὸν σῶμα τρώγει, οὐδὲ εἰς πολλοὺς τόπους ἀνίπταται· ἡ κοίτη αὐτοῦ καὶ ἡ τροφὴ εἰς ἕνα τόπον ἐστίν.

Καὶ σὺ οὖν, ἄνθρωπε πολιτευόμενε, μὴ ζήτει πολλοὺς τόπους τῶν αἱρετικῶν· μία σοι ἔστω κοίτη, ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία, καὶ μία τροφή, ὁ ἄρτος ὁ ἀπὸ οὐρανοῦ καταβάς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, μηδὲ ἅπτου διδαγμάτων νεκρῶν, ἵνα ὁ ἐπουράνιος ἄρτος εὐόπτός σοι γένηται, καὶ μὴ ζήτει πολλοὺς τόπους τῶν ἑτεροδόξων.

Καλῶς οὖν εἶπεν ὁ Φυσιολόγος περὶ τοῦ ἐρωδιοῦ πετεινοῦ.

## Β'

### 47. Περὶ ἐρωδιοῦ πετεινοῦ.

**154** Ἔστιν τοῦτο τὸ πετεινὸν πάνυ φρόνιμον ὑπὲρ πετεινά, μία σκήνωσιν καὶ μίαν μάνδραν ἔχον· οὐ πολλὰς κοίτας ζητεῖ, ἀλλ' ὅπου ἂν κατασκηνώσῃ, ἐκεῖ καὶ τρέφεται καὶ κοιμᾶται· ἀλλ' οὔτε νεκρὸν σῶμα τρώγει οὔτε εἰς πολλοὺς τόπους ἀνίπταται· ἡ κοίτη αὐτοῦ καὶ ἡ τροφὴ αὐτοῦ εἰς ἕνα τόπον ἐστίν.

Καὶ σύ, ὦ ἄνθρωπε πολιτευόμενε, μὴ ζήτει πόλεις τῶν αἱρετικῶν· μία σοι ἔστω κοίτη ἡ ἁγία Ἐκκλησία καὶ εἷς ἄρτος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός[2]· μηδὲ ἅπτου διδαγμάτων νεκρῶν· καὶ μὴ ζήτει πολλοὺς τόπους τῶν αἱρετικῶν, ἵνα ὁ ἐπουράνιος ἄρτος εὐαπτός σοι γένηται.

---

1. Ψαλ. 103,17. 2. Πρβλ. Ἰω. 6,35.



## Γ'

### Περὶ ἐρωδιοῦ.

**155** Εἶπεν ὁ ψαλμῳδός· «τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν»[1]. Ὁ δὲ Φυσιολόγος ἔφη· ἔστι τοῦτο τὸ πετεινὸν πάνυ φρόνιμον ὑπὲρ πολλὰ πετεινά, μίαν σκήνωσιν ἔχον καὶ μίαν μάνδραν· καὶ πολλὰς κοίτας οὐ ζητεῖ, ἀλλ' ὅπου ἐὰν κατασκηνώσῃ, ἐκεῖ τρέφεται καὶ κοιμᾶται· ἀλλ' οὔτε νεκρὸν σῶμα ἐσθίει οὐδ' εἰς πολλοὺς τόπους ἀνίπταται· εἰς γὰρ ἕνα τόπον ὅλως κοιμᾶται καὶ τρέφεται.

Οὕτω καὶ σύ, ὦ ἄνθρωπε, μὴ ζήτει πολλοὺς τόπους τῶν αἱρετικῶν, ἀλλὰ μία σοι κοίτη ἔστω ἡ ἁγία Ἐκκλησία καὶ μία τροφὴ ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος[2]· μὴ ἅπτου οὖν ἐδεσμάτων νεκρῶν ἵνα ὁ ἐπουράνιος ἄρτος εὐαπτός σοι γένηται.

## Α'

### 48. Περὶ συκαμίνου.

**143** Ὁ μακάριος Ἀμὼς λέγει· «οὐκ ἤμην προφήτης οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος ἤμην κνίζων συκάμινα»[3]. Ὁ αἰπόλος τράγους ποιμαίνει· καλῶς οὖν ὁ Ἀμὼς πρόσωπον Χριστοῦ λαμβάνει. Τὸ δὲ λέγειν ὅτι «κνίζων συκάμινα» νοερὸν ῥῆμα, καὶ ὁ Ζακχαῖος ἀνέβη ἐπὶ συκομορέαν[4].

**144** Οἶδας ὅτι πρὸ τοῦ κνισθῆναι τὸ συκάμινον, εἰσὶ σκνῖπες, οἱ λεγόμενοι κώνωπες ἔνδον αὐτοῦ, ἐν σκότει κατοικοῦντες, φῶς οὐ βλέποντες. Ἐν ἑαυτοῖς δὲ λέγουσιν· 'ὡς μεγάλην χώραν κατοικοῦμεν', ἐν σκότει δέ εἰσι καθήμενοι. Ἐπὰν οὖν κνισθῇ τὸ συκάμινον καὶ ἐκβῶσι, βλέπουσι τὴν λαμπρότητα τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἄστρων καὶ λέγουσιν ἐν ἑαυτοῖς· 'ἐν σκότει ἦμεν καθήμενοι [καὶ σκιᾷ θανάτου][5] πρὸ τοῦ **145** κνισθῆναι τὸ συκάμινον'. Κνίζεται μὲν οὖν τῇ πρώτῃ ἡμέρᾳ, τῇ δὲ τρίτῃ παριστάνεται, καὶ τροφὴ γίνεται πάντων.

Κέκνισται οὖν ἡ πλευρὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

---

1. Ψαλ. 103,17. 2. Πρβλ. Ἰω. 6,35. 3. Ἀμὼς 7,14. 4. Πρβλ. Λουκ. 19,4. 5. Πρβλ. Ματθ. 4,16. Λουκ. 1,79. Ἡσ. 9,1.

ἐν τῇ λόγχῃ, καὶ ἐξῆλθεν αἷμα καὶ ὕδωρ[1], καὶ τῇ τρίτῃ ἡμέρᾳ, ἀναστάντος αὐτοῦ ἐκ νεκρῶν, εἴδομεν τοὺς νοεροὺς φωστῆρας, ὡς καὶ οἱ σκνῖπες, κνισθέντος τοῦ συκαμίνου, εἶδον τοὺς φωστῆρας τοὺς ἀθανάτους· [οἱ οὖν ἔριφοι πρόσωπον λαμβάνουσι τῆς μετανοίας, διὰ τὸ ἐκ τῶν τριχῶν αὐτῶν πενθήρη χιτῶνα ὑφαίνεσθαι· «ἐν σάκκῳ καὶ σποδῷ», φησί, «μετενόησαν»[2]]. «Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλε»[3]. Κνιζομένου τοῦ συκαμίνου, τῇ τρίτῃ ἡμέρᾳ τροφὴ γίνεται· οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, κνισθεὶς τὴν πλευράν[4], τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη ἐκ νεκρῶν[5], καὶ ζωὴ καὶ τροφὴ πᾶσιν ἡμῖν ἐγένετο.

Β′

**156** — Περὶ συκαμίνου —

Γ′

48. Περὶ συκαμίνου.

**157** Ὁ προφήτης Ἀμὼς λέγει· «οὐκ ἤμην ⟨προφήτης οὐδὲ υἱὸς προφήτου⟩, ἀλλὰ αἰπόλος κνίζων συκάμινα»[6]. Ὁ αἰπόλος τράγους ποιμαίνει. Καλῶς ὁ Ἀμὼς τύπον Χριστοῦ λαμβάνει· τὸ δὲ «κνίζων συκάμινα» νοερόν ἐστι τὸ ῥῆμα, καὶ εἰ ὁ Ζακχαῖος ἀνέβη ἐπὶ τὴν συκομορέαν[7]. Οἶδας, ὅτι πρὸ τοῦ κνισθῆναι τὸ συκάμινον εἰσὶν σκνῖπες οἱ λεγόμενοι κώνωπες ἔνδοθεν αὐτοῦ καθήμενοι ἐν σκότει καὶ τὸ φῶς οὐ βλέποντες· ἐν αὐτοῖς λέγουσι· ʻεἰς μεγάλην χώραν οἰκοῦμενʼ. Ἐὰν δὲ κνισθῇ τὸ συκάμινον, ἐξέρχονται καὶ βλέπουσι τὸ φῶς τοῦ ἡλίου καὶ λέγουσιν ἐν αὐτοῖς· ʻπρὸ τοῦ κνισθῆναι τὸ συκάμινον ἐν σκότει ἦμεν καθήμενοιʼ[8].

Κνίζεται οὖν τὸ συκάμινον τῇ πρώτῃ ἡμέρᾳ, τῇ δὲ τρίτῃ

**1.** Πρβλ. Ἰω. 19,34. **2.** Ματθ. 11,21. Λουκ. 10,13. **3.** Ματθ. 4,16. Λουκ. 1,79. Πρβλ. Ἡσ. 9,1. **4.** Πρβλ. Ἰω. 19,34. **5.** Πρβλ. Ματθ. 28,6. Μάρκ. 16,6. Λουκ. 24,6 ἑξ. Ἰω. 20,1 ἑξ. **6.** Ἀμὼς 7,14. **7.** Πρβλ. Λουκ. 19,4. **8.** Πρβλ. Ματθ. 4,16. Λουκ. 1,79. Ἡσ. 9,1.



παριστάνεται καὶ τροφὴ γίνεται πάντων. Κνεῖται οὖν καὶ ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πλευρά[1], καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντος αὐτοῦ ἐκ τῶν νεκρῶν[2], εἴδομεν τοὺς φωστῆρας ὡς οἱ κώνωπες· καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν πᾶσιν ἡμῖν ζωὴ καὶ τροφὴ ἐγένετο.

Α′

---

Β′

49. Περὶ κόκκυγος.

**158** ὅτι ὁ κόκκυξ ὀρνεόν ἐστιν, κόκοξ παρ' Ἕλλησιν λεγόμενον, παρὰ δὲ Ῥωμαίοις κόκκολος λέγεται· ἐπιτηρεῖν δὲ πέφυκεν πλησίον ἑτέρου ἐπῳάζοντος ὀρνέου καλιὰν ποιεῖν, εἶτα λεληθότως τὰ μὲν τοῦ γείτονος ἀναλίσκειν ᾠά, τὰ δὲ οἰκεῖα ἀνθυποβάλλειν ἐκείνων· ἔνθεν τοὺς τὰ ἀλλότρια μετὰ τέχνης ἀπατηλῆς τρώγοντας κοκκόλους καλοῦσιν.

Γ′

**159** — Περὶ κόκκυγος —

**1.** Πρβλ. Ἰω. 19,34. **2.** Πρβλ. Ματθ. 28,6. Μάρκ. 16,6. Λουκ. 24,6 ἑξ. Ἰω. 20,1 ἑξ.

# ΟΜΙΛΙΑΙ

## ΕΙΣ ΤΑ ΒΑΪΑ*

Κύριε, εὐλόγησον.

**[428]** Χαῖρε σφόδρα, θύγατερ Σιών, τέρπου καὶ ἀγάλλου [καὶ εὐφραίνου], πᾶσα ἡ Ἐκκλησία τοῦ Θεοῦ· ἰδοὺ γὰρ πάλιν ὁ Βασιλεύς πρὸς σὲ παραγίνεται. Ἰδοὺ ὁ σὸς νυμφίος ἐπὶ πώλου [ὡς ἐπὶ θρόνου] καθήμενος ἔρχεται[1]. Ἐξέλθωμεν εἰς ἀπάντησιν αὐτοῦ[2], σπεύσωμεν ἰδέσθαι τὴν δόξαν αὐτοῦ, προφθάσωμεν φαιδρῶς εἰς τιμὴν τῆς εἰσόδου αὐτοῦ. [Πάλιν τῷ κόσμῳ σωτηρία, πάλιν ὁ Θεὸς ἐπὶ σταυρὸν ἔρχεται.] Πάλιν ὁ βασιλεὺς Σιών, τῶν ἐθνῶν ἡ προσδοκία ἐπὶ τὴν Σιὼν ἔρχεται, πάλιν τῷ κόσμῳ σωτηρίαν χαρίζεται, πάλιν τὸ φῶς ἐφίσταται, πάλιν ἡ πλάνη πέπαυται, πάλιν ἀνθεῖ ἡ ἀλήθεια, πάλιν ἡ Ἐκκλησία χορεύει, πάλιν ἡ Συναγωγὴ χηρεύει, πάλιν αἰσχύνονται δαίμονες, πάλιν κατάρα λύεται, πάλιν Ἑβραῖοι ταράττονται, πάλιν ὁ δράκων συντρίβεται[3], πάλιν τὰ ἔθνη εὐφραίνονται, πάλιν Σιὼν καλλωπίζεται. Χριστὸς ἐπὶ πώλου ὡς ἐπὶ θρόνου καθήμενος ἔρχεται[4]. Οἱ οὐρανοί, ἀγάλλεσθε· ἄγγελοι, ὑμνήσατε· τὰ ὄρη, εὐφραίνεσθε· οἱ βουνοί, σκιρτήσατε· ποταμοί, κροτήσατε· οἱ ἐν Σιών, χορεύσατε· αἱ Ἐκκλησίαι, χαίρετε· ἱερεῖς, ὑμνήσατε· προφῆται, προφθάσατε· μαθηταί, κηρύξατε· λαοί, ἀπαντήσατε· πρεσβῦται, συνδράμετε· αἱ μητέρες, χορεύσατε· οἱ θηλάζοντες, ᾄσατε· νεανίσκοι, βοήσατε· τὰ ἔθνη, συνάχθητε. Πᾶσα κτίσις, πᾶσα φύσις, πᾶσα τάξις, πᾶσα πνοή, πᾶσα ἡ γῆ, πᾶσα ἀξία, πᾶσα ἡλικία, πᾶσα ἐθναρχία, πᾶσα βασιλεία, βασιλικῶς τῷ Βασιλεῖ τῶν βασιλέων ἀπαντήσωμεν, δεσποτικῶς τῷ Δεσπότῃ τῶν δεσποτῶν προσκυνήσωμεν, τῷ Θεῷ τῶν θεῶν θεϊκῶς ἀναμέλψωμεν, τῷ **[429]** νυμφίῳ τῆς ἀφθαρσίας θεονύμφως χορεύσωμεν· τὰς λαμ-

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. - P. Migne, Patrologiae cursus completus, series Graeca τ. 43, 428-437.

**1.** Πρβλ. Ματθ. 21,5. Ζαχ. 9,9. Ἡσ. 62,11. **2.** Πρβλ. Ματθ. 25,1. **3.** Πρβλ. Ἀποκ. 12,9. **4.** Πρβλ. Ματθ. 21,5. Ζαχ. 2,9. Ἡσ. 62,11.



πάδας φαιδροὶ φαιδρῶς ἐφαψώμεθα[1], τοὺς χιτῶνας τῶν ψυχῶν θεοπρεπῶς ἐξαλλάξωμεν, τὰς τοῦ βίου ὁδοὺς καλῶς ἑτοιμάσωμεν, τὰς εἰσόδους τῶν ψυχῶν τῷ Βασιλεῖ διανοίξωμεν, τὰ βαΐα τῆς νίκης ὡς νικητῇ τοῦ θανάτου βαστάσωμεν[2], τοὺς κλάδους τῶν ἐλαιῶν τῷ ἐκ Μαρίας κλάδῳ θεοπρεπῶς ἐπισείοντες· τὰ ἀγγέλων τῷ Θεῷ τῶν ἀγγέλων ὑμνήσωμεν· μετὰ τῶν παίδων θεοπρεπῶς ἀνακράξωμεν, μετὰ τοῦ ὄχλου τὰ τοῦ ὄχλου καὶ οἱ ὄχλοι βοήσωμεν· «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου»[3], «Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν»[4], «ἐπέφανε τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις»[5] ἡμῖν. Ἐπέφανεν ἡ τῶν πεπτωκότων ἀνάστασις, ἐπέφανεν ἡ τῶν αἰχμαλώτων ἀνάῤῥυσις, ἐπέφανεν τῶν τυφλῶν ἡ ἀνάβλεψις[6], ἐπέφανεν ἡ τῶν πενθούντων παράκλησις[7], ἐπέφανεν ἡ τῶν κοπιώντων ἀνάπαυσις[8], ἐπέφανεν ἡ τῶν διψώντων ἀνάψυξις[9], ἐπέφανεν ἡ τῶν καταπονουμένων ἐκδίκησις, ἐπέφανεν ἡ τῶν ἀπεγνωσμένων λύτρωσις, ἐπέφανεν ἡ τῶν ἀπεγνωσμένων παράκλησις, ἐπέφανεν ἡ τῶν χωριζομένων ἕνωσις, ἐπεφάνη ἡ τῶν καταπονουμένων ἐκδίκησις, ἐπεφάνη ἡ τῶν νοσούντων ἴασις, ἐπεφάνη ἡ τῶν χειμαζομένων γαλήνη.

Διὸ καὶ ἡμεῖς, οἱ δῆμοι, μετὰ τοῦ ὄχλου βοήσωμεν, λέγοντες σήμερον Χριστῷ Ὡσαννά, τουτέστι, σῶσον δή, ὁ ἐν ὑψίστοις Θεός[10]. Ὢ καινῶν καὶ παραδόξων πραγμάτων καὶ θαυμάτων! Χθὲς Χριστὸς ἐκ νεκρῶν ἤγειρε Λάζαρον[11], καὶ σήμερον ὁ αὐτὸς ἐπὶ τὸν θάνατον ἔρχεται. Χθὲς ἄλλῳ, ὡς ζωή, ζωὴν ἐχαρίσατο, καὶ σήμερον ζωοδότης ἐπὶ τὸν θάνατον ἔρχεται. Χθὲς Λαζάρου τὰ σπάργανα ἔλυσε[12], καὶ σήμερον ὁ αὐτὸς ἐν σπαργάνοις δεσμευθῆναι ἑκὼν παραγίνεται. Χθὲς ἐν σκότοις ἐξήγαγεν ἄνθρωπον, καὶ σήμερον ἐν σκοτεινοῖς τεθῆναι καὶ σκιᾷ θανάτου ἔρχεται διὰ τὸν ἄνθρωπον. Χθὲς «πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα»[13] διὰ τῶν πέντε αἰσθήσεων τὸν τετραήμερον ὁ τριήμερος ταῖς δυσὶ τὸν ἕνα χαρίζεται ἀδελφόν, καὶ σήμερον ἐπὶ τὸν σταυρὸν

**1.** Πρβλ. Ματθ. 25,1. **2.** Πρβλ. Ἰω. 12,13. **3.** Ματθ. 21,9. Ἰω. 12,13. **4.** Ψαλ. 117,27. **5.** Λουκ. 1,79. Πρβλ. Ἡσ. 9,1. **6.** Πρβλ. Ματθ. 11,5. **7.** Πρβλ. Ματθ. 5,4. **8.** Πρβλ. Ματθ. 11,28. **9.** Πρβλ. Ἰω. 7,37. **10.** Πρβλ. Ματθ. 21,9. **11.** Πρβλ. Ἰω. 12,2. **12.** Πρβλ. Ἰω. 11,44. **13.** Ἰω. 12,2.

ἔρχεται. Ἀλλὰ τῇ Μαρίᾳ μὲν τετραήμερον νεκρὸν[1] τῇ δὲ Ἐκκλησίᾳ τριήμερον ἑαυτὸν χαρίζεται ὁ Χριστός[2]. Ἐκεῖ Βηθανία μόνη θαυμάζει, ἐνταῦθα δὲ πᾶσα Ἐκκλησία ἑορτάζει. Ἑορτάζει ἑορτῶν ἑορτάς, τὸν βασιλέα τῶν ἀσωμάτων ἐν αὐτῇ ἐν μέσῳ ὡς νυμφίον ἔχουσα ὁμοῦ τε καὶ βασιλέα· ἑορτάζει ἑορτάς, ὡς ἐλαία κατάκαρπος[3] ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἀφυλλοῤῥόως πυκάζουσα· ἑορτάζει ἑορτάς, ὡς κρίνον ἐαρινὸν Παραδείσου ὑπάρχουσα· ἐν ᾗ Χριστός, τὸ ὄντως εὐθαλὲς κρίνον, τὸ μὴ **[432]** κρῖνον, ἀλλὰ σῶζον τὸν κόσμον. Ἐν ᾗ Χριστός, τὸ ἴον τὸ ὄντως ἰώμενον τὰ πάθη τῶν νοσούντων· ἐν ᾗ ὁ ἀμπελών, ὁ λέγων· «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή»[4] ἐν ᾗ ὁ ἐλαιών, ὁ ὄντως ἐλεῶν τοὺς ἐλπίζοντας ἐπ' αὐτόν· ἐν ᾗ ὁ τῆς ῥίζης Ἰεσσαὶ ἐβλάστησε κλάδος ὁ προαιώνιος[5], ἀγεωργήτως καὶ ἀνορύκτως τῆς ἀνθρωπίνης σπορᾶς· ἐν ᾗ ἡ πηγὴ ἡ ἀέναος[6] ἐν ᾗ οὐ Φυσών, Γεών, Τίγρις, Εὐφράτης[7], ἀλλὰ Ματθαῖος, Μάρκος, Λουκᾶς, καὶ Ἰωάννης, οἱ τοῦ Χριστοῦ τῆς Ἐκκλησίας ποτίζοντες παράδεισον. Ἔνθα πᾶσα σήμερον νεολαία, ὡς ἐλαία κατάκαρπος[8] τὰς ἐλαίας κατέχοντες, τὸν ἐλεήμονα αἰτοῦμεν Χριστόν· πεφυτευμένοι ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐαρινῶς ἐξανθοῦντες, ἑορτάζομεν ἑορτήν, τὸν χειμῶνα τὸν νομικὸν ὑποχωρήσαντα βλέποντες.

Ἑόρταζε, Χριστοῦ Ἐκκλησία, οὐ τυπικῶς, οὐ σωματικῶς, ἀλλὰ πνευματικῶς ἐγχορεύουσα. Ἑόρταζε ἑορτάς, τὴν τῶν εἰδώλων κατάπτωσιν βλέπουσα, καὶ τῶν ἐκκλησιῶν τὴν ἀνάστασιν ἔχουσα. Μετὰ γὰρ Παύλου βοῶ σοι τῆς ἱερᾶς καὶ μεγάλης φωνῆς «Τὰ ἀρχαῖα παρῆλθον· ἰδοὺ γέγονε τὰ πάντα καινά»[9] ἀλλὰ μὴν καὶ παράδοξα «Διὸ χαίρετε ἐν Κυρίῳ»[10] Χριστοῦ νεολαία, χαίρετε· χαίροις Χριστοῦ Ἐκκλησία, τέρπου καὶ εὐφραίνου, θύγατερ Θεοῦ[11]. Σοῦ γὰρ πᾶσα ἡ δόξα, ὡς θυγατρὸς τοῦ βασιλέως Χριστοῦ ἔσωθεν ὁμοῦ τε καὶ ἔξωθεν· οὐκέτι χήρανδρος, ἀλλὰ θέανδρος ἐξανθοῦσα· οὐκέτι ἐξ εὐωνύμων Θεοῦ διὰ

1. Πρβλ. Ἰω. 11,17 ἑξ. 2. Πρβλ. Α' Κορ. 15,4. 3. Πρβλ. Ψαλ. 51,10. Ὠσ. 14,7. 4. Ἰω. 15,1. 5. Πρβλ. Ρωμ. 15,12. Ἡσ. 11,1. 6. Πρβλ. Ἀποκ. 21,6. 7. Πρβλ. Γεν. 2,8-14. 8. Πρβλ. Ψαλ. 51,10. Ὠσ. 14,7. 9. Β' Κορ. 5,17. 10. Φιλιπ. 3,1. 11. Πρβλ. Σοφ. 3,14.



τὴν εἰδωλολατρείαν, ἀλλ' ἐκ δεξιῶν παρισταμένη, καὶ κεκοσμημένη[1] διὰ τὴν θεογνωσίαν· οὐκέτι αἵματι δουλικῷ φυρωμένη, ἀλλὰ αἵματι θεϊκῷ σφραγιζομένη· οὐκέτι τὸν Ὠβὴλ ἀλλὰ τὸν Ἐμμανουὴλ σέβουσα· οὐκέτι τὴν Τρωάδα, ἀλλὰ τὴν Τριάδα δοξάζουσα· οὐκέτι τιμῶσα τὸν Πλάτωνα, ἀλλὰ τὸν παντοκράτορα Θεὸν ἡμῶν· οὐκέτι Ἡρακλῆ τὸν ἀλεξίκακον, ἀλλὰ τὸν Παράκλητον καὶ πάντων ποιητήν. Οὐκέτι προσκυνεῖς Ἀριστοτέλην σοφίσαντα, ἀλλὰ Θεὸν τὸν εἰς τέλη τῶν αἰώνων σε σώσαντα. Πέπτωκε Κρόνος, ὅτι σεσάρκωται Θεὸς Λόγος[2] οὐ μὴν ἀνδρὸς ἐκ παθείας, ἀλλὰ θεανδρικῶς ἐκ Μαρίας ἐπιφανείς[3]. Ὁρᾶτε τῆς ἡμέρας τὴν χάριν· ὁρᾶτε τῆς ἑορτῆς τὴν λαμπρότητα. Χαίρου τοίνυν καὶ εὐφραίνου, θύγατερ Σιών[4], τέρπου καὶ ἀγάλλου, πᾶσα ἡ Ἐκκλησία τοῦ Θεοῦ· «Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα»[5], ποτε διεσκορπισμένα τῶν ἐθνῶν τέκνα σου. Ἴδε τῆς ἑορτῆς τὴν εὐφημίαν· ἴδε τοῦ λαοῦ τὴν συμφωνίαν, ἴδε πᾶσαν γλῶσσαν εἰς μίαν δόξαν, ἴδε ἅπαν στόμα ὡς ἓν στόμα, ἴδε τὰ πρὶν θήρεθνα ἐν σοὶ τυγχάνοντα πρόβατα, ἴδε ἐθνῶν ἑορταζόντων ἐπιφήμισμα, ἀγγελικῶν ἀσωμάτων ὑπάρχον τὸ μίμημα **[433]** ἴδε συμφωνίαν, ἀσωμάτων χοροστασίαν, ἴδε στάσεις ὡς ἀγγέλων τάξεις. Ὁρῶ τοὺς ὕμνους ὡς ἀγγέλων ὕμνους, ὁρῶ τοὺς παῖδας ὡς νεοφύτους ἄρνας, «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος»[6] Χριστῷ λέγοντας, μεθ' ὧν κροτήσασα μέγα τῇ χειρὶ βόησον λαμπρᾷ καὶ λεοντιαίᾳ τῇ φωνῇ, ἐφεόρτιά τε ὁμοῦ καὶ εὐχαριστήρια λέγουσα· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός»[7] τῇ ποτε ἀτέκνῳ καὶ ἀγνώστῳ στείρᾳ· εὐλογημένος ὁ ἐλθών, ἀλλὰ μὴν ἐρχόμενος ἐν ὀνόματι Κυρίου[8] Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν[9]. Ὁ ἐρχόμενος, ὁ μηδαμοῦ χωρούμενος· «εὐλογημένος ὁ ἐρχόμενος», καὶ τῶν οὐρανῶν μὴ χωριζόμενος· εὐλογημένος αὐτοπρεπῶς, καὶ πάλιν ἐρχόμενος θεοπρεπῶς· εὐλογημένος ὁ ἐπ' ἐμὲ ἐπὶ πώλου τυπικῶς παραγενόμενος ὡς ἐπὶ πώλου χερουβικοῦ[10]. Τί γάρ φησιν ὁ ἱεροκῆρυξ εὐαγγελιστὴς τῆς ἑορτῆς, ἄκουσον· Ἐγένετο ὅτε ἤγγι-

1. Πρβλ. Ψαλ. 44,10. 2. Πρβλ. Ἰω. 1,14. 3. Πρβλ. Ματθ. 1,23. 4. Πρβλ. Σοφ. 3,14. Ζαχ. 9,9. Ματθ. 21,5. 5. Ἡσ. 60,4. 6. Ματθ. 21.9. 7. Ἡσ. 8,18. 8. Ψαλ. 117,26. 9. Ψαλ. 118,27. 10. Πρβλ. Ματθ. 21,2,5,7.

ζεν ὁ Κύριος εἰς Βηθφαγή, καὶ εἰς Βηθανίαν, πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν, ἀπέστειλε δύο ἐκ τῶν μαθητῶν αὐτοῦ, λέγων· Ὑπάγετε εἰς τὴν ἀπέναντι κώμην, καὶ ἐν τῷ εἰσελθεῖν ὑμᾶς εὑρήσετε ὄνον καὶ πῶλον δεδεμένην· λύσαντες ἀγάγετέ μοι. Καὶ ἐποίησαν οἱ μαθηταὶ καθὼς ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς· καὶ ὑπέστρωσαν τὰ ἱμάτια αὐτῶν ἐπὶ τὴν πῶλον, καὶ ἐκάθισεν ὁ Ἰησοῦς[1]. Καὶ ἐγένετο ὡς ἤγγισεν εἰς τὴν κατάβασιν τοῦ ὄρους, ὁ ὄχλος ἐλθὼν εἰς τὴν ἑορτὴν ἔλαβον βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ἀπάντησιν τοῦ Ἰησοῦ. Καὶ οἱ προάγοντες, καὶ οἱ ἀκολουθοῦντες ἔκραζον «Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου»[2]. Αὕτη τῆς παρούσης ἑορτῆς ἡ Δεσποτικὴ παρουσία· αὕτη τοῦ Βασιλέως τῶν βασιλευόντων ἡ ἐν Σιὼν πάλαι καὶ νῦν ἐπιδημία· αὕτη τῆς παρούσης ἡμέρας ἡ λαμπρὰ καὶ πάνδημος τοῦ ποιητοῦ τῶν ἁπάντων ἔλευσις. Διὸ νῦν, ἀδελφοί, ὁ ὄχλος ἐλθὼν εἰς τὴν ἑορτήν, ἐξέλθωμεν εἰς ἀπάντησιν αὐτοῦ, ὅ τε ὁρατὸς κόσμος καὶ ὁ ἀόρατος, καὶ οἱ προάγοντες χρόνῳ προφῆται, καὶ διδάσκαλοι, καὶ οἱ ἀκολουθοῦντες τῷ πώλῳ, οἱ Θεῷ πίστει συμφωνοῦντες. Σήμερον τὰ οὐράνια σὺν τοῖς ἐπιγείοις ὁμοῦ τε καὶ καταχθονίοις ἀνυμνείτω· πᾶν στόμα καὶ πνεῦμα πρὸς αἶνον Θεοῦ ἀνοιγόμενον. Τὰ χερουβίμ, βοήσατε «Ἅγιος, ἅγιος, ἅγιος Κύριος» ὁ τρισάγιος, σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ[3]· σεραφίμ, ὑμνήσατε· προφῆται, κηρύξατε. Καὶ ὁ μὲν λεγέτω· «Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ»[4] ὁ δέ, Χαῖρε σφόδρα θύγατερ Σιὼν «κήρυττε, θύγατερ Ἱερουσαλήμ»[5] καὶ ἄλλος τῷ βασιλεῖ Χριστῷ ἀτενίζων βοάτω· «Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[6]· καὶ ἕτερος περὶ αὐτοῦ τοῦ Κυρίου κηρυξάτω· «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐ**[436]**τόν»[7]· καὶ ἄλλος· Ἰδοὺ ἄνθρωπος ὁμοῦ καὶ Θεός[8]. «Ἀνατολὴ ὄνομα αὐτῷ»[9]· καὶ Δαβὶδ πρὸς τὸν ἐξ αὐτοῦ κατὰ σάρκα Χριστὸν ἀτενίζων λέγῃ· «Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν»[10]· καὶ πάλιν ἄλλος τὸ γόνυ κλίνων βοάτω

**1.** Πρβλ. Ματθ. 21,1-8. Μάρκ. 11,1-8. Λουκ. 19,29-37. **2.** Ματθ. 21,9. **3.** Πρβλ. Ἡσ. 6,3. **4.** Ψαλ. 95,11. **5.** Ζαχ. 9,9. **6.** Ἰω. 1,29. **7.** Βαρ. 3,36. **8.** Πρβλ. Α' Κορ. 15,47. **9.** Ζαχ. 6,12. **10.** Ψαλ. 117,27.



Χριστῷ· Πᾶσα ἡ γῆ προσκυνησάτω σοι[1]· καὶ ἕτερος τοῖς λαοῖς ἐπιτρέπῃ, λέγων «Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου»[2].

Οὕτω γὰρ ἐπετελεῖτο καὶ πάλαι ἡ ἐν Σιὼν τοῦ Δεσπότου μετὰ τοῦ πώλου ἐπιδημία· πάνδημος συμφωνία, οἱ χοροὶ τῶν πατέρων, οἱ δῆμοι τῶν δικαίων, τὰ πνεύματα τῶν προφητῶν, οἱ παῖδες τῶν Ἑβραίων[3], τὰ νήπια τῶν μητέρων, τὰ πλήθη τῶν ἀγγέλων. Οἱ μὲν πτέρυγας ἐφήπλουν, οἱ δὲ βαΐα κατεῖχον[4], οἱ δὲ ὄπισθεν ἤρχοντο, ἄλλοι τοὺς κλάδους ἔκοπτον, ἄλλοι δὲ τοὺς θάλλους ἔπλεκον, οἱ μὲν τὸν πῶλον ἔλυον[5], οἱ δὲ χιτῶνας ἐστρώννυον, οἱ μὲν τὰς πύλας ἤνοιγον, οἱ δὲ ὁδοὺς ἐκάθαιρον, ἄλλοι πῶλον εὐτρέπιζον, ἄλλοι νίκην ἐκήρυττον, ἄλλοι τοὺς κλάδους ἔσειον, ἄλλοι νηπίοις ἔλεγον, «Αἰνεῖτε, παῖδες, Κύριον»[6]· οἱ παῖδες ἀπεκρίναντο «Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου»[7]. Ὢ καινῶν καὶ παραδόξων πραγμάτων καὶ θαυμάτων τῆς ἑορτῆς! παῖδες Χριστὸν ὡς Θεὸν θεολογοῦσι, καὶ οἱ ἱερεῖς αὐτὸν βλασφημοῦσι· θηλάζοντες προσκυνοῦσι, καὶ οἱ διδάσκοντες ἀσεβοῦσιν· οἱ παῖδες, «Ὡσαννά», λέγουσι, καὶ οἱ Ἑβραῖοι, «Σταυρωθήτω»[8], κράζουσιν· οἱ μὲν μετὰ βαΐων πρὸς Χριστὸν ἔρχονται· οἱ δὲ μετὰ μαχαιρῶν πρὸς αὐτὸν ἔρχονται[9]· οὗτοι κλάδους κόπτουσιν, ἐκεῖνοι ξύλον σταυροῦ εὐτρεπίζουσι· νήπια Χριστοῦ χιτῶνας ὑποστρωννύουσι[10], καὶ οἱ ἱερεῖς χιτῶνας Χριστῷ διαμερίζουσι· νήπια ἐπὶ πώλου Χριστὸν ὑψοῦσι, καὶ γέροντες ἐπὶ σταυροῦ Χριστὸν κρεμνοῦσιν· οἱ παῖδες τοὺς πόδας Χριστοῦ προσεκύνησαν, ἐκεῖνοι δὲ τοὺς πόδας Χριστοῦ τοῖς ἥλοις προσήλωσαν· παῖδες αἶνον προσάγουσιν[11], οὗτοι ὄξος προσφέρουσι[12]· παῖδες Χριστῷ τὴν τιμήν, οὗτοι δὲ τὴν χολήν· παῖδες βαΐα σείουσιν, οὗτοι δὲ ῥομφαίᾳ νύττουσι· παῖδες ἐπὶ πῶλον Χριστὸν ὑμνοῦσιν, οὗτοι τὸν ἐπὶ πώλου πωλοῦσιν.

Ἔγνω βοῦς τὸν κτησάμενον αὐτὸν ἐπὶ φάτνης γεννηθέντα, καὶ ὁ νέος λαὸς τῶν ἐθνῶν ὑπετάγη τῷ Κυρίῳ αὐτῶν, μόνον δὲ

**1.** Πρβλ. Ψαλ. 65,4. **2.** Ψαλ. 117,27. **3.** Ψαλ. 112,1. **4.** Πρβλ. Ἰω. 12;13. **5.** Πρβλ. Ματθ. 21,2. Μάρκ. 11,2. Λουκ. 19,30. **6.** Ψαλ. 112,1. **7.** Μάρκ. 11,9. Πρβλ. Ματθ. 21,9. **8.** Ματθ. 27,22. **9.** Πρβλ. Ματθ. 26,47. **10.** Πρβλ. Ματθ. 21,8. **11.** Πρβλ. Ματθ. 21,15. **12.** Πρβλ. Ματθ. 27,48.

Ἰσραὴλ οὐκ ἔγνω Χριστὸν τὸν Θεὸν αὐτοῦ[1]. Τὰ ποτὲ φῦλα θεόφιλα γέγονε, καὶ οἱ ἄνομοι γεγόνασιν ἔννομοι, καὶ οἱ ἔννομοι παράνομοι. Ἔστω, τοὺς προφήτας οὐκ ᾐδέσθης, ἱερεῖς ἀπέκτεινας, τὰς Γραφὰς διέστρεψας, τὸν νόμον κατέλυσας, δικαίους κατέπρισας, Μωσῆν ἠθέτησας, τοὺς υἱοὺς κατέσφαξας, τὸν ναὸν ἐμίανας, τοῦ Θεοῦ παρήκουσας, Χριστῷ οὐκ ἐπίστευσας, τὰς θεοσημείας ἐνύβρισας, περὶ Λαζάρου ἠπίστησας, τοῖς τυφλοῖς οὐκ ἐπίστευσας ἀναβλέψασιν[2]· εἶτα τί περὶ τῶν παίδων τούτων λέγεις; τί περὶ ὕμνου τῶν θηλαζόντων[3] νομοθετεῖς; τίς, εἰπέ μοι, τούτοις ἐφώτισε; τίς ἐδί**[437]**δαξεν; ἢ τίς ἐξήγειρεν; τίς ἐσόφισε; τίς ἐξαίφνης ἀπειρολόγοις δέδωκε λόγον, εἰ μὴ Χριστὸς ὁ προαιώνιος Λόγος; Νῦν οἱ νέοι, παῖδες ὁμοῦ τε καὶ νήπια χειρὶ μιᾷ μαζὸν κατέχοντα, καὶ φωνῇ ὕμνον ἀγγελικὸν ἀναμέλποντα· χειρὶ μιᾷ μαζὸν κατέχοντα, καὶ ἄλλῃ χειρὶ Χριστῷ βαΐα ἐπισείοντα· ἡ ἀπειρολόγος, θεολόγος γεγενημένη φύσις· εὐθὺς τὸν προφητικὸν λόγον Θεῷ τῶν ἀσωμάτων ὕμνον ὡς δῶρα προσάγοντα, ὁμοῦ τε καὶ κράζοντα, «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου»[4] «Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν»[5].

Πρὸς ἃ ἐγὼ περιχάριστα ὁμοῦ τε καὶ ἐφεόρτια ἀντεπερωτῶ τοὺς ἱεροὺς τούτους παῖδας θαρσήσας· Τί φατέ, ὦ παῖδες Θεοῦ, παῖδες ἀνυμνήτορες; Πόθεν ὑμῖν ὁ ἰσόρροπος οὗτος, τὸν χερουβικὸν ὕμνον ἀνακράζοντες; Πῶς δὲ ἐπὶ πώλου Χριστὸν ὁρῶντες ἀνθρωποπρεπῶς· «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις»[6] βοᾶτε θεοπρεπῶς; Ναί, φασὶ πρὸς ἡμᾶς οἱ θεοῤῥήτορες παῖδες, καὶ ἐπὶ πώλου αἰσθητοῦ Χριστὸς καθέζεται[7], ἀλλὰ τοῦ κόλπου τοῦ πατρικοῦ οὐδαμοῦ χωρίζεται· καὶ ἐπὶ πώλου ὄνου καθέζεται, ἀλλὰ τοῦ θρόνου τοῦ χερουβικοῦ οὐκ ἀπολιμπάνεται. Ἀλλ' αὐτὸς ὁ κάτω μετὰ σαρκὸς βροτοῖς ἀνελλιπῶς, αὐτὸς οὕτως καὶ ἄνω μετὰ Πατρὸς Θεὸς ἀψευδής, καὶ ἀληθινός, αὐτὸς ὁ παντοκράτωρ, καὶ κοσμοκράτωρ, καὶ ἐθνοκράτωρ, καὶ ἀληθὴς Θεός, καὶ χορηγός, καὶ φυτουργός, καὶ ὁδηγός, καὶ Σωτὴρ πάντων. Αὐτὸς

---

**1.** Πρβλ. Ἡσ. 1,3. **2.** Πρβλ. Ματθ. 11,5. **3.** Πρβλ. Ματθ. 21,16. Ψαλ. 8,3. **4.** Ματθ. 21,9-10. **5.** Ψαλ. 117,27. **6.** Ματθ. 21,9. **7.** Πρβλ. Ματθ. 21,7.



εἰς τὴν κάτω Ἱερουσαλὴμ εἰσέρχεται, καὶ τῆς ἄνω οὐ χωρίζεται· οὗτος ὁ ποιητὴς τῶν αἰώνων καὶ ἐξ αἰώνων, καὶ εἰς αἰῶνας[1]· αὐτός ἐστιν ὁ τανύσας τὸν οὐρανὸν μόνος[2]· οὗτός ἐστιν ὁ περιπατῶν ἐπὶ θαλάσσῃ ὡς ἐπὶ ἐδάφους· οὗτος ὁμίχλῃ τὴν θάλασσαν ἐσπαργάνωσεν[3] οὗτος τὰ κλεῖθρα τοῖς ἀνθρώποις περιέθηκεν· οὗτος ὅρους ταῖς θαλάσσαις ἐμέρισεν[4]· οὗτος ἁπλώσας γαῖαν ἐπ' οὐδενὶ ἐκρέμασεν· οὗτος στοιχείων τὰς κράσεις πανσόφως ἐκέρασεν· οὗτος τὰ κάλλη τῶν φυτῶν κατεκόσμησεν· οὗτος οὐρανὸν ὡς ἱμάτιον ἐξέτεινεν[5]· οὗτος αὐτὸν φωστῆρσι λαμπροῖς κατεκόσμησε[6]. Τοῦτον φρίττουσι χερουβίμ, καὶ τρέμουσι σεραφίμ, τοῦτον ὑμνεῖ ἥλιος, τοῦτον δοξολογεῖ σελήνη, τοῦτον αἰνοῦσι τὰ ἄστρα[7], τούτῳ δουλεύουσιν αἱ πηγαί, τοῦτον φρίττουσιν ἄβυσσοι, τοῦτον δεδοίκασι τάρταροι, τούτῳ ὑπείκει τὰ κήτη, τοῦτον τρέμουσι δράκοντες, τούτῳ δουλεύουσιν ὄμβροι[8], τοῦτον εὐλαβοῦνται πνεύματα· οὗτος ὑπέστησε φύσεις, οὗτος κατέστησε κτίσεις, οὗτος κατέταξε τάξεις, οὗτος ὁ τῶν ἄνω καὶ τῶν κάτω κτίσεων ποιητὴς Θεὸς Κύριος ἡμῶν· καὶ «αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν»[9].

## ΕΙΣ ΤΗΝ ΘΕΟΣΩΜΟΝ ΤΑΦΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΚΑΙ ΕΙΣ ΤΟΝ ΙΩΣΗΦ ΤΟΝ ΑΠΟ ΑΡΙΜΑΘΑΙΑΣ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΕΝ ΤΩ ΑΔΗ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΤΑΒΑΣΙΝ, ΜΕΤΑ ΤΟ ΣΩΤΗΡΙΟΝ ΠΑΘΟΣ ΠΑΡΑΔΟΞΩΣ ΓΕΓΕΝΗΜΕΝΗΝ*

Τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ.

**[440]** Τί τοῦτο; σήμερον σιγὴ πολλὴ ἐν τῇ γῇ· σιγὴ πολλὴ καὶ ἠρεμία λοιπόν· σιγὴ πολλή, ὅτι ὁ Βασιλεὺς ὑπνοῖ· γῆ ἐφοβήθη καὶ ἡσύχασεν, ὅτι ὁ Θεὸς σαρκὶ ὕπνωσε, καὶ τοὺς ἀπ' αἰῶνος ὑπνοῦντας ἀνέστησεν. Ὁ Θεὸς ἐν σαρκὶ τέθνηκε, καὶ ὁ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. - P. Migne, Patrologiae cursus completus, series Graeca τ. 43, 440-464.

**1.** Πρβλ. Ψαλ. 103,2. Ἡσ. 44,24. **2.** Πρβλ. Ματθ. 14,25. **3.** Πρβλ. Ἰὼβ 38,9. **4.** Πρβλ. Ἰὼβ 38,10. **5.** Πρβλ. Ψαλ. 103,2. **6.** Πρβλ. Γεν. 1,16. Ψαλ. 135,7-9. **7.** Πρβλ. Ψαλ. 148,3. **8.** Πρβλ. Ψαλ. 148,7-8. **9.** Ἀποκ. 1,6.

ᾅδης ἐτρόμαξεν. Ὁ Θεὸς πρὸς βραχὺ ὕπνωσε, καὶ τοὺς ἐν τῷ ᾅδῃ ἐξήγειρε[1].

Ποῦ ποτε νῦν εἰσιν αἱ πρὸ βραχέος ταραχαί, καὶ φωναί, καὶ θόρυβοι κατὰ τοῦ Χριστοῦ, ὦ παράνομοι; ποῦ οἱ δῆμοι, καὶ ἐνστάσεις, καὶ τάξεις, καὶ τὰ ὅπλα, καὶ δόρατα; ποῦ οἱ βασιλεῖς καὶ ἱερεῖς καὶ κριταὶ οἱ κατάκριτοι; ποῦ αἱ λαμπάδες καὶ μάχαιραι καὶ οἱ θρύλλοι οἱ ἄτακτοι; ποῦ οἱ λαοί, καὶ τὸ φρύαγμα, καὶ ἡ κουστωδία ἡ ἄσεμνος; ἀληθῶς ὄντως, ἐπεὶ καὶ ὄντως ἀληθῶς λαοὶ ἐμελέτησαν κενὰ[2] καὶ μάταια. Προσέκοψαν τῷ ἀκρογωνιαίῳ λίθῳ Χριστῷ[3], ἀλλ' αὐτοὶ συνετρίβησαν· προσέρρηξαν τῇ πέτρᾳ τῇ στερεᾷ, ἀλλ' αὐτοὶ συνετρίβησαν, καὶ εἰς ἀφρὸν τὰ κύματα αὐτῶν διελύθησαν· προσέκοψαν τῷ ἀηττήτῳ ἄκμονι, καὶ αὐτοὶ κατεκλάσθησαν· ὕψωσαν ἐπὶ ξύλου[4] τὴν πέτραν[5] τῆς ζωῆς, καὶ κατελθοῦσα αὐτοὺς ἐθανάτωσεν· ἐδέσμησαν τὸν μέγαν Σαμψὼν[6] ἥλιον Θεόν· ἀλλὰ λύσας τὰ ἀπ' αἰῶνος δεσμά, τοὺς ἀλλοφύλους καὶ παρανόμους ἀπώλεσεν. Ἔδυ Θεὸς ἥλιος Χριστὸς ὑπὸ γῆν, καὶ σκότος πανέσπερον Ἰουδαίοις πεποίηκεν[7]. Σήμερον σωτηρία τοῖς ἐπὶ γῆς[8], καὶ τοῖς ἀπ' αἰῶνος ὑποκάτω τῆς γῆς· σήμερον σωτηρία τῷ κόσμῳ, ὅσος ὁρατός, καὶ ὅσος ἀόρατος. Διττὴ σήμερον τοῦ Δεσπότου παρουσία, διττὴ ἡ οἰκονομία, διττὴ φιλανθρωπία, διττὴ ἡ κατάβασις ὁμοῦ καὶ συγκατάβασις, διττὴ πρὸς ἀνθρώπους ἐπίσκεψις· ἀπ' οὐρανοῦ ἐπὶ τὴν γῆν, ἀπὸ τῆς γῆς ὑποκάτω τῆς γῆς ὁ Θεὸς παραγίνεται· πύλαι ᾅδου ἀνοίγονται[9]. Οἱ ἀπ' αἰῶνος κεκοιμημένοι, ἀγάλλεσθε· οἱ ἐν σκότει καὶ σκιᾷ θανάτου καθήμενοι, τὸ μέγα φῶς ὑποδέξασθε[10]. Μετὰ τῶν δούλων ὁ Δεσπότης· μετὰ τῶν νεκρῶν ὁ Θεός· μετὰ τῶν θνητῶν ἡ ζωή· μετὰ τῶν ὑπευθύνων ὁ ἀνεύθυνος· μετὰ τῶν ἐν σκότει τὸ ἀνέσπερον φῶς· μετὰ τῶν αἰχμαλώτων ὁ ἐλευθερωτής· καὶ μετὰ τῶν κατωτάτω ὁ ὑπεράνω τῶν οὐρανῶν. Χριστὸς ἐπὶ γῆς, πεπιστεύκαμεν· Χριστὸς ἐν νεκροῖς, συγκατέλθωμεν καὶ θεάσωμεν καὶ τὰ ἐκεῖ μυστήρια·

---

**1.** Πρβλ. Ματθ. 27,52. **2.** Πρβλ. Ψαλ. 2,1. **3.** Πρβλ. Ἐφ. 2,20. Α' Πέτρ. 2,6. **4.** Πρβλ. Πράξ. 5,30. **5.** Πρβλ. Α' Κορ. 10,4. **6.** Πρβλ. Κριτ. 13,24. **7.** Πρβλ. Ματθ. 27,45. **8.** Πρβλ. Λουκ. 19,9. Ἑβρ. 5,9. **9.** Πρβλ. Ματθ. 16,18. **10.** Πρβλ. Ματθ. 4,16. Ἡσ. 9,1.



γνῶμεν κρυπτοῦ κρυπτὰ ὑπὸ γῆν θαυμάσια[1]· μάθωμεν πῶς καὶ τοῖς ἐν ᾅδου ἐπεφάνη τὸ κήρυγμα[2].

Τί οὖν; πάντας ἁπλῶς σώζει ἐπιφανεὶς ἐν ᾅδῃ Θεός· οὐχί, ἀλλὰ κἀκεῖ τοὺς πιστεύσαντας[3]. Χθὲς τὰ **[441]** τῆς οἰκονομίας, σήμερον τὰ τῆς ἐξουσίας· χθὲς τὰ τῆς ἀσθενείας, σήμερον τὰ τῆς αὐθεντίας· χθὲς τὰ τῆς ἀνθρωπότητος, σήμερον τὰ τῆς θεότητος ἐνδείκνυται. Χθὲς ἐρραπίζετο[4], σήμερον τῇ ἀστραπῇ τῆς θεότητος τὸ τοῦ ᾅδου ῥαπίζει οἰκητήριον· χθὲς ἐδεσμεῖτο[5], σήμερον ἀλύτοις δεσμοῖς καταδεσμεῖ τὸν τύραννον· χθὲς κατεδικάζετο[6], σήμερον τοῖς καταδίκοις ἐλευθερίαν χαρίζεται· χθὲς ὑπουργοὶ τοῦ Πιλάτου αὐτῷ ἐνέπαιζον[7], σήμερον οἱ πυλωροὶ τοῦ ᾅδου ἰδόντες αὐτόν, ἔφριξαν[8]. Ἀλλὰ γὰρ ἄκουσον τοῦ Χριστοῦ πάθους[9] τὸν λόγον ἀνώτερον ἄκουσον, καὶ ὕμνησον· ἄκουσον, καὶ δόξασον· ἄκουσον, καὶ κήρυξον Θεοῦ μεγάλα θαυμάσια· πῶς ὁ νόμος ὑποχωρεῖ· πῶς ἡ χάρις ἐπανθεῖ· πῶς οἱ τύποι παρέρχονται· πῶς αἱ σκιαὶ διαβαίνουσιν· πῶς ὁ ἥλιος τὴν οἰκουμένην πληροῖ· πῶς ἡ Παλαιὰ πεπαλαίωται· πῶς ἡ Καινὴ βεβαιοῦται· πῶς τὰ «ἀρχαῖα παρῆλθεν»[10], καὶ πῶς τὰ νέα ἐπήνθησε. Δύο λαοὶ ἐν Σιὼν κατὰ τοῦ Χριστοῦ πάθους καιρὸν παραγεγόνασι· ὁ ἐξ Ἰουδαίων ὁμοῦ, καὶ ὁ ἐξ ἐθνῶν· δύο βασιλεῖς, Πιλᾶτος[11] καὶ Ἡρώδης[12]· δύο ἀρχιερεῖς, Ἄννας καὶ Καϊάφας[13] ἵνα τὰ δύο ὁμοῦ πάσχα γένωνται, τὸ μὲν καταπαυόμενον, τὸ δὲ τοῦ Χριστοῦ ἐναρχόμενον· δύο θυσίαι κατ' αὐτὴν τὴν ἑσπέραν ἐπετελοῦντο· ἐπειδὴ καὶ σωτηρίαι, ζώντων λέγω καὶ νεκρῶν, ἐπραγματεύοντο. Καὶ ὁ μὲν Ἰουδαῖος ἐδέσμει θύων ἀμνὸν ἐπὶ σφαγήν[14], ὁ δὲ ἐξ ἐθνῶν Θεὸν ἐν σαρκί. Καὶ ὁ μὲν τῇ σκιᾷ ἠτένιζεν· ὁ δὲ τῷ ἡλίῳ Θεῷ προσέτρεχε. Καὶ οἱ μὲν δήσαντες Χριστὸν ἀπεπέμποντο[15], οἱ δὲ ἐξ ἐθνῶν προθύμως αὐτὸν ἐδέχοντο. Καὶ οἱ μὲν κτηνόθυτον, οἱ δὲ θεόσωμον θυσίαν προσέφερον[16]. Ἀλλ' οἱ μὲν Ἰουδαῖοι τὴν ἐξ Αἰγύπτου διάβασιν[17] ἐμνη-

---

**1.** Πρβλ. Ματθ. 10,26. **2.** Πρβλ. Α' Πέτρ. 4,6. **3.** Πρβλ. Α' Πέτρ. 4,5-6. **4.** Πρβλ. Μάρκ. 14,65. **5.** Πρβλ. Ματθ. 27,15. **6.** Πρβλ. Ματθ. 27,24 ἑξ.. **7.** Πρβλ. Ματθ. 27,29. **8.** Πρβλ. Ματθ. 16,18. Ἰώβ 38,17. **9.** Πρβλ. Α' Πέτρ. 2,21. **10.** Β' Κορ. 5,17. **11.** Πρβλ. Ματθ. 27,2. **12.** Πρβλ. Λουκ. 13,31. **13.** Πρβλ. Ἰω. 18,13-14. **14.** Πρβλ. Ρωμ. 8,36. **15.** Πρβλ. Μάρκ. 15,1. **16.** Πρβλ. Ἑβρ. 9,26. Ἐφ. 5,2. **17.** Πρβλ. Ἑβρ. 11,29.

μόνευον, οἱ δὲ ἐξ ἐθνῶν τὴν ἐκ τῆς πλάνης λύτρωσιν προεκηρύττοντο.

Καὶ ταῦτα ποῦ; ἐν Σιὼν τῇ πόλει τοῦ Βασιλέως τοῦ μεγάλου[1] ἐν ᾗ εἰργάσατο σωτηρία ἐν μέσῳ τῆς γῆς, ἐν μέσῳ δύο ζώων γνωσθεὶς Ἰησοῦς ὁ θεόπαις· ἐν μέσῳ Πατρὸς καὶ Πνεύματος τῶν δύο ζωῶν, ζωὴ ἐκ ζωῆς, φησί, ζωὸς γνωριζόμενος, καὶ ἐν μέσῳ ἀγγέλων καὶ ἀνθρώπων τῇ φάτνῃ τικτόμενος[2] καὶ ἐν μέσῳ δύο λαῶν λίθος ἀκρογωνιαῖος[3] κείμενος· καὶ ἐν μέσῳ νόμου καὶ προφητῶν ὁμοῦ κηρυττόμενος[4]· καὶ ἐν μέσῳ Μωϋσῇ καὶ Ἠλία ἐπὶ τοῦ ὄρους ὀπτανόμενος[5] καὶ ἐν μέσῳ τῶν δύο ληστῶν Θεὸς τῷ εὐγνώμονι ληστῇ[6] γνωριζόμενος· καὶ ἐν μέσῳ τῆς παρούσης ζωῆς καὶ τῆς μελλούσης κριτὴς αἰώνιος καθεζόμενος[7], καὶ ἐν μέσῳ σήμερον ζώντων καὶ νεκρῶν διττὴν ζωὴν καὶ σωτηρίαν ποιησάμενος. Διττὴν πάλιν λέγω ζωήν, διττὴν γέννησιν ὁμοῦ καὶ ἀναγέννησιν, καὶ ἄκουσον Χριστοῦ διττοῦ τόκου τὰ πράγματα, καὶ κρότει τὰ θαύματα. Ἄγγελος μὲν τῇ Μαρίᾳ μητρικὴν τοῦ Χριστοῦ γέννησιν εὐηγγελίσατο[8]· ἄγγελος δὲ τῇ Μαρίᾳ τῇ Μαγδαληνῇ τὴν ἐκ τοῦ τάφου φρικτὴν ἀναγέννησιν εὐηγγελίσατο[9]. Νυκτὶ Χριστὸς ἐν Βηθλεὲμ γεννᾶται[10] νυκτὶ πάλιν ἐν **[444]** τῇ Σιὼν ἀναγεννᾶται[11]. Σπάργανα εἰς τὴν γέννησιν καταδέχεται[12] σπάργανα καὶ ἐνταῦθα κατατυλίττεται[13]. Σμύρναν γεννηθεὶς ἐδέξατο[14]· σμύρναν καὶ ἐν τῇ ταφῇ καὶ ἀλοὴν καταδέχεται[15]. Ἐκεῖ Ἰωσὴφ ἄνανδρος ἀνὴρ τῆς Μαρίας προσηγόρευται[16]· ἀλλ' ὧδε Ἰωσὴφ ὁ ἐξ Ἀριμαθαίας κηδευτὴς τῆς ζωῆς ἡμῶν ἀναδείκνυται[17]. Ἐν Βηθλεὲμ καὶ ἐν φάτνῃ ὁ τόπος[18], ἀλλὰ καὶ ἐν τῷ τάφῳ ὡς ἐπὶ φάτνης ὁ τόπος. Πρῶτοι πάντων ποιμένες τὴν Χριστοῦ εὐηγγελίζοντο γέννησιν[19]· ἀλλὰ καὶ πρῶτοι πάντων ποιμένες Χριστοῦ μαθηταὶ εὐηγγελίσθησαν τοῦ Χριστοῦ τὴν ἐκ νεκρῶν ἀναγγέννησιν[20]. Ἐκεῖ, Χαῖρε, ὁ

---

**1.** Πρβλ. Ματθ. 5,35. **2.** Πρβλ. Λουκ. 2,7. **3.** Πρβλ. Α' Πέτρ. 2,6. Ἐφ. 2,20. **4.** Πρβλ. Ἰω. 1,45. **5.** Πρβλ. Ματθ. 17,3. **6.** Πρβλ. Λουκ. 23,40-43. **7.** Πρβλ. Πράξ. 10,42. **8.** Πρβλ. Λουκ. 1,26 ἑξ. **9.** Πρβλ. Ματθ. 28,1. **10.** Πρβλ. Λουκ. 2,7 ἑξ. **11.** Πρβλ. Λουκ. 24,5. **12.** Πρβλ. Λουκ. 2,7. **13.** Πρβλ. Ἰω. 19,40. **14.** Πρβλ. Ματθ. 2,11. **15.** Πρβλ. Ἰω. 19,39. **16.** Πρβλ. Ματθ. 1,16. **17.** Πρβλ. Ματθ. 27,57 ἑξ. **18.** Πρβλ. Λουκ. 2,7. **19.** Πρβλ. Λουκ. 2,8. **20.** Πρβλ. Λουκ. 24,9. Ἰω. 20,17.



ἄγγελος τῇ Παρθένῳ ἐβόησε[1]· καὶ ἐνταῦθα, Χαίρετε, ὁ τῆς μεγάλης βουλῆς ἄγγελος[2] Χριστὸς ταῖς γυναιξὶ ἀνακέκραξεν[3]. Ἐν τῇ πρώτῃ γεννήσει Χριστὸς μετὰ τεσσαράκοντα ἡμέρας εἰσῆλθεν εἰς τὴν ἐπίγειον Ἱερουσαλήμ, εἰς τὸν ναόν, καὶ προσήγαγεν ὡς πρωτότοκος ζεῦγος τρυγόνων Θεῷ[4]· ἀλλὰ καὶ ἐν τῇ ἐκ νεκρῶν ἀναστάσει Χριστὸς μετὰ τεσσαράκοντα ἡμέρας ἀνῆλθεν εἰς τὴν ἄνω Ἱερουσαλήμ[5], ὅθεν οὐκ ἐχωρίζετο, καὶ εἰς τὰ ὄντως Ἅγια τῶν Ἁγίων ὡς πρωτότοκος ἄφθαρτος ἐκ νεκρῶν, καὶ προσήγαγε τῷ Θεῷ καὶ Πατρὶ ὡς δύο ἀμώμους τρυγόνας, τὴν ψυχὴν καὶ τὴν σάρκα τὴν ἡμετέραν· ὃν καὶ ὑπεδέξατο, ὡς Συμεών τις, ὁ «Παλαιὸς τῶν ἡμερῶν»[6] Θεὸς καὶ Πατήρ, ὡς ἐν ἀγκάλαις ἐν ἰδίοις κόλποις ἀπεριγράπτως. Ἐὰν δὲ μυθικῶς ταῦτα καὶ οὐ πιστῶς ἀκούῃς, κατηγοροῦσί σου αἱ ἄλυτοι σφραγῖδες τοῦ Δεσποτικοῦ τῆς ἀναγεννήσεως Χριστοῦ μνήματος. Ὥσπερ γὰρ ἐσφραγισμένων τῶν πανεμφύτων μητρανοίκτων κλείθρων τῆς παρθενικῆς φύσεως Χριστὸς ἐκ Παρθένου γεγέννηται[7]· οὕτως ἀδιανοίκτων ὄντων τῶν τοῦ τάφου σφραγίδων ἡ Χριστοῦ ἀναγέννησις πέπρακται. Πῶς δὲ ἐν τάφῳ καὶ πότε, καὶ ὑπὸ τίνων Χριστὸς ἡ ζωὴ κατατίθεται, τῶν ἱερῶν λογίων ἀκούσωμεν.

Ὀψίας γενομένης, φησίν, ἦλθεν ἄνθρωπος πλούσιος τοὔνομα Ἰωσήφ· οὗτος τολμήσας εἰσῆλθεν πρὸς Πιλᾶτον καὶ ᾐτήσατο παρ' αὐτοῦ τὸ σῶμα τοῦ Ἰησοῦ[8]. Εἰσῆλθεν βροτὸς πρὸς βροτόν, αἰτούμενος λαβεῖν τὸν Θεόν· τὸν Θεὸν τῶν βροτῶν αἰτεῖται· πηλὸς παρὰ πηλοῦ λαβεῖν τὸν πάντων πλαστουργόν· ὁ χόρτος παρὰ χόρτου κομίσασθαι τὸ οὐράνιον πῦρ· ἡ σταγὼν ἡ οἰκτρὰ παρὰ σταγόνος οἰκτρᾶς λαμβάνει τὴν ἄβυσσον. Τίς ἴδε; τίς ἤκουσε πώποτε; Ἄνθρωπος ἀνθρώπῳ τὸν ποιητὴν τῶν ἀνθρώπων χαρίζεται· ἄνομος τῶν ἀνόμων τὸν ὅρον καὶ τοῦ νόμου ὑπισχνεῖται χαρίζεσθαι· κριτὴς ἄκριτος ὡς κατάκριτον τὸν κριτὴν τῶν κριτῶν εἰς ταφὴν ἀφίησιν.

Ὀψίας γενομένης, φησίν, ἦλθεν ἄνθρωπος πλούσιος τοὔνο-

---

**1.** Πρβλ. Λουκ. 1,28. **2.** Πρβλ. Ἡσ. 9,5. **3.** Πρβλ. Ματθ. 28,9. **4.** Πρβλ. Λουκ. 2,24. **5.** Πρβλ. Λουκ. 24,51. **6.** Δαν. 7,9. **7.** Πρβλ. Ματθ. 1,23. **8.** Πρβλ. Ματθ. 27,57-58. Μάρκ. 15,42-43.

μα Ἰωσήφ[1]. Ὄντως πλούσιος, πᾶσαν τὴν σύνθετον τοῦ Κυρίου ὑπόστασιν κομισάμενος· ἀληθῶς πλούσιος, ὅτι τὴν διττὴν οὐσίαν τοῦ Χριστοῦ παρὰ Πιλάτου ἔλαβε· καὶ γὰρ πλούσιος, ὅτι τὸν ἀτίμητον μαργαρίτην ἠξιώθη κομίσασθαι. Ὄντως **[445]** πλούσιος· βαλάντιον γὰρ ἐβάστασε γέμον τοῦ θησαυροῦ τῆς θεότητος. Πῶς γὰρ οὐ πλούσιος ὁ τὴν τοῦ κόσμου ζωὴν καὶ σωτηρίαν κτησάμενος; πῶς δὲ οὐ πλούσιος Ἰωσήφ, δῶρον δεξάμενος τὸν πάντα τρέφοντα καὶ πάντα δεσπόζοντα; «Ὀψίας γενομένης»[2]· ἦν γὰρ λοιπὸν δύσας ἐν ᾅδῃ ὁ τῆς «δικαιοσύνης ἥλιος»[3]. «Διὸ ἦλθεν ἄνθρωπος πλούσιος τοὔνομα Ἰωσὴφ ἀπὸ Ἀριμαθαίας»[4], ὃς ἦν κρυβόμενος, διὰ τὸν φόβον τῶν Ἰουδαίων[5]. Ἦλθε δὲ καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτός[6]. Μυστήριον μυστηρίων ἀπόκρυφον. Δύο κρυπτοὶ μαθηταὶ κατακρύψαι Ἰησοῦν ἐν τάφῳ ἔρχονται, τὸ κρυπτὸν ἐν τῷ ᾅδῃ μυστήριον τοῦ κρυπτοῦ Θεοῦ ἐν σαρκὶ διὰ τῆς ἰδίας κρύψεως διδάσκοντες. Ἕτερος δὲ τὸν ἕτερον ὑπερβάλλων τῇ πρὸς Χριστὸν διαθέσει. Ὁ μὲν γὰρ Νικόδημος ἐν τῇ σμύρνῃ, καὶ ἐν τῇ ἀλόῃ μεγαλόψυχος[7]· ὁ δὲ Ἰωσὴφ ἐν τῇ πρὸς Πιλᾶτον τόλμῃ καὶ παῤῥησίᾳ ἀξιέπαινος[8]. Οὗτος γὰρ πάντα φόβον ἀποῤῥιψάμενος, τολμήσας εἰσῆλθε πρὸς Πιλᾶτον, αἰτούμενος τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ εἰσελθὼν πανσόφως ἐχρήσατο, ἵνα τοῦ ποθουμένου σκοποῦ ἐντὸς γένηται. Διὸ οὐκ ἐχρήσατο πρὸς Πιλᾶτον κόμποις τισὶ καὶ ὑψηλοῖς ῥήμασιν, ἵνα μὴ εἰς ὀργὴν τοῦτον ἐξάψας ἐκπέσῃ τῆς αἰτήσεως· οὐδὲ λέγει πρὸς αὐτόν· Δός μοι τὸ σῶμα τοῦ Ἰησοῦ, τοῦ πρὸ βραχέως τὸν ἥλιον σκοτίσαντος, τὰς πέτρας ῥήξαντος, καὶ τὴν γῆν δονήσαντος, καὶ τὰ μνημεῖα ἀνοίξαντος, καὶ τὸ καταπέτασμα τοῦ ναοῦ σχίσαντος[9]. Οὐδὲν τοσοῦτον πρὸς Πιλᾶτον λέγει.

Ἀλλὰ τί; αἴτησίν τινα οἰκτράν, καὶ τοῖς πᾶσι μικράν. Ὦ κριτά, αἰτούμενος παρὰ σοῦ ἐλήλυθα αἴτησιν πάνυ μικράν. Καὶ οὕτως· Δός μοι νεκρὸν πρὸς ταφήν· τὸ σῶμα ἐκείνου τοῦ παρὰ

---

**1.** Πρβλ. Ματθ. 27,57-58. Μάρκ. 15,42-43. **2.** Ματθ. 27,57. Μάρκ. 15,42. **3.** Μαλ. 3,20. **4.** Ματθ. 27,5. Μάρκ. 15,42. **5.** Πρβλ. Ἰω. 19,38. **6.** Ἰω. 19,39. **7.** Πρβλ. Ἐνθ' ἀν. **8.** Πρβλ. Μάρκ. 15,43. **9.** Πρβλ. Ματθ. 27,51. Λουκ. 23,45.



σοῦ κατακριθέντος Ἰησοῦ τοῦ Ναζαρινοῦ, Ἰησοῦ τοῦ πτωχοῦ, Ἰησοῦ τοῦ ἀοίκου, Ἰησοῦ τοῦ κρεμαμένου, τοῦ γυμνοῦ, τοῦ εὐτελοῦς, Ἰησοῦ τοῦ τέκτονος υἱοῦ[1], Ἰησοῦ τοῦ δεσμίου, τοῦ αἰθρίου, τοῦ ξένου, καὶ ἐπὶ ξενίᾳ ἀγνωρίστου, τοῦ εὐκαταφρονήτου, καὶ ἐπὶ πᾶσι κρεμαμένου. Δός μοι τοῦτον τὸν ξένον· τί γάρ σε ὠφελεῖ τὸ σῶμα τούτου τοῦ ξένου; Δός μοι τοῦτον τὸν ξένον· ἐκ μακρᾶς γὰρ ἦλθεν ὧδε τῆς χώρας, ἵνα σώσῃ τὸν ξένον· κατῆλθε γὰρ εἰς τὴν σκοτεινὴν ἀνενέγκαι τὸν ξένον. Δός μοι τοῦτον τὸν ξένον· αὐτὸς γὰρ καὶ μόνος ὑπάρχει ξένος. Δός μοι τοῦτον τὸν ξένον, οὗτινος τὴν χώραν ἀγνοοῦμεν οἱ ξένοι. Δός μοι τοῦτον τὸν ξένον, οὗτινος τὸν Πατέρα ἀγνοοῦμεν οἱ ξένοι. Δός μοι τοῦτον τὸν ξένον, οὗτινος τὸν τόπον καὶ τὸν τόκον, καὶ τὸν τρόπον ἀγνοοῦμεν οἱ ξένοι. Δός μοι τοῦτον τὸν ξένον, τὸν ξένην ζωὴν καὶ βίον ζήσαντα ἐπὶ ξένα. Δός μοι τοῦτον τὸν Ναζωραῖον ξένον [οὗ τὸν τόκον καὶ τὸν τρόπον ἀγνοοῦμεν οἱ ξένοι. Δός μοι τοῦτον τὸν ἑκούσιον ξένον], τὸν μὴ ἔχοντα ὧδε ποῦ τὴν κεφαλὴν κλίνῃ[2]. Δός μοι τοῦτον τὸν ξένον, **[448]** τὸν ὡς ξένον ἐπὶ ξένης ἄοικον, ἐπὶ φάτνης τεχθέντα[3]. Δός μοι τοῦτον τὸν ξένον, τὸν ἐξ αὐτῆς τῆς φάτνης ὡς ξένον ἐξ Ἡρώδου φυγόντα[4]. Δός μοι τοῦτον τὸν ξένον, τὸν ἐξ αὐτῶν τῶν σπαργάνων ἐν Αἰγύπτῳ ξενωθέντα[5], οὐ πόλιν ἔχοντα, οὐ κώμην, οὐκ οἶκον, οὐ μονήν, οὐ συγγενῆ· ἐπ' ἀλλοδαπῆς δὲ χώρας τυγχάνει οὗτος ὁ ξένος. Δός μοι, ὦ ἡγεμών, τοῦτον τὸν ἐπὶ ξύλου γυμνόν· σκεπάσω τὸν τῆς ἐμῆς φύσεως σκεπάσαντα γύμνωσιν. Δός μοι τοῦτον τὸν νεκρὸν ὁμοῦ καὶ Θεόν· σκεπάσω τὸν τὰς ἐμὰς ἀνομίας καλύψαντα. Δός μοι, ὦ ἡγεμών, νεκρόν, τὸν ἐπὶ Ἰορδάνου τὴν ἐμὴν ἁμαρτίαν ἐνθάψαντα[6]. Ὑπὲρ νεκροῦ παρακαλῶ ὑπὸ πάντων ἀδικηθέντος, ὑπὸ φίλου πραθέντος, ὑπὸ μαθητοῦ προδοθέντος[7], ὑπὸ ἀδελφῶν διωχθέντος, καὶ ὑπὸ δούλου ῥαπισθέντος[8]. Ὑπὲρ νεκροῦ πρεσβεύω, τοῦ ὑπὸ τῶν ὑπ' αὐτοῦ ἐκ δουλείας ἐλευθερωθέντων κατακριθέντος, τοῦ ὑπ' αὐ-

---

**1.** Πρβλ. Ματθ. 13,55. Μάρκ. 6,3. **2.** Πρβλ. Ματθ. 8,20. **3.** Πρβλ. Λουκ. 2,7.12,16. **4.** Πρβλ. Ματθ. 2,12,13,15. **5.** Πρβλ. Ματθ. 2,14-15. **6.** Πρβλ. Ματθ. 3,15. **7.** Πρβλ. Ματθ. 26,14 ἑξ. **8.** Πρβλ. Μάρκ. 14,65.

τοῦ ὄξος ποτισθέντος[1], τοῦ ὑπὸ τῶν ἰαθέντων ὑπ' αὐτοῦ τραυματισθέντος, τοῦ ὑπὸ τῶν μαθητῶν καταλειφθέντος[2], καὶ αὐτῆς τῆς μητρὸς ἀποστερηθέντος. Ὑπὲρ νεκροῦ, ὦ ἡγεμών, δυσωπῶ, τοῦ ἐπὶ ξύλου κρεμαμένου ἀοίκου. Οὐ γὰρ πάρεστι τούτῳ οὐ Πατὴρ ἐπὶ γῆς, οὐ φίλος, οὐ μαθητής, οὐ συγγενής, οὐκ ἐνταφιαστής· ἀλλ' αὐτὸς μόνος τοῦ μόνου Μονογενής[3], ἐν κόσμῳ Θεός, καὶ ἄλλος οὐδείς.

Τούτων οὕτως ὑπὸ Ἰωσὴφ πρὸς Πιλᾶτον εἰρημένων, ἐκέλευσεν ὁ Πιλᾶτος δοθῆναι αὐτῷ τὸ πανάγιον σῶμα τοῦ Ἰησοῦ[4]. Καὶ ἐλθὼν ἐπὶ τὸν Γολογθὰ τόπον[5], καθεῖλε Θεὸν ἐν σαρκὶ ἀπὸ τοῦ ξύλου, καὶ τίθησιν ἐπὶ γῆν· Θεὸν ἐν σαρκὶ γυμνόν[6], καὶ ἄνθρωπον οὐ ψιλόν. Καὶ ὁρᾶται κείμενος κάτω, ὁ πάντας ἑλκύσας ἄνω· καὶ γίνεται πρὸς βραχὺ ἄπνους, ἡ πάντων ζωὴ καὶ πνοή· καὶ ὁρᾶται ἀόμματος, ὁ κτίσας τὰ πολυόμματα· καὶ κεῖται ὕπτιος, ἡ πάντων ἀνάστασις· καὶ νεκροῦται σαρκὶ Θεός, ὁ τοὺς νεκροὺς ἀνιστῶν· καὶ σιγᾷ πρὸς βραχὺ ἡ τοῦ Θεοῦ λόγου βροντή· καὶ αἴρεται παλάμαις, ὁ τὴν γῆν κατέχων δρακί[7]. Ἆρα γάρ, ἆρα, ὦ Ἰωσήφ, αἰτήσας καὶ λαβών, οἶδας ὃν εἴληφας; ἆρα προσελθὼν τῷ σταυρῷ, καθελὼν Ἰησοῦν, οἶδας τίνα ἐβάστασας; Εἰ ὄντως οἶδας ὃν κρατεῖς, νῦν γέγονας πλούσιος. Πῶς δὲ ἄρα καὶ τὴν θεόσωμον ταύτην καὶ φρικωδεστάτην Ἰησοῦ ἐπιτελεῖς κηδείαν; Ἐπαινετός σου ὁ πόθος· ἀλλ' ἐπαινετώτερος ὁ τῆς ψυχῆς σου τρόπος. Ἆρα γάρ, ἆρα οὐ φρίττεις, ὃν τὰ χερουβὶμ φρίττουσιν, ἐπὶ χειρῶν βαστάζων; ἢ ποίῳ φόβῳ πάντως τῆς θείας ἐκείνης σαρκὸς ἀπογυμνοῖς τὸ λέντιον; πῶς δὲ δὴ εὐλαβῶς τὸ ὄμμα κατέστελλες; οὐ φρίττεις ἐνατενίζων, ἀνακαλύπτων φύσιν σαρκὸς Θεοῦ, τοῦ ὑπὲρ φύσιν; Ἆρα γάρ, ἆρα, εἰπέ μοι, ὦ Ἰωσήφ, καὶ πρὸς ἀνατολὰς καταθάπτεις νεκρόν, τὴν ἀνατολὴν τῶν ἀνατολῶν; ἆρα δὲ καὶ τοῖς σοῖς δακτύλοις νεκροπρεπῶς Ἰησοῦ κατακλείεις τὰ ὄμματα τοῦ τῷ ἀχράντῳ δακτύλῳ τοῦ τυφλοῦ ἀνοίξαντος ὄμμα[8]; ἆρα δὲ καὶ τὸ στόμα περικλείεις τοῦ τὸ μογιλάλου ἀνοίξαντος στόμα[9]; ἆρα δὲ καὶ χεῖρας

**1.** Πρβλ. Ματθ. 27,48. **2.** Πρβλ. Ματθ. 26,40. Μάρκ. 14,50. **3.** Πρβλ. Ἰω. 3,16,18. **4.** Πρβλ. Μάρκ. 15,43. **5.** Πρβλ. Ματθ. 27,33. **6.** Πρβλ. Ματθ. 25,36. **7.** Πρβλ. Ἠσ. 40,12. **8.** Πρβλ. Μάρκ. 8,22 ἑξ. **9.** Μάρκ. 7,32 ἑξ.



περιστέλλεις τοῦ ἐκτείναντος τὰς ξηρανθείσας χεῖρας[1]; ἢ καὶ **[449]** τοὺς πόδας νεκροπρεπῶς καταδεσμεῖς τοῦ τὸ βαδίζειν δόντος τοῖς ἀκινήτοις ποσίν; ἆρα καὶ ἐπὶ κλίνης αἴρεις τὸν τῷ παραλύτῳ κελεύσαντα· «Ἆρον σοῦ τὸν κράβατον, καὶ περιπάτει»[2]; ἆρα δὲ καὶ μύρα κενοῖς[3] τῷ οὐρανίῳ μύρῳ τὰ ἑαυτοῦ κενώσαντι, καὶ κόσμον ἁγιάσαντι; ἆρα καὶ τὴν θεόσωμον ἔτι αἱμοῤῥοοῦσαν ἐκείνην Ἰησοῦ ἐκμάξαι τολμᾷς πλευράν[4], τοῦ τὴν αἱμοῤῥοοῦσαν ἰασαμένου Θεοῦ[5]; ἆρα δὲ καὶ ὕδατι καταπλύνεις σῶμα Θεοῦ, τοῦ πάντας ἐκπλύναντος, καὶ τὴν κάθαρσιν δόντος; Ποίας δὲ ἆρα καὶ λαμπάδας ὑπανάψεις τῷ φωτὶ τῷ ἀληθινῷ, τῷ φωτίσαντι πάντα ἄνθρωπον[6]; ποίας δὲ καὶ ᾄσεις ἐπιταφίους ᾠδὰς τῷ ἀσιγήτως αἰνουμένῳ ὑπὸ πάσης οὐρανίου στρατιᾶς[7]; ἆρα δὲ καὶ δακρυῤῥοεῖς ὡς νεκρὸν τὸν δακρύσαντα, καὶ νεκρὸν τετραήμερον τὸν Λάζαρον ἀναστήσαντα[8]; ἆρα δὲ καὶ θρήνους ποιεῖς τῷ τὴν χαρὰν πᾶσι διδόντι, καὶ τὴν λύπην τῆς Εὔας διαλύσαντι;

Ὅμως μακαρίζω σου τὰς χεῖρας, ὦ Ἰωσήφ, ὑπουργησάσας, καὶ ψηλαφησάσας ἔτι αἱμοῤῥοούσας τὰς θεοσώμους Ἰησοῦ χεῖρας καὶ πόδας· μακαρίζω σου τὰς χεῖρας προσεγγισάσας τῇ τοῦ Θεοῦ αἱμοῤῥοούσῃ πλευρᾷ[9], πρὸ Θωμᾶ τοῦ πιστοῦ ἀπίστου καὶ ἐπαινουμένου περιέργου[10]· μακαρίζω σου τὸ στόμα ἐμπλησθὲν ἀπλήστως καὶ ἑνωθὲν πρὸς Ἰησοῦ τὸ στόμα, καὶ Πνεύματος Ἁγίου ἐκεῖθεν πληρωθέν· μακαρίζω σου τοὺς ὀφθαλμοὺς προστεθέντας τοῖς τοῦ Ἰησοῦ ὀφθαλμοῖς, καὶ «τὸ φῶς τὸ ἀληθινὸν»[11] ἐκεῖθεν μεταλαχόντας· μακαρίζω σου τὸ πρόσωπον προσπελάσαν πρὸς τὸ τοῦ Θεοῦ πρόσωπον· μακαρίζω σου τοὺς ὤμους βαστάσαντας τὸν πάντας βαστάζοντα· μακαρίζω σου τὴν κεφαλὴν [ἐν] ᾗ προσήγγισεν Ἰησοῦς πάντων κεφαλή· μακαρίζω σου τὰς χεῖρας, ἐν αἷς ἐβάστασας τὸν βαστάζοντα πάντα· μακαρίζω Ἰωσὴφ καὶ Νικόδημον[12]. Γεγόνασι γὰρ πρὸ τῶν χερουβὶμ Θεὸν ἐν ἑαυτοῖς ὑψώσαντες καὶ φέροντες· γεγόνασι, πρὸ

**1.** Πρβλ. Μάρκ. 3,1 ἑξ. **2.** Ἰω. 5,8. **3.** Πρβλ. Ἰω. 19,40. **4.** Πρβλ. Ἰω. 19,34. **5.** Πρβλ. Ματθ. 9,20. **6.** Πρβλ. Ἰω. 1,9. **7.** Πρβλ. Ψαλ. 148,2. Λουκ. 2,13. **8.** Πρβλ. Ἰω. 11,33 ἑξ. **9.** Πρβλ. Ἰω. 19,34. **10.** Πρβλ. Ἰω. 20,27. **11.** Ἰω. 1,9. **12.** Πρβλ. Ἰω. 19,38,39.

τῶν ἑξαπτερύγων Θεοῦ ὑπουργοί, οὐ πτέρυξιν[1], ἀλλὰ σινδόσι τὸν Κύριον καλύψαντες[2], καὶ τιμήσαντες. Ὃν τὰ χερουβὶμ τρέμουσι, τοῦτον ἐπὶ τῶν ὤμων Ἰωσὴφ καὶ Νικόδημος φέρουσι, καὶ πᾶσαι αἱ τῶν ἀσωμάτων τάξεις ἐξίστανται. Ἦλθε γὰρ Ἰωσὴφ καὶ Νικόδημος· οὐκοῦν συνέδραμε πᾶς καὶ ὁ τῶν ἀγγέλων θεόδημος· καὶ προφθάνει χερουβίμ, καὶ συντρέχει σεραφίμ, καὶ συμβαστάζουσι θρόνοι, καὶ καλύπτουσι τὰ ἑξαπτέρυγα, καὶ φρίττουσι τὰ πολυόμματα, ὁρῶντα ἐν σαρκὶ Ἰησοῦν ἀόμματον, καὶ συγκαλύπτουσι δυνάμεις, καὶ ᾄδουσιν αἱ ἀρχαί, καὶ φρίττουσιν αἱ τάξεις, καὶ ἐξίστανται πᾶσαι αἱ στρατιαὶ τῶν μεταρσίων ταγμάτων, καὶ θαμβούμεναι πρὸς ἑαυτὰς διαποροῦσι, καὶ λέγουσι· Τίς οὗτος ὁ φοβερὸς λόγος, καὶ φόβος, καὶ τρόμος, καὶ τρόπος; τί τοῦτο τὸ μέγα, καὶ παράδοξον, καὶ ἀκατάληπτον θέαμα; Ὁ ἄνω ἡμῖν τοῖς ἀσωμάτοις ὡς Θεὸς γυμνός, ἀθεώρητος, κάτω βροτοῖς γυμνὸς εὐθεώρητος.

**[452]** Ὧ παρίστανται χερουβὶμ μετ' εὐλαβείας, τοῦτον Ἰωσὴφ καὶ Νικόδημος κηδεύουσι μετ' ἀδείας[3]. Πότε κατῆλθεν ὁ τὰ ἄνω μὴ λιπών; πῶς ἐξῆλθεν ὁ ἔσω ὤν; πῶς ἦλθεν ἐπὶ γῆς ὁ τὰ πάντα πληρῶν; πῶς ἐξέδυ ὁ πάντας λαθών; Ὁ ἄνω μετὰ Πατρὸς ὡς Θεὸς ἀνελλιπής, κάτω μετὰ τῆς μητρὸς ὡς βροτὸς [ἀληθῶς] ἀνελλιπῶς. Ὁ οὐ πώποτε ἡμῖν ἐκφανείς, πῶς ἀνθρώποις ὡς ἄνθρωπος ὁμοῦ καὶ φιλάνθρωπος Θεὸς ἐπιφαίνεται; πῶς ὁ ἀόρατος ὠράθη; πῶς ὁ ἄϋλος ἐσαρκώθη[4]; πῶς ὁ ἀπαθὴς ἔπαθε[5]; πῶς ὁ κριτὴς[6] εἰς κριτήριον παρέστη; πῶς «ἡ ζωὴ»[7] θανάτου ἐγεύσατο; πῶς ὁ ἀχώρητος ἐν τάφῳ χωρεῖται; πῶς οἰκεῖ τὸ μνῆμα ὁ μὴ λιπὼν τὸν κόλπον τὸν πατρικόν; πῶς σπηλαίου πύλην εἰσέρχεται ὁ πύλας τοῦ Παραδείσου ἀνοίξας, τὰς δὲ πύλας τῆς Παρθένου μὴ διαῤῥήξας, ἀλλὰ πύλας τοῦ ᾅδου συντρίψας[8], ὁ πύλας ἐπὶ Θωμᾷ μὴ ἀνοίξας, ἀλλὰ πύλας τῆς βασιλείας ἀνθρώποις διανοίξας[9], τὰς δὲ πύλας τοῦ τάφου καὶ σφραγῖδας ἀδιανοίκτους σώζων; Πῶς δὲ ἐν νεκροῖς λογίζεται ὁ ἐν νεκροῖς ἐλεύθερος[10]; πῶς τὸ φῶς[11] τὸ ἀνέσπερον ἐν

1. Πρβλ. Ἠσ. 6,2. 2. Πρβλ. Ματθ. 27,59. Μάρκ. 15,46. Λουκ. 23,53. 3. Πρβλ. Ἰω. 19,38 ἑξ. 4. Πρβλ. Ἰω. 1,14. 5. Πρβλ. Α' Πέτρ. 2,21. 6. Πρβλ. Πράξ. 10,42. Β' Τιμ. 4,8. 7. Ἰω. 11,25. 14,6. 8. Πρβλ. Ματθ. 16,18. 9. Πρβλ. Κολ. 1,13. 10. Πρβλ. Λουκ. 24,5. 11. Πρβλ. Ἰω. 1,9. 8,12.



σκοτεινοῖς καὶ σκιᾷ θανάτου[1] παραγίνετα; ποῦ πορεύεται; ποῦ παραγίνεται ὁ ὑπὸ θανάτου κρατηθῆναι μὴ δυνάμενος; Τίς ὁ λόγος; τίς ὁ τρόπος; τίς ἡ βουλὴ τῆς ἐν τῷ ᾅδῃ αὐτοῦ καταβάσεως; Τάχα τὸν Ἀδὰμ τὸν κατάδικον καὶ ἡμῶν σύνδουλον ἀνενέγκαι κατέρχεται. Ὄντως τὸν πρωτόπλαστον ὡς ἀπολωλὸς πρόβατον ἐπιζητῆσαι πορεύεται[2]. Πάντως καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους[3] βούλεται ἐπισκέψασθαι· πάντως τὸν αἰχμάλωτον Ἀδάμ, καὶ τὴν συναιχμάλωτον Εὔαν τῶν ὀδυνῶν λῦσαι πορεύεται ὁ Θεός, καὶ υἱὸς αὐτῆς [ὅθεν καὶ υἱὸς αὐτοῦ ἀναδέδεικται].

Ἀλλὰ συγκατέλθωμεν, ἀλλὰ συγχορεύσωμεν, ἀλλὰ σπεύσωμεν, ἀλλὰ συσκιρτήσωμεν, ἀλλὰ προπέμψωμεν, ἀλλὰ ἀνυμνήσωμεν, ἀλλὰ ταχύνωμεν, Θεοῦ καταλλαγὰς πρὸς ἀνθρώπους βλέποντες, καταδίκων ἀπόλυσιν ἐξ ἀγαθοῦ Δεσπότου γινομένην. Πορεύεται γὰρ ὁ φύσει φιλάνθρωπος ἐξάξαι τοὺς ἀπ' αἰῶνος δεσμίους ἐν ἀνδρείᾳ καὶ ἐξουσίᾳ πολλῇ, τοὺς κατοικοῦντας ἐν τάφοις[4], οὓς κατέπιεν τυραννικῶς ὁ πικρὸς καὶ ἀκόρεστος θάνατος τυραννήσας, καὶ ἐκ Θεοῦ ἀποσυλήσας ὁμοῦ τε καὶ σωρεύσας, τοῖς ἄνω κατοικοῦσιν ἐλευθερώσας συναριθμῆσαι. Ἐκεῖ δέσμιος Ἀδὰμ ὁ πρωτόπλαστος, καὶ πρωτογέννητος πάντων κατωτάτων καταδίκων κατώτερος[5]. Ἐκεῖ Ἄβελ ὁ πρωτόθνητος, καὶ πρωτοδίκαιος ποιμὴν Χριστοῦ ποιμένος τύπος τῆς ἀδίκου σφαγῆς[6]. Ἐκεῖ Νῶε[7] ὁ Χριστοῦ τύπος, τῆς μεγάλης κιβωτοῦ Θεοῦ Ἐκκλησίας κτιστής, τῆς τὰ θηριώδη ἔθνη πάντα ἐκ κατακλυσμοῦ ἀσεβείας διὰ περιστερᾶς, Ἁγίου Πνεύματος, διασωσάσης, καὶ τὸν ζοφερὸν κόρακα ἐκ ταύτης ἐξορισάσης. Ἐκεῖ Ἀβραὰμ[8] ὁ Χριστοπάτωρ θύτης, ὁ τὴν ξιφάξιφον ὁμοῦ, καὶ θνητάθνητον Θεῷ θύσας θυσίαν πανόλβιον. Ἐκεῖ κάτω δέσμιος Ἰσαὰκ[9] ὁ πάλαι δέσμιος Χριστός. **[453]** Τύπος ὑπὸ Ἀβραὰμ γενόμενος ἄνω. Ἐκεῖ Ἰακὼβ[10] ἐν ᾅδῃ κατώδυνος κάτω πρὶν διὰ Ἰωσὴφ κατώδυνος ἄνω. Ἐκεῖ Ἰωσὴφ ὁ δέσμιος, ὁ ἐν Αἰγύπτῳ γεγονὼς[11] ἐν τῷ δεσμωτηρίῳ εἰς Χριστοῦ τύπον δεσμώτης καὶ

1. Πρβλ. Ματθ. 4,16. 2. Πρβλ. Α' Πέτρ. 4,6. 3. Πρβλ. Ματθ. 4,16. 4. Πρβλ. Α' Πέτρ. 4,9. 5. Πρβλ. Α' Κορ. 15,22. 6. Πρβλ. Γεν. 4,8. 7. Πρβλ. Γεν. 6,9 ἑξ. 8. Πρβλ. Γεν. 22,1 ἑξ. 9. Πρβλ. Γεν. 22,2 ἑξ. 10. Πρβλ. Γεν. 25,26 ἑξ. 11. Πρβλ. Γεν. 39,20 ἑξ.

δεσπότης. Ἐκεῖ Μωϋσῆς[1] ἐν σκοτεινοῖς κάτω, ὁ ποτὲ ἐν τῇ θήκῃ ἐν σκοτεινοῖς ἄνω. Ἐκεῖ Δανιὴλ ἐν ᾅδῃ τῷ λάκκῳ, ὁ ἐν τῷ λάκκῳ ποτὲ τῶν λεόντων ἄνω[2]. Ἐκεῖ Ἱερεμίας ὡς ἐν λάκκῳ βορβόρου[3], ἐν τῷ λάκκῳ τοῦ ᾅδου καὶ τῆς φθορᾶς τοῦ θανάτου. Ἐκεῖ ἐν τῷ κοσμοδόχῳ κήτει τοῦ ᾅδου· κεῖται εἰς τύπον Ἰωνᾶς[4] Χριστοῦ τοῦ αἰωνίου καὶ προαιωνίου Ἰωνᾶ τοῦ ζῶντος εἰς αἰῶνα, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων [καὶ ἐπ' αἰῶνα]. Καὶ ἔτι ἐκεῖ Δαβὶδ ὁ Θεοπάτωρ, ἐξ οὗ τὸ κατὰ σάρκα Χριστός. Καὶ τί λέγω Δαβὶδ[5] καὶ Ἰωνᾶν καὶ Σολομῶντα[6]; Ἐκεῖ καὶ αὐτὸς ὁ πολὺς Ἰωάννης[7], ὁ μείζων πάντων τῶν προφητῶν[8], ὡς ἐν τῇ σκοτεινῇ μήτρᾳ Χριστὸν προκηρύττων τοῖς ἐν ᾅδῃ ἅπασιν· ὁ διττὸς πρόδρομος, καὶ κῆρυξ ζώντων καὶ νεκρῶν· ὁ ἐκ φυλακῆς Ἡρώδου τῇ πανδήμῳ φυλακῇ παραπεμφθεὶς τοῦ ᾅδου [ὅθεν] τῶν ἀπ' αἰῶνος δικαίων τε καὶ ἀδίκων κεκοιμημένων. Οἱ δὲ προφῆται τε καὶ δίκαιοι ἅπαντες λιτὰς ἀλήκτους κρυφιομύστως Θεῷ ἐκεῖθεν προσέφερον, λύτρωσιν ἐξαιτοῦντες τῆς πανωδύνου ἐκείνης καὶ κατηφοῦς ἐχθροκράτου ζοφερᾶς, καὶ πανεσπέρου παννυξίας. Καὶ ὁ μὲν πρὸς Θεὸν ἔλεγε· «Ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἄκουσον, φωνῆς μου»[9]· ὁ δὲ ἄλλος· «Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου»[10]· καὶ ἄλλος· Ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα[11]· καὶ ἕτερος· «Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, ἐμφάνηθι»[12]· καὶ ἄλλος· «Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς»[13]· καὶ ἕτερος· «Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου»[14], Κύριε· καὶ ἄλλος· «Ῥῦσαι τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου»[15]· καὶ ἕτερος· Κύριε, ἀνάγαγε ἐξ ᾅδου τὴν ψυχήν μου[16]· καὶ ἄλλος· Μὴ ἐγκατάλιπε τὴν ψυχήν μου εἰς ᾅδην[17]· καὶ ἕτερος· «Ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σέ, Κύριε ὁ Θεός μου»[18].

---

**1.** Πρβλ. Ἐξ. 3,2 ἑξ. **2.** Πρβλ. Δαν. 6,8 ἑξ. **3.** Πρβλ. Ἱερ. 45,6. **4.** Πρβλ. Ἰων. 2,1. Ματθ. 12,39. **5.** Πρβλ. Α' Βασ. 16,13 ἑξ. Ματθ. 1,1. **6.** Πρβλ. Γ' Βασ. 2,12 ἑξ. Ματθ. 1,6. **7.** Πρβλ. Ματθ. 3,1. **8.** Πρβλ. Ματθ. 14,10. **9.** Ἰω. 2,3. **10.** Ψαλ. 129,1. **11.** Πρβλ. Ψαλ. 30,17. **12.** Ψαλ. 79,2. **13.** Ψαλ. 79,3. **14.** Ψαλ. 78,8. **15.** Ψαλ. 85,13. **16.** Πρβλ. Ψαλ. 29,4. **17.** Πρβλ. Ψαλ. 15,10. **18.** Ἰων. 2,7.



Ὧν δὴ ἁπάντων ὑπακούσας ὁ πανοικτίρμων Θεὸς ὁ Χριστὸς οὐ δίκαιον κέκρικε τοῖς ἐπ' αὐτοῦ καὶ μετ' αὐτὸν τῆς οἰκείας μεταδοῦναι μόνοις φιλανθρωπίας· ἀλλὰ καὶ τοῖς πρὸ τῆς αὐτοῦ ἐπιδημίας ἐν ᾅδῃ κατεχομένοις[1], καὶ καθήμενος ἐν σκότει, σκιᾷ θανάτου[2]. Διὸ ἀνθρώπους μὲν ἐν σαρκὶ ὄντας διὰ σαρκὸς ἐμψύχου ὁ Θεὸς Λόγος ἐπεσκέψατο· ψυχαῖς δὲ σωμάτων ἀπηλλαγμέναις διὰ τῆς ἐνθέου καὶ ἀχράντου αὐτοῦ ψυχῆς ἐν ᾅδῃ ἐπέφανε, σώματος ἀλλ' οὐ θεότητος ἀπηλλαγμένης. Οὐκοῦν σπεύσωμεν τῷ νῷ, καὶ ἐπὶ τὸν ᾅδην βαδίσωμεν, ὅπως ἴδωμεν πῶς ἐκεῖ ποτε τὸν τῷ κράτει κραταιὸν κατὰ κράτος κρατεῖ τοῦ κράτους κρατοτύραννον, καὶ λαῷ πανστρατὶ τῇ αὐτοῦ ἀστραπῇ τὰς ἀθανάτους ἐκείνας τῶν φαλάγγων ἀχειρὶ **[456]** χειροῦται τάξεις· θύρας ἀθύρους ἄρας ἐκ μέσου, καὶ πύλας ἀξύλους τῷ ξύλῳ τοῦ σταυροῦ Χριστὸς ἡ θύρα κατακλάσας, ἥλοις τε τοῖς ἐνθέοις μοχλοὺς αἰωνίους συντρίψας καὶ συνθλάσας[3]· καὶ δεσμοῖς χειρενθέοις τὰς ἀλύτους ἁλύσεις ὡς κηρὸν διαλύσας· καὶ λόγχῃ τῇ θεοπλεύρῳ καρδίαν τοῦ τυράννου τὴν ἄσαρκον διατρήσας. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅτε τῷ σταυρῷ τοξότας χειροθέους νευρὰς διέτεινε. Διὸ ἐὰν μεθ' ἡσυχίας ἀκολουθήσῃς Χριστῷ, νῦν ὄψῃ ποῦ μὲν τὸν τύραννον ἔδησε· ποῦ δὲ τὴν τούτου κεφαλὴν ἀνήρτησε· πῶς δὲ τὸ δεσμωτήριον ἀνέσκαψε, ποῦ δὲ τοὺς δεσμώτας ἐξήγαγε, πῶς δὲ τὸν ὄφιν ἐπάτησε, καὶ ποῦ τὴν κάραν ἐκρέμασε· πῶς δὲ τὸν Ἀδὰμ ἠλευθέρωσε, καὶ πῶς τὴν Εὔαν ἀνέστησε, καὶ πῶς τὸ μεσότοιχον ἔλυσε[4], καὶ πῶς τὸν πικρὸν κατεδίκασε δράκοντα, καὶ πῶς τὰ ἀήττητα ἔστησε τρόπαια· ποῦ δὲ τὸν θάνατον ἐθανάτωσε[5], καὶ πῶς τὴν φθορὰν κατέφθειρε[6], καὶ ποῦ τὸν ἄνθρωπον εἰς τὸ ἀρχαῖον κατέστησεν ἀξίωμα.

Ὁ χθὲς τοίνυν οἰκονομικῶς τὰς λεγεῶνας τῶν ἀγγέλων παραιτούμενος, καὶ λέγων τῷ Πέτρῳ· Οὐ δύναμαι ἄρτι παραστῆσαι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων[7], σήμερον θεοπρεπῶς ὁμοῦ τε καὶ πολεμικῶς, καὶ δεσποτικῶς κάτεισι κάτω τοῦ

---

**1.** Πρβλ. Α' Πέτρ. 4,6. **2.** Πρβλ. Λουκ. 1,79. **3.** Πρβλ. Ψαλ. 106,16. **4.** Ἐφ. 2,14. **5.** Πρβλ. Α' Κορ. 15,26,54. Ἀποκ. 21,4. **6.** Πρβλ. Ρωμ. 8,21. **7.** Πρβλ. Ματθ. 26,53.

ᾅδου καὶ θανάτου· καὶ τύραννον διὰ θανάτου τὰς ἀθανάτους τῶν ἀσωμάτων στρατευμάτων καὶ ταγμάτων ἀοράτων οὐ δώδεκά τινας λεγεῶνας, ἀλλὰ μυρίας μυριάδας καὶ χιλίας χιλιάδας ἔχων ἀγγέλων[1], ἐξουσιῶν, θρόνων ἀθρόνων, ἑξαπτερύγων[2], ἀπτερύγων, πολυομμάτων, ἀομμάτων, οὐρανίων ταγμάτων[3] ἅτε δὴ ἅτε ὡς οἰκεῖον Δεσπότην, καὶ βασιλέα προπεμπούσας, καὶ δορυφορούσας, καὶ τιμώσας Χριστόν· οὐ συμμάχους· ἄπαγε! Ποίας γὰρ καὶ συμμαχίας ὁ παντοδύναμος ἐπιδέεται Χριστός; Ἀλλ' ὀφειλούσας ὁμοῦ καὶ φιλούσας τῷ ἑαυτῶν ἀεὶ παρίστασθαι Δεσπότῃ τῷ Θεῷ φερέγγειοί τινες δορυφόροι, ὁπλῖται καὶ σκηπτοῦχοι λαμπροὶ τῆς θείας ὀξεῖς δεσποτικῆς σκηπτουχίας, νεύματι μόνῳ σπουδῇ τῷ θείῳ τάχει ἀλλήλας προφθανούσας, ὁμοῦ εἰς ἔργον ἀγούσας τῇ κελεύσει τὴν πρᾶξιν, καὶ τῇ νίκῃ κατεστεμμένας πρὸς ἐχθρῶν καὶ παρανόμων παρατάξεις. Διὸ δὴ καὶ κατιούσας τότε δρόμοις ὁμοῦ τε καὶ σύνδρομοι τῷ Θεῷ καὶ Δεσπότῃ ἐπὶ τὰ ἐν ᾅδου καὶ ὑπόγεια, καὶ τῆς ἁπάσης βαθύτερα, τῶν ἀπ' αἰῶνος κεκοιμημένων ὑποχθόνια οἰκητήρια, ἐξάγων ἐν ἀνδρείᾳ τοὺς ἀπ' αἰῶνος πεπεδημένους[4]. Ὡς γοῦν τὰ παντόθυρα, καὶ ἀνήλια, καὶ πανέσπερα τοῦ ᾅδου δεσμωτήρια καὶ οἰκητήρια, καταδύσεις καὶ σπήλαια ἡ θεόδημος τοῦ Δεσπότου κατέλαβεν αἰγληφόρος παρουσία, προφθάνει πάντας Γαβριὴλ ἀρχιστράτηγος· ἅτε δὴ ἅτε ἐξ ἔθους ὢν χαρᾶς εὐαγγέλια ἀνθρώποις φέρειν καὶ ῥῆσίν τινα ἰσχυρὰν ἀρχαγγελικωτάτων καὶ στρατηγικωτά των δυνάμεων **[457]** λαμπρὰν καὶ λεοντιαίαν φωνὴν πρὸς τὰς ἐναντίας δυνάμεις, καὶ λέγει· «Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν»[5]· μεθ' ὃν βοᾷ καὶ Μιχαήλ· «Καὶ ἐπάρθητε, πύλαι αἰώνιοι»[6]. Εἶτα καὶ αἱ δυνάμεις φασίν· Ἀπόστητε, πυλωροὶ οἱ παράνομοι· εἶτα καὶ ἐξουσίαι μετ' ἐξουσίας· Συντρίβητε, αἱ ἀλύσεις αἱ ἄλυτοι· καὶ ἄλλος· Αἰσχύνθητε, ἐναντίοι πολέμιοι· καὶ ἕτερος· Φοβήθητε, τύραννοι οἱ παράνομοι.

Καὶ καθάπερ ἐπί τινος φοβερᾶς καὶ ἀηττήτου παντοδυνάμου βασιλικῆς τροπαιούχου στρατοῦ παρατάξεως φρίκη τις καὶ τάραχος καὶ φόβος κατώδυνος τοῖς τοῦ ἀκαταγωνίστου Δεσπό-

**1.** Πρβλ. Ἑβρ. 12,22. **2.** Πρβλ. Ἡσ. 6,2. **3.** Πρβλ. Λουκ. 2,13. **4.** Πρβλ. Ψαλ. 145,7. **5.** Ψαλ. 23,7,9. **6.** Ἔνθ' ἀν.



του ἐπιπίπτει ἐχθροῖς· οὕτω δὴ καὶ ἐπὶ τοῖς ἐν ᾅδου ἐκείνοις καὶ παραδόξου Χριστοῦ ἐν τοῖς καταχθονίοις παρουσίας ἐξαίφνης ἐγένετο· ἄνωθεν ἀστραπῆς ἡ ἀμαύρωσις τῶν ἐναντίων τοῦ ᾅδου δυνάμεων τὰς ὄψεις σκοτίζουσα καὶ βροντοφώνων βοῶν ἀκουόντων καὶ στρατῶν κελευόντων λέγοντας· «Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν»[1]. Οὐ γὰρ ἀνοίξατε, ἀλλ' ἐξ αὐτῶν θεμελίων ταύτας ἄρατε, ἐκριζώσατε, μεταστήσατε εἰς τὸ μηκέτι κλείεσθαι· «Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν»[2]. Οὐχ ὡς ἀδυνατοῦντος τοῦ παρόντος Δεσπότου καὶ «θυρῶν κεκλεισμένων»[3], ὅτε κελεύει εἰσέρχεσθαι, ἀλλὰ δραπετοδούλως ὑμῖν ἐπιτρέποντος τὴν τῶν πυλῶν τῶν αἰωνίων ἔπαρσιν καὶ μετάστασιν καὶ κατάκλασιν. Διὸ οὐδὲ τοῖς δήμοις ὑμῶν, ἀλλὰ αὐτοῖς τοῖς δοκοῦσι παρ' ὑμῶν εἶναι ἄρχουσιν, αὐτοῖς ἐπιτρέπει λέγων· «Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν»[4]. Ὑμῶν, ἀλλ' οὐκ ἄλλων τινῶν. Λοιπὸν ἄρχοντες. Εἰ γὰρ καὶ μέχρι τοῦ νῦν τῶν ἀπ' αἰῶνος κεκοιμημένων κακῶς ἤρξατε· ἀλλ' οὐκέτι λοιπὸν αὐτῶν, ἀλλ' οὐδ' ἄλλων, ἀλλ' ὑμῶν, ἀλλ' οὐδ' αὐτῶν ὑμῶν ἔσεσθε ἄρχοντες. Πάρεστι γὰρ Χριστὸς ἡ οὐράνιος θύρα· «Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ» τῶν τοῦ ᾅδου «δυσμῶν, Κύριος ὄνομα αὐτοῦ»[5], «καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τῶν τοῦ θανάτου»[6] πυλῶν. Ὑμεῖς ἐποιήσατε τὰς εἰσόδους· τὰς διεξόδους αὐτὸς ποιῆσαι παραγέγονεν. Διὸ μὴ μέλλετε· «Ἄρατε πύλας» καὶ ταχύνατε· ἄρατε, καὶ μὴ ἀναβάλλετε. Εἰ δὲ ἀναμένειν νομίζετε, αὐταῖς ταῖς πύλαις ἀχειρὶ καὶ αὐτοματὶ αἴρεσθαι ἐπιτρέπομεν. «Καὶ ἐπάρθητε, πύλαι αἰώνιοι». Ἅμα αἱ δυνάμεις ἐβόησαν, ἅμα αἱ πύλαι ἐπήρθησαν, ἅμα αἱ ἀλύσεις ἐλύθησαν, ἅμα οἱ μοχλοὶ κατεκλάσθησαν, ἅμα τὰ κλεῖθρα ἐξέπεσαν, ἅμα τὰ θεμέλια τοῦ δεσμωτηρίου ἐδονήθησαν, ἅμα αἱ ἐναντίαι δυνάμεις εἰς φυγὴν ἐτράπησαν, ἕτερος ἕτερον συνωθούμενος, καὶ ἄλλος πρὸς ἄλλον συμποδιζόμενος, καὶ ἕτερος τῷ ἑτέρῳ φεύγειν φθεγγόμενος· ἔφριξαν, ἐσαλεύθησαν, κατεπλάγησαν, ἐταράχθησαν, ἠλλοιώθησαν, ἐθροήθησαν, ἔστησαν ὁμοῦ καὶ ἐξέστησαν, ἠπόρησαν ὁμοῦ **[460]** καὶ ἐτρόμαξαν. Καὶ ὁ μὲν κεχηνὼς ἵστατο, ὁ δὲ τοῖς γόνασι τὸ πρόσωπον συνεκάλυ-

**1.** Ψαλ. 23,7,9. **2.** Ἔνθ' ἀν. **3.** Ἰω. 20,19. **4.** Ψαλ. 23,7,9. **5.** Ψαλ. 67,5. **6.** Ψαλ. 67,21.

πτε· καὶ ἄλλος πρηνὴς ἀνεπήγνυτο, καὶ ἕτερος ὡσεὶ νεκρὸς ἀπεστηλοῦτο, καὶ ἄλλος τῷ θάμβει κατείχετο, καὶ ἕτερος [οὐρανίων] ἠλλοιωμένος κατέκειτο, καὶ ἄλλος ἐνδότερον ἔφευγεν.

Ἐκεῖ γὰρ τότε διέκοψε Χριστὸς ἐν ἐκστάσει κεφαλὰς δυναστῶν· ἐκεῖ ἐσείσθησαν ἐν αὐτῷ, ἐκεῖ διήνοιξαν χαλινοὺς αὐτῶν λέγοντες· «Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης»[1], τίς ἐστιν οὗτος ὁ τοσοῦτος, ὁ μετὰ τοσούτων τοιαῦτά ἐνταῦθα ἐπιτελῶν θαύματα; «Τίς οὗτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης»[2], ὁ ἐν ᾅδῃ ποιῶν νῦν τὰ οὐδέποτε ἐν ᾅδῃ γενόμενα; τίς οὗτος ὁ ἐξάγων ἔνθεν τοὺς ἀπ' αἰῶνος κεκοιμημένους; τίς ἐστιν οὗτος ὁ λύσας καὶ καταλύσας ἡμῶν τῶν ἀηττήτων τὸ θράσος καὶ τὸ κράτος, καὶ ἐξάγων ἐκ τῆς τοῦ ᾅδου φυλακῆς τοὺς ἀπ' αἰῶνος πεπεδημένους; Πρὸς οὓς ἀνέκραζον αἱ τοῦ Δεσπότου δυνάμεις λέγουσαι· Μαθεῖν βούλεσθε, ὦ παράνομοι τύραννοι, τίς ἐστιν οὗτος βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός· Κύριος δυνατὸς καὶ ἰσχυρὸς καὶ ἀήττητος ἐν πολέμοις[3]. Οὗτος ἐκεῖνός ἐστιν ὁ ἐκ τῶν οὐρανίων ἀψίδων ἐξορίσας καὶ ἀποῤῥίψας ὑμᾶς, ὦ δείλαιοι καὶ παράνομοι τύραννοι! Ἐκεῖνος οὗτός ἐστιν ὁ ἐν ὕδασι Ἰορδάνου συντρίψας τὰς κεφαλὰς τῶν δρακόντων ὑμῶν. Οὗτος ἐκεῖνός ἐστιν ὁ διὰ σταυροῦ στηλιτεύσας, καὶ θριαμβεύσας, καὶ νεκρώσας ὑμᾶς. Ἐκεῖνος οὗτός ἐστιν ὁ δήσας, καὶ ζοφώσας, καὶ τῇ ἀβύσσῳ παραπέμψας ὑμᾶς. Οὗτος ἐκεῖνός ἐστιν ὁ πυρὶ αἰωνίῳ καὶ γεέννῃ παραπέμπων καὶ ἀπολλῶν ὑμᾶς. Λοιπὸν μὴ μέλλετε, μηδὲ ἀναμένετε, ἀλλὰ σπεύσατε, καὶ τοὺς δεσμίους ἐξάξατε, οὓς μέχρι καὶ νῦν κακῶς κατεπίετε. Τὸ γὰρ ὑμέτερον κράτος λοιπὸν καταλέλυται· ἡ ὑμῶν τυραννὶς λοιπὸν πέπαυται· τὸ ὑμέτερον φρύαγμα δεινῶς κατήργηται· ἡ ὑμῶν μεγαλαυχία εἰς τέλος ἐκλέλοιπεν· ἡ ὑμῶν ἰσχὺς πεπάτηται καὶ ἀπόλωλε. Ταῦτα αἱ δεσποτικαὶ τοῦ Δεσπότου δυνάμεις ταῖς ἐναντίαις δυνάμεσιν ἔλεγον, ὁμοῦ τε καὶ κατέσπευδον. Καὶ οἱ μὲν τὸ δεσμωτήριον ἐξ αὐτῶν τῶν θεμελίων κατέσκαπτον· οἱ δὲ τὰς ἐναντίας ἐξουσίας κατεδίωκον ἐκ τῶν ἐξωτέρων ταμείων φευγούσας ἐνδότερον. Καὶ ἄλλοι τὰς καταδύσεις, καὶ τὰ φρούρια, καὶ τὰ σπήλαια διερευνῶν, καὶ ἔτρεχον. Καὶ ἕτεροι ἄλλος ἄλλον

1. Ψαλ. 23,8,10. 2. Ἐνθ' ἀν. 3. Πρβλ. Ψαλ. 23,8-9.



ἄλλοθεν δέσμιον τῷ Δεσπότῃ προσέφερον, καὶ ἄλλοι τὸν τύραννον δεσμοῖς ἀλύτοις ἔδενον, καὶ ἕτεροι τοὺς ἀπ' αἰῶνος δεσμίους ἀπέλυον· καὶ ἄλλοι ἐπέταττον, καὶ ἕτεροι ὑπούργουν ὡς τάχιστα· καὶ οἱ μὲν εἰσερχομένου τοῦ Δεσπότου ἐνδότερον προέτρεχον, οἱ δὲ ὡς βασιλεῖ καὶ Θεῷ νικηφόρῳ παρείποντο.

Τούτων δὴ λοιπὸν οὕτως, ἀλλὰ καὶ ὑπὲρ τούτων ἐν τῷ ᾅδῃ γινομένων τε καὶ βοωμένων, θρυλλουμένων ἁπάντων καὶ σειομένων, ὡς ἡ παρουσία τοῦ Δεσπότου αὐτὰ τὰ κατώτατα τῶν κατωτάτων καταλαμβάνειν ἔμελλεν, ὁ Ἀδὰμ ἐκεῖνος, ὁ πάντων ἀν**[461]**θρώπων πρωτόκτιστος, καὶ πρωτόπλαστος[1], καὶ πρωτόθνητος ἐνδότερος πάντων, μετὰ πολλῆς τῆς ἀσφαλείας δέσμιος κατεχόμενος, ἤκουε τῶν τοῦ Δεσπότου ποδῶν πρὸς τοὺς δεσμίους εἰσερχομένων, καὶ ἐγνώρισε τὴν φωνὴν αὐτοῦ ἐν τῷ δεσμωτηρίῳ περιπατοῦντος, καὶ στραφεὶς πρὸς ἅπαντας τοὺς σὺν αὐτῷ ἀπ' αἰῶνος δεσμίους φησί· Φωνὴν ποδῶν τινος ἀκούω πρὸς ἡμᾶς εἰσερχομένου· καὶ ἐὰν ὅλως ἐνταῦθα ἐκεῖνος παραγενέσθαι κατηξίωσεν, ἡμεῖς τῶν δεσμῶν ἠλευθερώθημεν· ἐὰν ὅλως ἐκεῖνον μεθ' ἡμῶν ὀψώμεθα, ἡμεῖς τοῦ ᾅδου λυτρούμεθα. Ταῦτα καὶ τὰ τοιαῦτα τοῦ Ἀδὰμ πρὸς πάντας τοὺς συγκαταδίκους αὐτοῦ λέγοντος, εἰσῆλθεν ὁ Δεσπότης πρὸς αὐτούς, τὸ νικητικὸν ὅπλον τοῦ σταυροῦ κατέχων. Ὃν ἰδὼν ὁ Ἀδὰμ ὁ πρωτόπλαστος, καὶ τῇ ἐκπλήξει τὸ στῆθος τύψας, ἐβόησε πρὸς πάντας, καὶ εἶπεν· Ὁ Κύριός μου μετὰ πάντων. Καὶ ἀποκριθεὶς ὁ Χριστός, λέγει τῷ Ἀδάμ· Καὶ μετὰ τοῦ πνεύματός σου· καὶ κρατήσας αὐτοῦ τῆς χειρὸς ἀνίστησι, λέγων· «Ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός»[2]. Ἐγὼ ὁ Θεός σου, ὁ διὰ σὲ γενόμενος υἱός σου, ὁ διὰ σὲ καὶ τοὺς ἀπὸ σοῦ, νῦν λέγων καὶ κατ' ἐξουσίαν ἐπιτρέπων τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν σκότει· Φωτίσθητε, καὶ τοῖς κεκοιμημένοις· Ἀνάστητε· σοὶ διακελεύομαι· «Ἔγειρε, ὁ καθεύδων»· οὐ γὰρ διὰ τοῦτό σε πεποίηκα, ἵνα ἐν ᾅδῃ κατέχῃ δέσμιος. Ἀνάστα ἐκ τῶν νεκρῶν· ἐγώ εἰμι ἡ ζωὴ[3] τῶν νεκρῶν. Ἀνάστα, πλάσμα τὸ ἐμόν, ἀνάστα μορφὴ ἡ ἐμή, καὶ κατ' εἰκό-

1. Πρβλ. Γεν. 1,26 ἑξ. Α' Τιμ. 2,13. 2. Ἐφ. 5,14. 3. Πρβλ. Ἰω. 11,25.

να ἐμὴν γεγενημένη[1]. Ἔγειρε, ἄγωμεν ἐντεῦθεν[2]· σὺ γὰρ ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἓν καὶ ἀδιαίρετον ὑπάρχομεν πρόσωπον· διὰ σὲ ὁ Θεός σου γέγονα υἱός σου· διὰ σὲ ὁ Δεσπότης, ἔλαβον τὴν σὴν μορφὴν τοῦ δούλου[3]· διὰ σὲ ὑπεράνω τῶν οὐρανῶν ἦλθον ἐπὶ γῆς καὶ ὑποκάτω γῆς· διὰ σὲ τὸν ἄνθρωπον γέγονα ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος[4]· διὰ σὲ τὸν ἀπὸ κήπου ἐξελθόντα[5] ἀπὸ κήπου Ἰουδαίοις παρεδόθην, καὶ ἐν κήπῳ ἐσταυρώθην[6]. Ἴδε τοῦ προσώπου μου τὰ ἐμπτύσματα[7], ἅπερ διὰ σὲ κατεδεξάμην, ἵνα σε ἀποκαταστήσω εἰς τὸ ἀρχαῖον ἐμφύσημα. Ἴδε μου τῶν σιαγόνων τὰ ῥαπίσματα[8], ἃ κατεδεξάμην, ἵνα σου τὴν διαστραφεῖσαν μορφὴν ἐπανορθώσω εἰς τὸ κατ' εἰκόνα μου. Ἴδε μου τοῦ νώτου τὴν φραγγέλλωσιν[9], ἣν κατεδεξάμην, ἵνα σκορπίσω τῶν ἁμαρτιῶν σου τὸ φορτίον τὸ ἐπὶ τοῦ νώτου κείμενον. Ἴδε μου τὰς προσηλωθείσας χεῖρας ἐν τῷ ξύλῳ[10] καλῶς, διὰ σὲ τὸν ἐκτείναντα τὴν χεῖρα ἐν τῷ ξύλῳ κακῶς. Ἴδε μου τοὺς προσηλωθέντας, καὶ ὀρυχθέντας τῷ ξύλῳ πόδας[11], διὰ τοὺς σοὺς πόδας τοὺς κακῶς δραμόντας ἐπὶ τὸ ξύλον τῆς παρακοῆς τῇ ἕκτῃ ἡμέρᾳ, ᾗ ἡ ἀπόφασις γέγονεν, καὶ τὴν σὴν ἀνάπλασιν, καὶ παραδείσου ἄνοιξιν πεπόνημαι[12].

Ἐγευσάμην διὰ σὲ χολὴν[13], ἵνα ἰάσωμαί σοι τὴν διὰ βρώσεως[14] ἐκείνης τῆς γλυκείας πικρὰν ἡδονήν. Ἐγευσάμην ὄξους[15], ἵνα καταργήσω τοῦ σοῦ θανάτου τὸ δριμύ, καὶ παρὰ φύσιν ποτήριον. Ἐδεξάμην **[464]** σπόγγον[16], ἵνα ἐξαλείψω τὸ χειρόγραφόν σου τῆς ἁμαρτίας[17]. Ἐδεξάμην κάλαμον[18], ἵνα ὑπογράψω ἐλευθερίαν τῷ γένει τῶν ἀνθρώπων. Ὕπνωσα ἐν τῷ σταυρῷ, καὶ ῥομφαίᾳ ἐνύχθην τὴν πλευρὰν[19], διὰ σὲ τὸν ἐν παραδείσῳ ὑπνώσαντα, καὶ τὴν Εὔαν ἐκ πλευρᾶς ἐξενέγκαντα[20]. Ἡ ἐμὴ πλευρὰ ἰάσατο τὸ ἄλγος τῆς πλευρᾶς· ὁ ἐμὸς ὕπνος

---

**1.** Πρβλ. Γεν. 1,26. **2.** Πρβλ. Ἰω. 14,31. **3.** Πρβλ. Φιλιπ. 2,6-7. **4.** Πρβλ. Ψαλ. 87,5. **5.** Πρβλ. Γεν. 3,24. **6.** Πρβλ. Ἰω. 18,1. 19,41. **7.** Πρβλ. Μάρκ. 14,65. **8.** Ἔνθ' ἀν. **9.** Πρβλ. Ματθ. 27,26. **10.** Πρβλ. Ἰω. 19,18. 20,27. Λουκ. 24,39. **11.** Πρβλ. Λουκ. 24,39. **12.** Πρβλ. Ρωμ. 5,19. **13.** Πρβλ. Ματθ. 27,34. **14.** Πρβλ. Γεν. 3,6. **15.** Πρβλ. Λουκ. 23,36. Ἰω. 19,29. **16.** Πρβλ. Ματθ. 27,48. Μάρκ. 15,36. **17.** Πρβλ. Κολ. 2,14. **18.** Πρβλ. Ματθ. 27,29. Μάρκ. 15,19. **19.** Πρβλ. Ἰω. 19,34. **20.** Πρβλ. Γεν. 2,21-22.



ἐξάξει σε ἐκ τοῦ ἐν ᾅδῃ ὕπνου· ἡ ἐμὴ ῥομφαία ἔστησε τὴν κατὰ σοῦ στρεφομένην ῥομφαίαν. Λοιπὸν ἔγειρε, ἄγωμεν ἐντεῦθεν[1]. Ἐξήγαγέ σε ὁ ἐχθρὸς ἀπὸ γῆς παραδείσου· ἀποκαθιστῶ σε οὐκέτι ἐν παραδείσῳ, ἀλλ' ἐν οὐρανίῳ θρόνῳ. Ἐκώλυσά σε τοῦ ξύλου τοῦ τυπικοῦ τῆς ζωῆς, ἀλλ' ἰδοὺ αὐτὸς ἐγὼ ἡνώθην σοι ἡ ζωή. Ἔταξα τὰ χερουβὶμ δουλοπρεπῶς φυλάττειν[2] σε· ποιῶ τὰ χερουβὶμ θεοπρεπῶς προσκυνῆσαί σε. Ἐκρύβης ἀπὸ Θεοῦ ὡς γυμνός[3]· ἀλλ' ἰδοὺ ἔκρυψας ἐν ἑαυτῷ Θεὸν γυμνόν. Ἐνεδύθης τὸν τῆς αἰσχύνης δερμάτινον χιτῶνα· ἀλλ' ἐνεδύθην Θεὸς ὢν τὸν τῆς σῆς σαρκὸς αἱμάτινον χιτῶνα. Διὸ «ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν»[4], ἀπὸ τοῦ θανάτου εἰς τὴν ζωήν, ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν, ἀπὸ τοῦ σκότους, εἰς τὸ αἰώνιον φῶς. «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν»[5], ἀπὸ τῆς ὀδύνης εἰς εὐφροσύνην, ἀπὸ δουλείας εἰς ἐλευθερίαν, ἀπὸ φυλακῆς εἰς τὴν ἄνω Ἱερουσαλήμ, ἀπὸ τῶν δεσμῶν ἐπὶ τὴν ἄνεσιν, ἀπὸ τῆς κατοχῆς ἐπὶ τὴν τοῦ παραδείσου τρυφήν, ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν. Ἐπὶ τοῦτο γὰρ ἀπέθανον, καὶ ἀνέστην, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσω[6]. «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν»[7]· ὁ γὰρ Πατήρ μου ὁ οὐράνιος τὸ ἀπολωλὸς ἐκδέχεται πρόβατον[8]. Τὰ ἐννενήκοντα ἐννέα τῶν ἀγγέλων πρόβατα τὸν σύνδουλον ἀναμένουσιν Ἀδάμ, πότε ἀναστῇ, καὶ πότε ἀνέλθῃ καὶ πρὸς Θεὸν ἐπανέλθῃ. Χερουβικὸς θρόνος ηὐτρέπισται· οἱ ἀναφέροντες ὀξεῖς τε καὶ ἕτοιμοι· ὁ νυμφὼν παρεσκεύασται· ἐδέσματα ἕτοιμα· αἱ αἰώνιοι σκηναὶ καὶ μοναὶ ἕτοιμοι· οἱ θησαυροὶ τῶν ἀγαθῶν ἀνεῴχθησαν, ἡ τῶν οὐρανῶν βασιλεία πρὸ αἰώνων ἡτοίμασται· «ἃ ὀφθαλμὸς οὐκ οἶδεν καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη»[9], ἃ ἀγαθὰ τὸν ἄνθρωπον περιμένουσι.

Ταῦτα καὶ τὰ τοιαῦτα τοῦ Δεσπότου λέγοντος, ἀνίστανται σὺν αὐτῷ ὁ ἐν αὐτῷ ἡνωμένος Ἀδάμ, καὶ συνανίσταται καὶ ἡ Εὔα· καὶ ἄλλα πολλὰ σώματα πίστει ἀπ' αἰῶνος κεκοιμημένα ἀνέστησαν[10] κηρύττοντα τοῦ Δεσπότου τριήμερον ἀνάστασιν[11],

---

**1.** Πρβλ. Ἰω. 14,31. **2.** Πρβλ. Ψαλ. 90,11. Λουκ. 4,11. **3.** Πρβλ. Γεν. 3,10. **4.** Ἰω. 14,31. **5.** Ἔνθ. ἀν. **6.** Πρβλ. Ρωμ. 14,9. **7.** Ἰω. 14,31. **8.** Πρβλ. Ματθ. 18,12. **9.** Α' Κορ. 2,9. **10.** Πρβλ. Ματθ. 27,52. **11.** Πρβλ. Ματθ. 27,53.

ἣν φαιδρῶς, οἱ πιστοί, ὑποδεξώμεθα, καὶ ὀψώμεθα, καὶ περιπτυξώμεθα μετὰ ἀγγέλων χορεύοντες, μετὰ τῶν ἀσωμάτων ἑορτάζοντες, ὁμοῦ καὶ συνδοξάζοντες τὸν ὑμᾶς ἐκ τῆς φθορᾶς Χριστὸν ἀναστήσαντα, καὶ ζωοποιήσαντα· ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΑΝΑΣΤΑΣΙΝ*

Κύριε, εὐλόγησον.

**[465]** Ὁ τῆς δικαιοσύνης τριήμερος Ἥλιος[1] ἀνέτειλε σήμερον, καὶ πᾶσαν τὴν κτίσιν ἐφώτισεν· ὁ τριήμερος καὶ προαιώνιος Χριστὸς ὁ βότρυς[2] ἐβλάστησε, καὶ τὴν οἰκουμένην εὐφροσύνης ἐπλήρωσε. Τὸν ἀνέσπερον ὄρθρον ἴδωμεν, πρὸ ὄρθρου ἐγείρωμεν σήμερον, καὶ φωτὸς χαρᾶς ἐπληρώθημεν. Πύλαι ᾅδου ὑπὸ Χριστοῦ ἠνοίχθησαν, καὶ νεκροὶ ὡς ἐξ ὕπνου ἀνέστησαν[3]. Ἀνέστη Χριστὸς ἡ τῶν πεσόντων ἀνάστασις, καὶ τὸν Ἀδὰμ συνήγειρεν· ἀνέστη Χριστὸς ἡ πάντων ἀνάστασις, καὶ τὴν Εὔαν τῆς κατάρας ἀπήλλαξεν· ἀνέστη Χριστὸς ἡ ἀνάστασις, καὶ τὸν πρὶν ἄκοσμον κατακοσμήσας ἐφαίδρυνεν· ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, καὶ τοὺς ἐχθροὺς αὐτοῦ πάντας πατάξας κατῄσχυνεν. Ἀνέστη, καὶ χαρὰν πάσῃ τῇ κτίσει ἐδωρήσατο· ἀνέστη, καὶ τὸ τοῦ ᾅδου δεσμωτήριον ἐκενώθη· ἀνέστη, καὶ τὴν φθορὰν τῆς φύσεως εἰς ἀφθαρσίαν μετήγαγεν· ἀνέστη Χριστός, καὶ τὸν Ἀδὰμ εἰς τὸ ἀρχαῖον ἀξίωμα τῆς ἀθανασίας κατέστησεν. Ἥτις ἐν Χριστῷ καινὴ κτίσις[4] τῇ ἀναστάσει ἀνακαινίζηται· ἥτις ἐν Χριστῷ καινὸς κόσμος, κοσμηθῶμεν οἱ ἄκοσμοι· ἥτις ἐν Χριστῷ Ἐκκλησία, καινὸς οὐρανὸς σήμερον· οὐρανὸς τοῦ ὁρωμένου οὐρανοῦ ὡραιότερος. Οὐ γὰρ ἥλιον περίκειται καθημερινὸν δύνοντα, Ἥλιον δ' ὃν ἐπὶ σταυροῦ αἰδεσθεὶς ἔδυσεν ὁ δοῦλος οὗτος ἥλιος, Ἥλιον, περὶ οὗ φησιν ὁ προφήτης, Ἀνατελεῖ τοῖς φο-

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. - P. Migne, Patrologiae cursus completus, series Graeca τ. 43, 465-477.

1. Πρβλ. Μαλ. 3,20. 2. Πρβλ. Ἰω. 15,1. 3. Πρβλ. Ματθ. 27,52. 4. Πρβλ. Β' Κορ. 5,17.



βουμένοις τὸν Ἰησοῦν Ἥλιος δικαιοσύνης[1]. Ἥλιον, ὃν ἡ Ἐκκλησία ἀειλαμπῆ περιβέβληται, δι' ὅν φησιν ἡ Γραφή· «Ἥλιος ἐξῆλθεν εἰς γῆν, καὶ Λωτόν» εἰς τύπον τοῦ νόμου, «εἰσῆλθεν εἰς Σιγώρ»[2], ὅπερ σμικρότης ἑρμηνεύεται. Οὗτος ὁ Ἥλιος σοφίζων τὰ ἄσοφα· οὗτος ὁ Ἥλιος ἐν τῷ στερεῷ μετὰ τῆς ἡμῶν πίστεως τεθεμελίωται. Διὰ τοῦτον τὸν τῆς δικαιοσύνης Ἥλιον Χριστὸν οὐρανὸς ἡ Ἐκκλησία γεγένηται· οὐ σελήνην αὔξουσαν καὶ λήγουσαν, ἀλλὰ χάριν ἀειλαμπῆ ἔχουσα· οὐκ ἀστέρας τινὰς πλανήτας ἀνατέλλουσα, ἀλλ' ἀστέρας νεοφωτίστους ἐκ κολυμβήθρας ἀναφέρουσα· οὐ νεφέλας ὀμβροφόρους, ἀλλὰ διδασκάλους θεολόγους ἡ Ἐκκλησία ἔχουσα· οὐκ ἐπὶ τῶν θολερῶν ὑδάτων κρεμαμένη, ἀλλ' ἐπὶ τῶν ἱερῶν δογμάτων τεθεμελιωμένη· οὐκ ὄμβρον χειμωνικὸν ἀναπέμπουσα, οὐκ ὀρνέων κλαγγαῖς, ἀλλὰ διδασκάλων φωναῖς ἀνθρώπους καταλέγουσα.

«Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα» πνευματικῶς, «καὶ εὐφρανθῶμεν» θεο**[468]**πρεπῶς «ἐν αὐτῇ»[3]. Αὕτη ἡμῖν ἡ πασῶν τῶν ἑορτῶν ὑπερεόρτιος· αὕτη ἡ ἑορτή, περὶ ἧς τὸ Πνεῦμα τὸ Ἅγιον παρακελεύεται λέγον· «Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν»[4] ὁμοῦ τε καὶ θάλπουσιν, «ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου»[5]· αὕτη ἡ ἑορτὴ τοῦ παντὸς κόσμου, ἐγκαίνιον ὁμοῦ καὶ σωτήριον. Αὕτη ἡ ἑορτὴ πασῶν τῶν ἑορτῶν κορυφὴ καὶ ἀκρόπολις· αὕτη ἡ ἡμέρα, ἣν εὐλόγησεν ὁ Θεός, ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ[6], τελειώσας τὴν σωτηρίαν τῶν ἐπιγείων ὁμοῦ καὶ καταχθονίων. Ἐν αὐτῇ κατέπαυσεν εἰδώλων καὶ κνωδάλων τελετὰς καὶ ὀρχήσεις· ἐν αὐτῇ κατέπαυσε τὴν δύναμιν πάντων ἐναντίων. Ἐν ταύτῃ κατέπαυσεν ἑορτὰς καὶ δαιμονικὰς πανηγύρεις· ἐν ταύτῃ κατέπαυσεν εἰδωλικῶν αἱμάτων κνίσσας καὶ θυσίας· ἐν ταύτῃ κατέπαυσε τὴν πλάνην τῆς ἀσεβείας· ἐν ταύτῃ κατέπαυσε τὸ κράτος τοῦ τυράννου, καὶ τοῦ λαοῦ τὸ κέντρον· ἐν ταύτῃ κατέπαυσεν νομικὰς θυσίας καὶ νεομηνίας· ἐν ταύτῃ καινοὺς ἐπήξατο τῇ κτίσει ὅρους καὶ νόμους· ἐν ταύτῃ κατέπαυσε τὸ Πάσχα τοῦ νόμου, καὶ Ἰουδαίων· ἐν ταύτῃ ἐπλήρωσε

1. Πρβλ. Μαλ. 3,20. 2. Γεν. 19,23. 3. Ψαλ. 117,24. 4. Ψαλ. 117,27. 5. Ἔνθ' ἀν. 6. Γεν. 2,2. Ἑβρ. 4,4.

πάντα τὸν τύπον, σκιὰν καὶ προφητείαν. «Τὸ Πάσχα ἡμῶν», τὸ Πάσχα τὸ ἀληθινόν, «ἐτύθη Χριστός»[1], καὶ ἥτις ἐν Χριστῷ καινὴ κτίσις[2], ἥτις ἐν Χριστῷ καινὴ πίστις, καινοὶ νόμοι, καινὸς ὁ τοῦ Θεοῦ λαός· καινός, ἀλλ' οὐ παλαιὸς Ἰσραήλ, καὶ καινὸν Πάσχα· καινὴ καὶ πνευματικὴ περιτομή· καινὴ καὶ ἀναίμακτος θυσία· καινὴ καὶ θεία διαθήκη. Ἐγκαινίζεσθε σήμερον, καὶ πνεῦμα εὐθὲς ἐγκαινίσατε ἐν ταῖς καρδίαις ὑμῶν[3], ὅπως δέξησθε τὰ τῆς ἑορτῆς τῆς νέας καὶ ἀληθινῆς μυστήρια, καὶ τρυφήσητε σήμερον τρυφὴν τὴν ὄντως οὐράνιον, καὶ ἀπέλθητε φωτισθέντες τὰ μὴ παλαιούμενα τοῦ νέου Πάσχα ἀντὶ παλαιοῦ μυστήρια ἀντίτυπα· ὅπως συνήσητε ὅσον τὸ μέσον, καὶ διάφορον τῶν Ἰουδαίων τὰ ἡμέτερα, καὶ τίς σύγκρισις τῶν τύπων πρὸς τὴν ἀλήθειαν. Ἀρξώμεθα τὰ τῆς Χριστοῦ Πάσχα ἀναστάσεως, καὶ θεωρίας, ἐκ τῶν ἐντεῦθεν.

Ἀπεστέλλετό ποτε πρὸς σωτηρίαν λαοῦ ἀπὸ Θεοῦ ἐξ ὄρους ὑψηλοῦ ὁ νομοθέτης Μωϋσῆς πρὸς τὸν τοῦ νόμου τύπον· ἀπεστάλη καὶ ὁ Κύριος ὁ νομοθέτης, καὶ Θεὸς ἀπὸ Θεοῦ, καὶ ὄρος ἀπ' ὄρους οὐρανίων ὀρέων, εἰς σωτηρίαν τοῦ ἡμετέρου λαοῦ, τὸ τῆς ἀληθείας. Ἀλλὰ Μωϋσῆς ἐκ Φαραὼ καὶ Αἰγυπτίων ἐλυτρώσατο[4]· Χριστὸς δὲ ἐκ διαβόλου, καὶ δαιμόνων ἐλυτρώσατο ἡμᾶς. Ἀλλὰ πεφόνευκε Μωϋσῆς χώσας ἐν τῇ ἄμμῳ τὸν ἀδικοῦντα τὸν Ἰουδαῖον[5]· τεθανάτωκε καὶ Χριστὸς διάβολον, παραπέμψας αὐτὸν τῇ ἀβύσσῳ[6]. Εἰρήνευσε Μωϋσῆς τοὺς δύο ἀδελφοὺς αὐτοῦ μαχομένους εἰρήνευσε καὶ ὁ Χριστὸς τοὺς δύο λαοὺς αὐτοῦ, ἑνώσας τὰ οὐράνια τοῖς ἐπιγείοις[7]. Ἐκεῖ ἡ θυγάτηρ Φαραὼ λούσασθαι ἀπερχομένη[8] εὗρε λαβοῦ**[469]**σα τὸν Μωϋσῆν· ἡ δὲ τοῦ Χριστοῦ Ἐκκλησία καὶ θυγάτηρ βαπτίζεσθαι λαμβάνει Χριστόν, οὐκ ἀπὸ θίβης τριμηνιαῖον, ὡς Μωϋσῆν[9], ἀλλ' ἐκ τοῦ τάφου τριήμερον ἀντὶ Μωϋσῆ. Ἐκεῖ τυπικῶς καὶ νυκτερινῶς τὸ Πάσχα ὁ Ἰσραὴλ ἐποίησεν[10]· ἐνταῦθα φωτεινῶς τε καὶ ἡμερινῶς τὸ Πάσχα ἑορτάζομεν. Ἐκεῖ πρὸς ἑσπέραν τῆς ἡμέρας· ἐνταῦθα πρὸς ἑσπέραν τῶν χρόνων τοῦ αἰῶνος. Ἐκεῖ αἱ

**1.** Α' Κορ. 5,7. **2.** Πρβλ. Β' Κορ. 5,17. **3.** Πρβλ. Ψαλ. 50,12. **4.** Πρβλ. Ἐξ. 15,13. **5.** Πρβλ. Ἐξ. 2,12-13. **6.** Πρβλ. Ἀποκ. 20,3. **7.** Πρβλ. Φιλιπ. 2,10. **8.** Ἐξ. 2,5. **9.** Πρβλ. Ἐξ. 2,3. **10.** Πρβλ. Ἐξ. 12,21.



τῶν φλιῶν θύραι τῷ αἵματι ἐχρίοντο[1]· ἐνταῦθα αἱ τῶν πιστῶν καρδίαι τῷ τοῦ Χριστοῦ σφαγίζονται αἵματι. Ἐκεῖ νυκτερινὴ ἦν θυσία, καὶ νυκτὶ ἡ τῆς Ἐρυθρᾶς θαλάσσης διάβασις[2]· ἐνταῦθα σωτηρία, καὶ φωτεινὴ ἡ τῆς Ἐρυθρᾶς τοῦ βαπτίσματος θάλασσα, καὶ πυριζούσης τὸ πῦρ τοῦ Πνεύματος[3]· ἐν ᾧ καὶ Πνεῦμα Θεοῦ ἀληθῶς ἐπιφέρεται ὁμοῦ, καὶ ἐπιφαίνεται, καὶ ἐπὶ τοῦ αὐτοῦ ὕδατος, ἐν ᾧ συντρίβεται ἡ κεφαλὴ τοῦ δράκοντος[4], καὶ ἄρχοντος τῶν δρακόντων τῶν δαιμονικῶν τοῦ διαβόλου λαῶν. Ἐκεῖ τὸν Ἰσραὴλ νυκτερινῷ Μωϋσῆς βαπτίσματι· ἐκεῖ νεφέλη τὸν λαὸν σκέπει[5]· τὸν δὲ Χριστοῦ λαὸν ἡ δύναμις τοῦ Ὑψίστου ἐπισκιάζει[6]. Ἐκεῖ τοῦ λαοῦ σωθέντος ἡ Μωϋσέως Μαρία ἐχόρευσεν[7]· ἐνταῦθα δὲ τοῦ λαοῦ τῶν ἐθνῶν σωζομένου ἡ τοῦ Χριστοῦ Ἐκκλησία σὺν πάσαις αὐτῆς ταῖς Ἐκκλησίαις ἑορτάζει. Ἐκεῖ τῆς κτίσεως πέτρᾳ προσφεύγει Μωϋσῆς[8]· ἐνταῦθα τῆς πίστεως πέτρᾳ προσφεύγει ὁ λαός[9]. Ἐκεῖ αἱ πλάκαι αἱ νομικαὶ συντρίβονται[10], τὴν τοῦ νόμου διάβασιν μηνύουσαι ὁμοῦ, καὶ παλαίωσιν· ἐνταῦθα δὲ οἱ θεῖοι νόμοι ἀδιάρρηκτοι σώζονται. Ἐκεῖ μόσχος ἐχωνεύετο εἰς τὴν τοῦ λαοῦ τιμωρίαν[11]· ἐνταῦθα δὲ ὁ Ἀμνὸς τοῦ Θεοῦ[12] θύεται εἰς τὴν τοῦ λαοῦ σωτηρίαν. Ἐκεῖ ῥάβδῳ πέτρα τύπτεται[13]· ἐνταῦθα δὲ Χριστὸς ἡ πέτρα τὴν πλευρὰν νύττεται[14]. Ἐκεῖ ὕδωρ ἐκ τῆς πέτρας ἐξέρχεται[15]· ἐνταῦθα αἷμα καὶ ὕδωρ ἐκ ζωοποιοῦ πλευρᾶς πηγάζεται[16]. Ἐκεῖνοι ὀρτυγομήτραν κρέα ἐξ οὐρανοῦ ἐδέξαντο[17]· ἡμεῖς δὲ περιστερὰν τοῦ Πνεύματος ἐξ ὕψους δεχόμεθα[18]. Ἐκεῖνοι μάννα[19] πρόσκαιρον ἔφαγον, καὶ ἀπέθανον· ἡμεῖς (γὰρ) ἄρτον ἐσθίομεν εἰς ζωὴν αἰώνιον[20].

Ἀλλ' ἐκεῖνα ὡς παλαιὰ καὶ σκιώδη πεπαλαίωται, καὶ τετέλεσται[21]· τὰ δὲ τοῦ ἡμετέρου λαοῦ αὔξει, καὶ ἐπανθεῖ εἰς ἀεὶ

**1.** Πρβλ. Ἐξ. 12,23. **2.** Πρβλ. Ἐξ. 14,21 ἑξ. **3.** Πρβλ. Ματθ. 3,11. **4.** Πρβλ. Ψαλ. 73,13-14. **5.** Πρβλ. Ἐξ. 14,19. Α' Κορ. 10,1-2. **6.** Πρβλ. Λουκ. 1,35. **7.** Πρβλ. Ἐξ. 15,20 ἑξ. **8.** Πρβλ. Ἐξ. 17,6. Ἀριθ. 20,7. **9.** Πρβλ. Α' Κορ. 10,4. **10.** Πρβλ. Ἐξ. 32,19. **11.** Πρβλ. Ἐξ. 32,20. **12.** Πρβλ. Ἰω. 1,29. **13.** Πρβλ. Ἐξ. 17,6. Ἀριθ. 20,7. **14.** Πρβλ. Ἰω. 19,34. **15.** Πρβλ. Ἐξ. 17,6. Ἀριθ. 20,7. **16.** Πρβλ. Ἰω. 19,34. **17.** Πρβλ. Ἐξ. 16,13. Ψαλ. 104,40. **18.** Πρβλ. Ματθ. 3,16. **19.** Πρβλ. Ἐξ. 16,14 ἑξ. Ἰω. 6,49. **20.** Πρβλ. Ἰω. 6,41 ἑξ. **21.** Πρβλ. Β' Κορ. 5,17.

διαμένοντα. Αὕτη τοῦ Πάσχα ἡμῶν ἡ πρότυπος· αὕτη τῶν νομικῶν πραγμάτων ἡ σκιώδης διάβασις. Οὕτω τὰ τῆς ἑορτῆς νόησον· οὕτω τὰ τοῦ Μωσέως καὶ τῶν προφητῶν περὶ τῆς ἡμέρας σκόπησον, ἵνα πεισθῇς τῇ ἀναστάσει. Ἀπιστίας γὰρ πάντες τὸ κάλυμμα περίκεινται. Ἔχει πολλοὺς τοὺς τύπους, καὶ ἀπεριγράπτους τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ ἀναβιώσεως. Ταύτης μάρτυς ἀξιόπιστος Ἰσαὰκ ἡ σφαγή[1]· ταύτης τύπος ὁ λάκκος τοῦ Ἰωσήφ, ἐν ᾧ ὑπὸ τῶν ἀδελφῶν ἐνεβλήθη, ἔνθεν ἀνῆλθεν ἀθάνατος[2]. Ταύτης τύπος Ἱερεμίου ὁ λάκκος ὅθεν ἅπαξ ἐκ τῆς φθορᾶς, καὶ τοῦ βορβόρου ἀνῆλθε[3]. Χριστοῦ τῆς ἀναστάσεως τύπος τοῦ Ἰωνᾶ τὸ κῆτος, ἐξ οὗ προῆλθε τριήμερος[4]. Ἔχεις καὶ ἄλλον τοῦ ἐν ᾅδου δεσμωτηρίου τύπον τὸ τοῦ Ἰωσὴφ δεσμωτήριον, ἔνθα αὐτὸν ἡ μοιχαλὶς συναγωγὴ κατέκλεισεν[5], ἐξ οὗ προῆλθεν ἀβλαβὴς καὶ τριετής, ὡς Χριστὸς τριήμερος ἐκ νεκρῶν[6]. **[472]** Μεθ' ὧν καὶ Δανιὴλ τὸν τῶν λεόντων λάκκον[7] προτυποῖ τὸν τοῦ Σωτῆρος τάφον, ἐξ οὗ ζῶν Ἰησοῦς ἀνῆλθεν, ὡς ἐκ λεόντων ῥυσθεὶς τοῦ ᾅδου, καὶ τοῦ θανάτου. Διὰ τούτων Ἰουδαίους ἔλεγξον· διὰ τούτων αὐτοὺς ἐπιτίμησον· οὕτως ὑπὲρ τοῦ Χριστοῦ πάθους καὶ ἀναστάσεως ἀπολόγησαι. Ταῦτά σοι πρὸς συμμαχίαν σήμερον τὰ ὅπλα ὁ λόγος χαρίζεται· ταῦτά σε ἡ ἑορτὴ ἐπιδιδάσκει μυστήρια.

Εἶτα τί καὶ μετὰ ταῦτα; Ἡμεῖς μόνοι ἑορτάζομεν, ἢ καὶ τοῦ πλησίον μεριμνήσομεν; Ἡμεῖς πανηγυρίσωμεν, ἢ καὶ περὶ ἄλλων ἡμῖν ὁ λόγος; Ἀναγκαίως τῆς ἡμῶν ἑορτῆς θεάρεστος ὁμοῦ καὶ εὐπρόσδεκτος γενέσθω τις κοινὸς τῆς Ἐκκλησίας στεναγμὸς πρὸς τὸν Θεόν, καὶ ὑπὲρ τῶν ἐν ἀνάγκαις ἡμῶν ἀδελφῶν μνημονεύσωμεν, τῶν ἐν ἐρήμοις ἐν ἀνάγκαις ἐξεταζομένων ἰδίων ἡμῶν. Γενώμεθα ὡς συνδεδεμένοι τοῖς δεδεμένοις· γενώμεθα ὡς συμπάσχοντες τοῖς τὴν ἀνάγκην πάσχουσιν· ὅτι ἐὰν «ἓν μέλος πάσχοι, συμπάσχει πάντα τὰ μέλη»[8]. Συμπαθήσωμεν τοίνυν τοῖς ἡμῶν ἀδελφοῖς, τοῖς ἡμῶν μέλεσιν[9]· οἱ μὲν διὰ χρη-

1. Πρβλ. Γεν. 22,9 ἑξ. 2. Πρβλ. Γεν. 37,20 ἑξ. Ψαλ. 80,6. 3. Πρβλ. Ἱερ. 45,6. 4. Πρβλ. Ἰων. 2,1. 5. Πρβλ. Γεν. 39,20. 6. Πρβλ. Μάρκ. 8,31. 7. Πρβλ. Βὴλ καὶ Δράκ. 31,32 8. Α' Κορ. 12,26. 9. Πρβλ. Α' Κορ. 12,28.



μάτων, οἱ δὲ διὰ ῥημάτων, καὶ ἄλλοι δι' εὐποιίας, πάντες δὲ διὰ τῆς πρὸς Θεὸν ὑπὲρ αὐτῶν ἱκεσίας. Κοινὴ πάντων, παρακαλῶ, σήμερον γενέσθω πρὸς Θεὸν πρεσβεία, ὅτι κοινὴ ἡμῶν καὶ ἡ αἰχμαλωσία. Κοινή, παρακαλῶ, γενέσθω ἡ δέησις, ὅτι κοινὴ ὑπάρχει ἡ παίδευσις. Ἀκούσωμεν τοῦ λέγοντος, ὅτι Εὔξασθε ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε[1]. Ἀκούσωμεν Χριστοῦ λέγοντος, ὅτι Ἐὰν δύο ἢ τρεῖς συμφωνήσουσιν εἰς εὐχήν, περὶ παντὸς αἰτήματος οὗ αἰτήσονται, γενήσεται αὐτοῖς[2]. Μέγα, ἀδελφοί, ὅπλον εὐχὴ Ἐκκλησίας· μέγα τεῖχος, ἀδελφοί, πρὸς Θεὸν εὐχὴ συμφωνίας, καὶ μάλιστα λαοῦ πιστοῦ αἰχμαλωσίας. Μηδεὶς εἰπεῖν τολμήσει, ὅτι οὐκ εἰσακούει ὁ Θεὸς ἁμαρτωλῶν. Πλεῖον δέχεται τὴν δέησιν τῶν ταπεινῶν, καὶ μάλιστα τῶν διὰ τὸ ὄνομα αὐτοῦ καταπονουμένων, μαστιζομένων, φυλακιζομένων, θλιβομένων, ὑπὸ ἐχθρῶν ὀνειδιζομένων, καὶ τὴν πίστιν Χριστοῦ μὴ ἀρνησαμένων. Ἐξ ὧν ὑπάρχουσι πολλοὶ καὶ πολλαὶ ἐν τῷ παρόντι ἡμῶν λαῷ τοῦ Χριστοῦ ὁμολογηταὶ γενόμενοι, καὶ παρ' αὐτοῦ ταχέως εἰσακουόμενοι. Μέγα ὅπλον, ἀγαπητοί, ἡ ἐκείνων εὐχή[3]· αἰδεῖται γὰρ αὐτοὺς πάντας ὁ Χριστός, δι' ὧν καὶ καθ' ἡμέραν κινδυνεύουσι.

Διὸ ταῖς τούτων ἡμεῖς θαῤῥοῦντες εὐχαῖς, καὶ εἰς τὴν τούτων παῤῥησίαν πρὸς Θεὸν ἀποβλέποντες, κοινῶς καὶ ἐκτενῶς ὑπὲρ τῶν ἐν ἀνάγκαις ἀδελφῶν ἡμῶν προσευξώμεθα, διότι πολλάκις φιλανθρωπία βασιλικὴ ἐν ταῖς ἑορταῖς πολλοῖς καταδίκοις ἄφεσιν καὶ ἀπολύτρωσιν χαρίζεται. Μέγα, πάλιν λέγω, ἀδελφοί, εὐχὴ Ἐκκλησίας, καὶ μάλιστα πίστις αἰχμαλωσίας. **[473]** Καὶ γὰρ καὶ βασιλεὺς πολλάκις αἰδεῖται παράκλησιν δήμου, καὶ χαρίζεται καταδίκους δυσωποῦντι ὄχλου. Οὐκοῦν δεόμεθα πᾶσαν τὴν ὑμετέραν ἀγάπην ἐκτενῶς μνημονεῦσαι τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ἀνάγκῃ· καὶ κατ' αὐτὴν ἐκείνην τὴν φρικωδεστάτην ὥραν, ἐν ᾗ τὸν ἀτίμητον μαργαρίτην τοῦ Χριστοῦ σώματος ὑποδεξόμεθα ἐν ταῖς χερσὶν ἡμῶν. Οὕτως ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν ἐκτενῶς προσευξώμεθα, καὶ τῷ Χριστῷ εἴπωμεν· Αὐτὸς ὁ μόνος ὁ τότε καὶ νῦν ἀγαθὸς Θεός, καὶ φιλάνθρωπος Δεσπότης, ὁ διὰ τοῦ Πάσχα τὸν Ἰσραὴλ ἐκ δουλείας Αἰγύπτου ῥυσάμενος

1. Πρβλ. Ἰακ. 5,16. 2. Πρβλ. Ματθ. 18, 19. 3. Πρβλ. Ἰακ. 5,16.

καὶ διὰ τοῦ αἵματος τοῦ ἀμνοῦ ἐλευθερίαν αὐτῷ χαρισάμενος[1], αὐτὸς καὶ νῦν διὰ τοῦ ἀχράντου σου σώματος, καὶ τοῦ τιμίου αἵματος, τῆς πικρᾶς δουλείας ἐλευθερίαν τῷ κόσμῳ σου δώρησαι. Ὁ προσδεξάμενος τῆς ἁμαρτωλοῦ πόρνης τὸν κλαυθμόν[2], πρόσδεξαι σήμερον καὶ τὴν σὴν Ἐκκλησίαν καὶ αἰχμαλωσίας τὸν στεναγμόν· ὁ προσδεξάμενος τοῦ λῃστοῦ τοῦ πιστοῦ[3] τὴν παράκλησιν, πρόσδεξαι τοῦ λαοῦ σου τοῦ πιστοῦ τὴν δέησιν· ὁ προσδεξάμενος τοῦ Πέτρου τὴν μετάνοιαν[4], καὶ τὸν στεναγμόν, πρόσδεξαι καὶ ἡμῶν τὸν κλαυθμὸν τῶν πτωχῶν· ὁ μὴ ἀποστρέψας Χαναναίας τὰ δάκρυα[5], δέξαι καὶ μικρὰν Ἐκκλησίαν ὑπὲρ μεγάλης αἰχμαλωσίας πρεσβεύουσαν, καὶ πρὸς σὲ τὸν Θεὸν σήμερον βοῶσαν καὶ λέγουσαν· Ὁ Θεός, ὁ τριήμερος ἀναστὰς ἐκ τῶν νεκρῶν[6], ἀνάστησον ἐκ τῶν ἐχθρῶν τὸν πιστόν σου λαόν· ὁ τὸν Ἀδὰμ ἐγείρας ἐκ τῶν θνητῶν[7], ἔγειρον τὸ κέρας τῶν Χριστιανῶν· αὐτὸς ὁ τότε καὶ νῦν Θεός, ὁ τὴν μορφὴν τοῦ δούλου ἀναλαβών[8], λύτρωσαι ἐκ δουλείας τὸν ταπεινόν σου λαόν· ὁ νήπιος γενέσθαι καταξιώσας ὑπὲρ ἡμῶν, σῶσον μαχαίρας τὸ πλῆθος τῶν νηπίων ἡμῶν.

Αὐτὸς ὁ τότε Θεός, ὁ μετὰ μητρὸς ἐν Αἰγύπτῳ ξενιτεύσας[9], ἀνακάλεσαι τῆς μακρᾶς ξενιτείας τὰς μητέρας καὶ τὰ τέκνα· ὁ πραθεὶς ὑπὲρ πολλῶν ἑκουσίως[10], παῦσον τὴν πρᾶσιν τοῦ λαοῦ τῶν Ἐκκλησιῶν· ὁ δι' ἡμᾶς ἐν τῷ νώτῳ δεξάμενος τὰς τοῦ Πιλάτου μάστιγας[11], καὶ ἀπειλάς, αὐτὸς ὁ κοπιάσας δι' ἡμᾶς ἐκ τῆς ὁδοιπορίας[12], παῦσον τοῦ λαοῦ σου τοὺς κόπους καὶ ταλαιπωρίας· ὁ ἐν σταυρῷ βοήσας· «Διψῶ»[13], δρόσισον ψυχὰς δεινῶς διψώσας καὶ πεινώσας· ὁ μετὰ ἀνόμων ὑπὸ ἀνόμων κατακριθείς[14], ῥῦσαι καὶ ἡμᾶς ἐκ τῆς τῶν ἀνόμων βουλῆς· ὁ γυμνωθεὶς ὡς κακοῦργος ὑπὸ ἀνόμων[15], αὐτὸς ἐκεῖνος, Δέσποτα, ὑπὸ παρανόμων δεσμευθείς, λῦσον τοὺς ἐν δεσμοῖς πεπεδημένους[16]· ὁ τὴν ἄχραντόν σου μητέρα παρακαλέσας ἀπὸ τοῦ

**1.** Πρβλ. Ἐξ. 12,1-28. **2.** Πρβλ. Λουκ. 7,37-38. **3.** Πρβλ. Λουκ. 23,40-44. **4.** Πρβλ. Λουκ. 22,61-62. **5.** Πρβλ. Ματθ. 15,22. **6.** Πρβλ. Μάρκ. 8,31. Λουκ. 18,33. Ματθ. 16,21. **7.** Πρβλ. Ρωμ. 5,14-18. **8.** Πρβλ. Φιλιπ. 2,7. **9.** Πρβλ. Ματθ. 2,13. **10.** Πρβλ. Ματθ. 20,28. 26,15. **11.** Πρβλ. Ἰω. 19,1. **12** Πρβλ. Ἰω. 4,6. **13** Ἰω. 19,28. **14** Πρβλ. Λουκ. 22,37. Ἡσ. 53,12. **15.** Πρβλ. Ματθ. 27,28. Μάρκ. 15,20. **16.** Πρβλ. Ψαλ. 145,7.



σταυροῦ ὀδυρμοῦ, καὶ τοῦ κλαυθμοῦ[1] αὐτὸς ὁ τότε βοήσας ταῖς μυροφόροις τὸ «Χαίρετε»[2], αὐτὸς καὶ νῦν βόησον ταῖς Ἐκκλησίαις σου, Χαίρετε· αὐτὸς ὁ τοῖς ἥλοις τοῖς τιμίοις προσηλωθεὶς τὰς χεῖρας καὶ τοὺς πόδας, λῦσον σιδηροδέσμων λαῶν τὰς χεῖρας καὶ τοὺς πόδας. Ναί, Δέσποτα φιλάνθρωπε, ὁ εἰπών, Περίλυπός ἐστιν ἡ ψυχή μου ἐκ θανάτου[3]· ῥῦσαι τὸν λαόν σου τῆς λύπης καὶ τοῦ θανάτου· αὐτὸς ὁ τῇ ῥομφαίᾳ νυγεὶς τὴν πλευράν σου[4], σύντριψον τῶν ἐχθρῶν τὴν ῥομφαίαν τῇ χειρί σου τῇ κραταιᾷ, καὶ μνήσθητι, Δέσποτα, ὡς **[476]** τοῦ λῃστοῦ σου τοῦ πιστοῦ[5] καὶ τοῦ λαοῦ σου· ὁ χύσας τὸ ἄχραντον αἷμα ὑπὲρ ἡμῶν[6], παῦσον τὴν σύγχυσιν τῶν αἱμάτων ἡμῶν. Σῶσον τὸν λαόν σου, Δέσποτα· φεῖσαι τῆς κληρονομίας σου «Ἐξεγέρθητι· ἵνα τί ὑπνοῖς, Κύριε»[7]; Ἵνα τί τοῖς ἐχθροῖς μακροθυμεῖς· Ἵνα τί ἀποστρέφεις τὸ πρόσωπόν σου ἀφ' ἡμῶν[8]; «Ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος»[9]· μὴ παρίδῃς εἰς πλήρης... Μνήσθητι τοῦ σταυροῦ σου, μνήσθητι τοῦ λαοῦ σου, μνήσθητι τῶν οἰκτιρμῶν σου. Ὁ τεσσαράκοντα ἡμέρας ἑκουσίως δι' ἡμᾶς πειρασθείς[10], Δέσποτα, μνήσθητι τῶν ἐν ἐρήμοις πειραζομένων λαῶν σου, τῶν ἐν ἀβάτοις καὶ ἀνύδροις· ἐκείνων μνήσθητι μεθ' ἡμῶν, καὶ πρὸ ἡμῶν, ἀγαθὲ φιλάνθρωπε. Ἐκείνους συμβοήθησον, ἐκείνους πρόφθασον· ἐκείνους λοιπὸν ἐπίσκεψαι· ἐκείνους τοὺς ὑπὲρ πάντας ἐλεεινούς, τοὺς παρὰ πάντας ὄντας ἐπὶ τῆς γῆς ταπεινούς· ἐκείνους τοὺς ἐν ἐρήμοις παρὰ ἀνθρώπων ἀπεγνωσμένους· οἵτινες μακρὰν ἐκ τῆς χειρός σου ἐδιώχθησαν· οἵτινες μεγάλως τῷ θυμῷ σου ἐπαιδεύθησαν· οἵτινες μεγάλως τῇ ὀργῇ σου ἠλέχθησαν[11]· οἵτινες πρὸ θανάτου ὡς νεκροὶ ἀπὸ ἀνθρώπων ἐπλήσθησαν· οἵτινες μετὰ θηρίων ἀγρίων οἰκεῖν κατεκρίθησαν· ὧν τὴν βίαν οὐδεὶς καθορᾷ, εἰ μὴ μόνος ὁ σὸς ἀκοίμητος ὀφθαλμός· ὧν τὴν ἀνάγκην σύ, Δέσποτα, γινώσκεις, καὶ ἄλλος οὐδεὶς εἰς αἰῶνα· λοιπὸν δι' ὧν χωρισθέντες, τῆς οἰκουμένης τέλος μακρυνθέντες, τῶν ἐκκλησιῶν λοιπὸν ἐπιλησθέντες, τῶν ἑορτῶν τὴν ἡμέραν ἀγνοοῦντες.

**1.** Πρβλ. Ἰω. 19,26-27. **2.** Ματθ. 28,9. **3.** Πρβλ. Ματθ. 26,38. **4.** Πρβλ. Ἰω. 19,34. **5.** Πρβλ. Λουκ. 23,40-44. **6.** Πρβλ. Α' Πέτρ. 1,19. **7.** Ψαλ. 43,24. **8.** Πρβλ. Ψαλ. 43,25. **9.** Ψαλ. 43,24. **10.** Πρβλ. Λουκ. 4,2. Ματθ. 4,2. **11.** Πρβλ. Ψαλ. 6,2.

Ἐκείνοις μικρὸν ἔλεος ποίησον, Δέσποτα· οὐ γὰρ αἰτοῦμαι πολύ. Φθάσον ἐκείνους, ὁ Θεός, ὁ παιδεύσας ἐκείνους· φθάσον τά ποτε τέκνα σου, ὅτι καὶ αὐτοί ποτε τέκνα σου, ὅτι καὶ αὐτοί ποτε Χριστιανοὶ ὑπῆρχον, καὶ αὐτοί ποτε ποίμνη σου, καὶ αὐτοί ποτε μέλη σου, καὶ αὐτοί ποτε τοῦ ἀχράντου σου μετελάμβανον σώματος[1], καὶ νῦν σωμάτων ἀλόγων μεταλαμβάνουσι. Διὸ δή, Δέσποτα, ἐπίβλεψον ἐπ' αὐτοὺς ἐν ἐλέοις καὶ οἰκτιρμοῖς σου[2]. Ἴδε ἐκείνων τῶν ἐλεεινῶν τὴν βίαν, καὶ δὸς φιλανθρωπίαν· ἴδε τὴν γύμνωσιν, καὶ δὸς τὴν ἀνάῤῥυσιν· ἴδε τὴν βαθεῖαν ἐρημίαν, καὶ ποίησον τὴν σὴν εὐσπλαγχνίαν. Εἰ γὰρ καὶ δικαίως ἐπαίδευσας, ἀλλ' ὅμως ἴασαι· εἰ καὶ ἀξίως παρέδωκας, ὅμως συνάγαγε. Ἐμάστιξας, παρακάλεσον· παρέδωκας, λύτρωσαι. Εἰ καὶ πολλάκις ἡμάρτομεν, ἀλλ' ὅμως πάλιν ἡμῶν μνήσθητι, καὶ πάλιν ἡμῶν τῇ δεήσει πείσθητι, καὶ μάλιστα τοῖς ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ [ὁ παῖς] ταῖς ὀπαῖς τῆς γῆς[3] ἀβάτοις τόποις ἡμῶν ἀδελφοῖς (σου) Χριστιανοῖς, σοῦ δὲ λαοῖς. Εἰ γὰρ καὶ ἡμεῖς ἐν ἐκκλησίαις μετὰ τῶν πιστῶν, ἀλλ' ἐκεῖνοι ἐν ἐρημίαις μετὰ τῶν ἐχθρῶν· εἰ καὶ ἡμεῖς φαιδροὶ ἐν ταῖς ἑορταῖς, ἀλλ' ἐκεῖνοι ἐν μεγάλῃ σκοτίᾳ. Μεγάλη ἡ ἐκείνων δυστυχία· μέγα τὸ ἐκείνων ὕποπτον· δεινὸν τὸ ἐκείνων τραῦμα, πικρὰ ἡ ἐκείνων συμφορά· ἀδιήγητος ἡ αὐτῶν καταφθορά, μέγα τὸ ἐκείνων κέντρον, πολλὴ ἡ ἐκείνων τραγῳδία, Δέσποτα. Μὴ ἀφήσῃς ἕως ἔξω, ἀλλά, μετὰ **[477]** τῆς παιδείας δεῖξον καὶ τὴν σὴν φιλανθρωπίαν, ἵνα μὴ εἰς τέλος οἱ Ἰουδαῖοι καυχήσωνται, ἵνα μὴ τὰ ἔθνη περὶ ἡμῶν εἴπωσι· «Ποῦ ἔστιν ὁ Θεὸς αὐτῶν;»[4]. Ποῦ ἔστιν ὁ Χριστὸς αὐτῶν; Ποῦ ἔστιν ὁ σταυρὸς αὐτῶν; Ποῦ ἔστιν ἡ ἐλπὶς αὐτῶν; Ποῦ ἡ πίστις τῶν Χριστιανῶν; Ἵνα μὴ ταῦτα εἴπωσι, ταχὺ τὰ ἐλέη σου εἰς ἡμᾶς θεωρήσουσι· «Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα»[5], ὅτι ἐταπεινώθημεν σφόδρα[6], ὅτι ὠλιγώθημεν σφόδρα. Λοιπὸν «εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων»[7]· δυσωπήσει σε τὰ δάκρυα τῶν ἀκάκων νηπίων,

---

**1.** Πρβλ. Λουκ. 22,19-20. **2.** Πρβλ. Ψαλ. 102,4. **3.** Πρβλ. Ἑβρ. 11,38. **4.** Ψαλ. 113,10. **5.** Ψαλ. 78,8. **6.** Πρβλ. Ψαλ. 118,107. **7.** Ψαλ. 78,11.



τῶν κατασφαζομένων[1]· ἱκετεύσει σε ὀδυρμὸς μητέρων τῶν ἀτεκνουμένων. Ταῦτα λέγοντες δεόμεθα, οὐ μαχόμεθα, Δέσποτα· δεόμεθα, ἀλλ' οὐ πρὸς σὲ δικαζόμεθα. Δεόμεθα, ὅτι ὑπὸ ἀνόμων ὀνειδιζόμεθα, ὅτι ἐξ Ἑλλήνων καταπονούμεθα· οὐ μαχόμεθα, ἀλλὰ ἐξομολογούμεθα. Κλαίομεν, ὅτι καὶ οἱ λοιποὶ κινδυνεύουσιν. Εἰ γὰρ καὶ ἁμαρτωλοί, ἀλλ' ὅμως Χριστιανοὶ τυγχάνομεν· εἰ καὶ ταπεινοί, ἀλλ' ὅμως τῆς πίστεώς σου λαός· εἰ καὶ ἀνάξιοι φιλανθρωπίας, ἀλλ' ὅμως πρόβατα τῆς σῆς Ἐκκλησίας ἐσμὲν ἐν ἑνὶ συνηθροισμένοι. Ταύτην σοι τὴν ἱκεσίαν οἱ πτωχοὶ ὑπὲρ πλήθους λαοῦ αἰχμαλωσίας, ἐν τῇ σῇ τριημέρῳ ἀναστάσει[2] προσάγομεν ἱερεῖς καὶ λαοί, «νεανίσκοι καὶ παρθένοι, πρεσβῦται μετὰ νεωτέρων»[3], νήπια μετὰ μητέρων, πᾶσα ψυχὴ τῶν πιστευόντων εἰς σέ· οὓς λύτρωσαι πάντας πάσης τῆς ἐπικειμένης ἀπειλῆς, καὶ τῆς σῆς βασιλείας ἀξίους ποίησον, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Δεσπότου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, σὺν τῷ Παναγίῳ καὶ Ζωοποιῷ αὐτοῦ Πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ*

Εὐλογητὸς ὁ Θεός.

**[477]** Κόσμος σώματος ἡ ἐπιτεθεῖσα τῷ σώματι κεφαλή· κόσμος δὲ τῶν ἑορτῶν ἡ σήμερον ἑορτή. Τί γάρ; φησί. Χριστοῦ Ἀνάληψιν μετὰ σαρκὸς ἑορτάζομεν, ὡς τῶν Δεσποτικῶν ἑορτῶν δεικνυμένην πλήρωμα. Καθάπερ γὰρ κεφαλὴ φαιδρόμορφος, οὕτω καὶ ἡ σήμερον ἑορτὴ τῆς θεϊκῆς χάριτος ἀπαυγάζει τὸ κάλλος· ἀλλ' οἱ πολλοὶ ἀγνοοῦντες τὸ ταύτης μέγεθος, ἧττον αὐτὴν νομίζουσι. Καὶ εἰ βούλεσθε μαθεῖν, ἀνεξικάκως συντείνατέ μοι τὸν νοῦν. Μόνον μοι δι' εὐχῶν συνεργήσατε, παρακαλῶ· καὶ τὰς μολυβδώδεις αὔρας καταστείλατε· καὶ τὰ κύματα τῆς φλυαρίας γαληνιάσατε καὶ σχολάζουσάν μοι τὴν ἀκοὴν παρά-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. - P. Migne, Patrologiae cursus completus, series Graeca τ. 43, 477-485.

**1.** Πρβλ. Ματθ. 2,16. **2.** Πρβλ. Μάρκ. 8,31. **3.** Ψαλ. 148,12.

σχῆτε. Κατὰ γὰρ τὸν σοφὸν Σολομῶντα, «λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται»[1]. Πρώτην τοίνυν **[480]** ἑορτὴ ἡ φρικτὴ καὶ θαυμαστὴ κατὰ σάρκα τοῦ Χριστοῦ γέννησις. Πῶς γὰρ οὐ θαυμαστὴ ἡ ἐξ οὐρανῶν τοῦ Θεοῦ πρὸς ἡμᾶς κατάβασις, μᾶλλον δὲ συγκατάβασις; Ὅτι ὁ πάντων Δεσπότης τὴν τοῦ δούλου μορφὴν ἑνῶσαι ἑαυτῷ κατηξίωσε, καὶ πτωχὴν μητέρα ἔχειν ὁ πάντα περιέχων. Δευτέρα ἑορτὴ ἡ τῶν Θεοφανίων πολλῷ τῆς πρώτης τὴν θεωρίαν μείζω ἔχουσα. Ἐν μὲν γὰρ τῇ πρώτῃ ἑορτῇ ὑπεδείκνυε τὸν τεχθέντα Θεὸν Λόγον ἀστήρ· ἐν δὲ τῇ δευτέρᾳ ἑορτῇ Ἰωάννης ἐβόα, «Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[2]. Ἐβεβαίου δὲ τὴν μαρτυρίαν τοῦ βαπτιζομένου οὐρανόθεν βοῶν ὁ Πατήρ· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα»[3].

Ἀλλ' οὐδὲ τότε ὁλόκληρος ἡ τῆς σωφροσύνης ἀπόλαυσις, ἐπειδὴ μηδέπω τὸ θνητὸν σῶμα διὰ τῆς ἀναστάσεως τὴν ἀθανασίαν ἐδέξατο. Τρίτη ἑορτὴ τοῦ σωτηριώδους πάθους ἡ ἀνάστασις ζωοποιεῖ τοὺς διὰ τοῦ βαπτίσματος τοῦ αἵματος αὐτοῦ μαρμαρυγὰς ἀπαστράπτοντας, καὶ ἀναγεννωμένους δι' ὕδατος καὶ Πνεύματος Ἁγίου. Διὸ καὶ πεσόντα κόσμον ἀνέστησε καὶ τὸν πάλαι ἐκπεσόντα Ἀδὰμ ζωῆς αἰωνίου ἠξίωσε[4]. Διὰ ξύλου ὁ Ἀδὰμ θάνατον ἐτρύγησε[5]· διὰ ξύλου σταυροῦ ζωὴν τῷ κόσμῳ χαρίζεται[6]. Καὶ αὕτη μὲν τῶν προλαβουσῶν ἑορτῶν ἐνδοξοτέρα ἀνεδείκνυτο, ἐπειδὴ ἐν αὐτῇ ὁ θάνατος διὰ θανάτου τὸν θάνατον θανατώσας, καὶ ζωὴν ἀθάνατον τοῖς θανοῦσιν ἐπήγαγεν[7]. Ἀλλὰ καὶ αὐτὴ οὐκ εἶχε τῆς χαρᾶς τὴν πληρότητα ἐπὶ γῆς τὸν ἀναστάντα κατέχουσα. Καὶ ἡ τῆς Πεντηκοστῆς δὲ χαρὰν μεγάλην καὶ ὑπὲρ λόγον, ἐν ᾗ τοῖς ἀποστόλοις ἐδίδοτο Πνεῦμα Ἅγιον[8] σήμερον δὲ ἐν τῇ τῆς Ἀναλήψεως ἡμέρᾳ πάντα διὰ πάντων εὐφροσύνης πεπλήρωται. Οὐρανοὺς τοὺς φεγγοτόκους ἀνοίξας, καὶ τὸν λεπτομερέστατον ἀέρα βαθμώσας, καὶ τὸν ἐκ γῆς εἰς τὰς οὐρανίους ἀψῖδας ἀνασφαιρώσας, καὶ πάσας τὰς τῶν ἀγγέλων φύσεις εἰς χαρὰν ἄληκτον παρορμήσας, ξένην ἡμῖν θέαν ἐπέδειξε, τὴν ἡμετέραν σάρκα ἐπὶ θρόνου βασιλικοῦ ἐπηρμένην.

**1.** Ἐκκλ. 9,17. **2.** Ἰω. 1,29. **3.** Ματθ. 3,17. Πρβλ. Μάρκ. 1,11. Λουκ. 3,22. **4.** Πρβλ. Ρωμ. 5,14. Α' Κορ. 15,22. **5.** Πρβλ. Ρωμ. 5,14. **6.** Πρβλ. Α' Πέτρ. 2,24. **7.** Πρβλ. Α' Κορ. 15,21. **8.** Πρβλ. Πράξ. 2,1.



Ποῦ εἰσὶν οἱ περὶ τὰ ἱπποδρόμια ἀσχολούμενοι, καὶ ἡνιόχων ἀγαπῶντες ὀξύτητα; Δεῦτε, ἴδετε παράδοξον ἱπποδρόμιον· τὸν τῆς κτίσεως Δημιουργὸν ἐν ἀνθρωπίνῳ ἐποχούμενον ἅρματι, οὐκ ἐπὶ γῆς ἀτάκτως ἐλαύνοντα, ἀλλ' αἰθερίους δρόμους καινοπρεπῶς ἀναστέλλοντα, καὶ τὸν οὐράνιον καμπτῆρα καταλαμβάνειν ἐπειγόμενον, καὶ τὸν παρατρέχοντα Βελίαρ[1] δυνατῶς καταστρέφοντα.

**[481]** Ἀλλ' Ἰουδαίων παῖδες οἱ βάσκανοι τῆς ἀληθείας ἀκούσαντες, ὅτι ὁ Χριστὸς ἀνελήφθη[2] εἰς οὐρανούς, ἀμαυρῶσαι βουλόμενοι τὸ παράδοξον θαῦμα τοῦ Ἡλίου τῆς δικαιοσύνης, τὸν Ἠλίαν παρεισάγουσι λέγοντες· Τί μεγάλα κομπάζετε, Χριστιανοί, ὅτι ἀνελήφθη ὁ Χριστός, ὡς λέγετε; Καὶ γὰρ Ἠλίας, ἄνθρωπος ὤν, τῆς ὁμοίας δόξης ἀξιωθεὶς ἀνελήφθη εἰς οὐρανούς[3]. Πρὸς οὓς μετὰ παρρησίας φθεγξόμεθα· Διὰ τί, ὦ Ἰουδαῖοι, τὰς βίβλους ὡς τυφλοὶ σκυλεύετε, καὶ τὰ γεγραμμένα ἐν αὐταῖς μετὰ ἀκριβείας οὐ βλέπετε; Διὰ τί ἀναγινώσκετε, καὶ οὐκ ἐπιγινώσκετε; Τί γάρ φησιν ἡ θεία Γραφή; «Καὶ ἀνελήφθη Ἠλίας ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν»[4]· τὸ δέ, ὡς εἰς τὸν οὐρανὸν ἀμφίβολον ἔχει τὴν ἔννοιαν· τὸ δέ, «εἰς τὸν οὐρανὸν» τρανὴν δείκνυσι τὴν ἀλήθειαν. Ὅτι δὲ οὔτε Ἠλίας, οὔτε ἕτερός τις ἀνέβη εἰς τὸν οὐρανόν, εἰ μὴ μόνος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός, αὐτὸς περὶ ἑαυτοῦ πάντας πληροφορῶν λέγει· «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ»[5]· ὁ ποιμὴν ὁ καλός, ὁ τὰ ἐνενήκοντα ἐννέα τῶν ἀγγέλων πρόβατα καταλιπὼν ἐπὶ τὰ οὐράνια ὄρη, καὶ τὸ πεπλανημένον πρόβατον εὑρηκώς, καὶ ὤμοις φιλανθρωπίας βαστάζων[6], καὶ εἰς τὸν οὐράνιον λιμένα ἀνενεγκών, τῷ ἰδίῳ Γεννήτορι δωροφορῶν φθέγγεται· Εὗρον, Πάτερ, τὸ πρόβατον τὸ πλανώμενον, ὅπερ ὁ ἀπατεὼν ὄφις δολοτρόποις τεχνάσμασιν ἠπάτησε, καὶ κακίας ὁδοὺς ὑπέδειξε, πηλῷ δὲ τῆς πολυθεΐας τὴν καθαρότητα τῆς θεογνωσίας ἐμόλυνε.

Θεασάμενος οὖν αὐτὸ ἐν τῷ βορβόρῳ τοῦ βίου πνιγόμενον,

**1.** Πρβλ. Β' Κορ. 6,15. **2.** Πρβλ. Μάρκ. 16,19. **3.** Ἐνθ' ἀν. **4.** Δ' Βασ. 2,11. **5.** Ἰω. 3,13. **6.** Πρβλ. Λουκ. 15,4-6. Ματθ. 18,12.

τῇ τῆς θεότητός μου δεξιᾷ ταχέως ἀνήρπασα· καὶ τοῖς τῶν οἰκτιρμῶν σπλάγχνοις ἐν τοῖς τοῦ Ἰορδάνου ῥεύμασιν ἀπέπλυνα[1], καὶ μυρίσας τῇ εὐωδίᾳ τοῦ Ἁγίου μου Πνεύματος, διὰ τῆς ἀναστάσεως νῦν παραγέγονα, ἄξιον τῆς σῆς θεότητος προσκομίζων σοι ξένιον, τὸ λογικὸν πρόβατον. Σήμερον ὁ διάβολος τὴν οἰκείαν ἧτταν ὀδύρεται, ὁρῶν τὸ ἡμέτερον σῶμα εἰς οὐρανοὺς ἀναγόμενον· σήμερον ἡ ἁμαρτία διὰ τῆς Ἀναλήψεως τοῦ Χριστοῦ Ἰησοῦ[2] ὡς καπνὸς διαλέλυται· σήμερον ὁ διάβολος θρηνεῖ λέγων. Τί ποιήσω, ὁ ἄθλιος; Πάντας τοὺς ἀπ' αἰῶνος ὡς ἱέραξ ὀξυπετὴς ἁρπάξας παρ' ἐμοῦ, ἔρημόν με κατέστησε, καὶ πανταχόθεν με πτεροκοπήσας εἰς γῆν κατέῤῥαξεν. Ἠπάτησέ με ὁ τῆς Μαρίας υἱός. Οὐκ ᾔδειν, ὅτι Θεὸς ἐν ἀνθρωπίνῳ κρύπτεται σώματι. Ἔβλεπον αὐτὸν σῶμα ἀνθρώπινον περικείμενον, καὶ ἄνθρωπον αὐτὸν νομίσας ψιλόν, κατ' αὐτοῦ τοὺς Ἰουδαίους ἐκίνησα· καὶ ἅπερ δι' ἑαυτοῦ μὴ ἐτόλμων διαπράξασθαι, ταῦτα διὰ Ἰουδαίων ἐνήργησα. Μυ**[484]**ρίας συκοφαντίας ἐφεῦρον· πᾶν εἶδος ὕβρεως εἰς αὐτὸν ἐπενόησα· καλάμῳ καὶ σπόγγῳ αὐτὸν ἐπότισα[3], ἀκάνθαις τὴν κεφαλὴν αὐτοῦ ἐστεφάνωσα[4], ῥαπίσμασιν αὐτὸν ἠτίμωσα[5], σταυρῷ διὰ ἥλων προσήλωσα θανάτῳ τέλος ὑποβαλὼν[6], ὡς νικήσας, μετὰ Ἰουδαίων ἑόρταζον. Θεασάμενος δὲ αὐτὸν ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἐγήγερται[7], καθὼς προεῖπον, ὡς ξίφος κατὰ καρδίας ἀθρόως δεξάμενος κατέπεσον· θεασάμενος δὲ αὐτὸν ὅτι ἐσθίει καὶ πίνει, πάλιν ἕτερον σταυρὸν κατεσκεύαζον. Ἀλλ' ὡς ταῦτα ἐνεθυμούμην πρὸς ἑαυτόν, ὁρῶ αὐτὸν μετὰ δόξης εἰς οὐρανὸν ἀνερχόμενον, ὅθεν ἐγὼ μετ' αἰσχύνης ἐξέπεσον. Διὸ καὶ Ψαλμῳδὸς ἐκ πολλῶν τῶν χρόνων ἐβόα λέγων· «Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας· ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, ὅτι Κύριος ὕψιστος, βασιλεὺς φοβερός, μέγας ἐπὶ πᾶσαν τὴν γῆν»[8]· καὶ πάλιν· «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος»[9]. Θέλω αὐτὸν καταδιῶξαι, καὶ ὡς μόλυβδος κάτω φέρομαι· βούλομαι αὐτὸν κρατῆσαι, καὶ ἀοράτως ἐξαγκωνίζομαι.

**1.** Πρβλ. Μάρκ. 1,9. **2.** Πρβλ. Πράξ. 1,3,11. Μάρκ. 16,19. **3.** Πρβλ. Ματθ. 27,48. **4.** Πρβλ. Ματθ. 27,29. **5.** Πρβλ. Μάρκ. 14,65. **6.** Πρβλ. Ἰω. 20,25. 19,30. **7.** Πρβλ. Μάρκ. 8,31. **8.** Ψαλ. 46,2-3. **9.** Ψαλ. 46,6.



Τί ποιήσω ὁ τάλας; Πανταχόθεν με περιήλασεν. Ἐξ οὐρανῶν με ὡς λίθον βραχύτατον εἰς γῆν ἐσφενδόνησε κάτω. Πεσὼν δὲ ἐν τῇ γῇ, ἐν τοῖς ὕδασι κρυβῆναι ἠθέλησα· καὶ εὑρών με ἐν τοῖς τοῦ Ἰορδάνου ῥείθροις κρυπτόμενον, ὡς δράκοντα, κρατήσας ἐμάστιξε. Θέλω κἂν τῆς γῆς κρατῆσαι, καὶ πάντες ὡς δεσποτικῆς νομῆς φύλακες, τὴν κατ' ἐμοῦ φωνὴν βοῶσι· «Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ»[1]. Ἔδειξεν ὁ σεισμός, ὅτι «τοῦ Κυρίου ἡ γῆ». Ἡ γὰρ γῆ τὸ τοῦ Κυρίου ὄνομα μὴ φέρουσα ἀκαρτερήτῳ τρόμῳ ἐβράσσετο, διὰ τὴν ἀταξίαν τῶν αὐτῆς τέκνων μαστιζομένη, καθάπερ στόμα κατὰ τῶν στοιχείων ἀνοίξασα ῥήγματα, τῆς κρυπτομένης ὀδύνης ἐβόα τὸ μέγεθος· καὶ φείσασθαι τῶν ἡμαρτηκότων, ὡς μήτηρ ὑπὲρ τέκνων, ἱκέτευε. «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ»[2]. «Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς»[3]. Τὴν γὰρ σάρκα τὴν ἐκ γῆς πλασθεῖσαν ἥνωσεν ἐν αὐτῷ ὁ Χριστός, καὶ ἐκάθισεν ἐν οὐρανοῖς. Ἔρχεται ὁ διάβολος διὰ πορνείας μολύνειν βουλόμενος. Ἀλλ' ὡς φύλαξ ἄγρυπνον ἔχων τὸν τῆς ψυχῆς ὀφθαλμόν, μὴ συγχωρήσῃς τῷ ληστῇ τὸν τῆς διανοίας διαῤῥῆξαι ὀφθαλμόν, ἵνα θαῤῥῶν πρὸς αὐτὸν εἴπῃς· Δεσποτικοῦ κτήματος προδότης οὐ γίνομαι, διάβολε. «Τοῦ Κυρίου γὰρ ἡ γῆ» καὶ ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἡ πάντοτε ὑπὸ τοῦ οὐρανίου ὄμβρου γεωργουμένη, καὶ ἀειθαλὲς καρποφοροῦσα Χριστῷ τριάκοντα [καὶ ἑξήκοντα] καὶ ἑκατόν[4]. Ἐξῆλθε, φησίν, ὁ σπείρων τοῦ σπεῖραι· καὶ τὸ μὲν ἔπεσεν ἐπὶ τὴν ὁδόν, τὴν ἀπάτην τὴν Ἑλληνικήν. Καὶ ἦλθον τὰ πετεινά, οἱ ὀξύπεινοι τῶν δαιμόνων ἅρπαγες, καὶ κατέφαγον αὐτό[5]. «Ἄλλο ἔπεσεν ἐπὶ τὰ πετρώδη»[6], τὴν σκληρότροπον τῶν Ἰουδαίων φημὶ προαίρεσιν, καὶ εὐθέως ἀνέτειλε **[485]** προπετείας φυτὸν [καὶ] παρανομίας. Τοιοῦτος γὰρ Ἰουδαίων ὁ τρόπος. Ἐν γὰρ τῇ ἐρήμῳ νομοθετούμενοι ἔφασκον πρὸς Μωϋσῆν· Πάντα ὅσα εἶπεν ὁ Θεός, ποιησόμεθα καὶ ἀκουσόμεθα[7]. Καὶ οἱ ταῦτα ἐπαγγελόμενοι, μό-

**1.** Ψαλ. 23,1. Α' Κορ. 10,26. **2.** Ψαλ. 105,2. **3.** Ψαλ. 23,1. Α' Κορ. 10,26. **4.** Πρβλ. Ματθ. 13,23. **5.** Πρβλ. Ματθ. 13,4-5. **6.** Ματθ. 13,5. **7.** Πρβλ. Ἐξ. 24,7.

σχον ἄψυχον προσεκύνουν[1], καὶ τὸν νεκρὸν τοῦ ζῶντος Θεοῦ προετίμων. Ἄλλο «ἔπεσεν ἐπὶ τὰς ἀκάνθας»[2], τὰς τραχυκέντρους καὶ βλασφημογλώσσους αἱρέσεις, αἵτινες τὸν τῆς εὐσεβείας σπόρον καθ' ἡμέραν συμπνίγουσιν. Ἕτερον «ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν»[3], τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, τὴν εὔφορον, τὴν καρποφοροῦσαν τριάκοντα καὶ ἑξήκοντα καὶ ἑκατόν[4]. Τριάκοντα τὸν τῆς σωφροσύνης ζυγόν· ἑξήκοντα τῆς ἀγγελομόρφου παρθενίας· ἑκατὸν τῆς θείας δικαιοσύνης, καὶ ἁγνείας, καὶ τῆς τῶν μαρτύρων ἀνδραγαθίας.

Οἱ γὰρ τῆς εὐσεβείας κήρυκες τὴν ἐπ' ἐσχάτων τοῦ Κυρίου ἔλευσιν πᾶσιν εὐαγγελιζόμενοι ἔλεγον· Οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν ἀναλαμβανόμενον[5]. Ὤφθησαν γὰρ «δύο ἄνδρες»[6] ἐν ἐσθῆτι λευκῇ. Δύο, ἵνα πιστευθῇ ἡ ἀλήθεια· ἄνδρες, ἵνα εἰς ἀνδρίαν τοὺς μαθητὰς στηρίξωσι· λευχειμονοῦντες, ἵνα καταλαμπρύνωσι τὰς τῶν ἀκουόντων διανοίας. Τί οὖν οἱ ὀφθέντες ἐκήρυττον; Ἄνδρες Ἰσραηλῖται, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν[7]; τί εἰς τὸν οὐρανὸν ἀτενίζετε; Μᾶλλον τὸν οὐρανοῦ ποιητὴν θεωροῦντες, δοξάσατε τοῦ ἀναλαμβανομένου τὸ μέγεθος, καὶ τὴν συγκατάβασιν αὐτοῦ τῆς φιλανθρωπίας θαυμάσατε, ὅτι τὸν γήινον ἑνώσας ἑαυτῷ ἄνθρωπον, οὐρανοπολίτην ἀνέδειξε, καὶ οἰκήτορα οὐρανοῦ κατέστησε· βαβαί! τὸν κάτω κείμενον ποῦ ἀνήγαγε. «Τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; Οὕτως ἐλεύσεται»[8]. Οὕτω. Πῶς; Τὸ σῶμα τὸ ἡμέτερον περικείμενος, τὴν τρωθεῖσαν τῇ λόγχῃ πλευρὰν προβαλλόμενος· ἵνα ὄψωνται οἱ Ἰουδαῖοι εἰς ὃν ἐξεκέντησαν· ἡμεῖς δὲ ἀξιωθῶμεν ὄψεσθαι τὸ πρόσωπον αὐτοῦ μετὰ παῤῥησίας, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ καὶ Ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**1.** Πρβλ. Ἐξ. 32,2-4. 19. **2.** Ματθ. 13,7. **3.** Ματθ. 13,8. **4.** Πρβλ. Ἔνθ' ἀν. **5.** Πρβλ. Πράξ. 1,11. **6.** Πράξ. 1,10. **7.** Πρβλ. Πράξ. 1,11. **8.** Ἔνθ. ἀν.



## ΕΓΚΩΜΙΟΣ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΗΝ ΘΕΟΤΟΚΟΝ*

**[485]** Τὰς ἐκλαμπούσας μαρμαρυγὰς τῆς Θεοτόκου ἀκτῖνας φοβερὰς καὶ ἀκαταλήπτους δυνάμεις, οὐρανοῦ καὶ γῆς οἰκουμένης μυστήριον, θαῦμα, ἱλαστήριον **[488]** φράσας ὁ τάλας ἐγώ, εἰς ἀκριβεστέραν ἔννοιαν ὁ τῆς καρδίας μου ἔνδον σκιρτήσας λογισμὸς βαθείας μνήμης, καὶ ὑψηλοτάτης θεωρίας πειρώμενος φέρειν τὸ θαῦμα, τρόμος καὶ φόβος πολὺς καὶ δεινὸς συνέσχε με, ὦ ἀγαπητοί. Ἡ γὰρ μνήμη τῆς φρικτῆς θεωρίας, ἔντρομον τῆς ψυχῆς μου, καὶ φρικώδη τὴν καρδίαν ἐνέγκασα οὐ μετρίως ἐτιμώρησεν, ἀλλὰ δυνατῶς ἐβασάνισεν. Ἐπιπλήττει γάρ μου τὸν νοῦν, τῆς μεγίστης θεωρίας ἡ μνήμη, ὡς ἀκαταλήπτου μυστηρίου, τὸ λέγειν οὐκ ἰσχύουσα. Τίς γὰρ ἱκανὸς τοιοῦτο φράσαι μυστήριον; ποῖον δὲ φθέγξασθαι στόμα, ἢ ποία γλῶσσα λαλήσει; Λέληθεν, εἰπεῖν οὐκ ἰσχύει. Νῦν δὲ τολμήσω περὶ τῆς μόνης Θεοτόκου καθ' ὃ καταλαμβάνω· καὶ πάλιν φοβοῦμαι. Οὐκ ἔχω γλῶτταν ἀξίως εἰπεῖν τὰ λίαν μεγάλα. Ἰσχνόφωνος γὰρ καὶ βραδύγλωσσος, καὶ οὐκ εὔλαλος ὑπάρχω, ἵν' οὕτως εἴπω, περὶ τῆς μεγαλωνύμου καὶ ὁσίας καὶ ἀπειρογάμου καὶ Θεοτόκου Μαρίας, μητρὸς τοῦ Κυρίου· περὶ ἧς οὐκ εὐμαρῶς ἀνθρώπων γλῶττα λαλήσει. Ἰσχνοφωνεῖ γὰρ πρὸς ταύτην, καὶ ὑποστέλλεται ἡ γλῶσσα, οὐκ ἀξίως ἔχουσα τὸ λέγειν. Αὕτη γὰρ καὶ τὰς τῶν οὐρανῶν δυνάμεις ἐξένισεν· ἐξέστησαν πάντες ἄγγελοι, ἀρχάγγελοι, ἀρχαί, ἐξουσίαι, θρόνοι, κυριότητες, τὰ χερουβεὶμ καὶ τὰ σεραφεὶμ καὶ πᾶσα στρατιὰ ἀγγέλων φόβῳ καὶ τρόμῳ δεινῷ συσχεθέντες. Ἐθεώρησαν γὰρ ἐπὶ γῆς ἐν αὐτῇ τὸν ἐν οὐρανοῖς, καὶ ἔφριττον. Ἔβλεπον τὴν Παρθένον, οὐρανὸν καὶ θρόνον, καὶ συνείχοντο φόβῳ, θεωροῦσαι τὸν ἄναρχον ἀπὸ θρόνου χερουβικοῦ εἰς μήτραν παρθενικὴν καθιστάντα.

Ὢ μακαρία ῥίζα· πόθεν ταύτην ἐβλάστησε; Περὶ ταύτης ὁ προφήτης Ἡσαΐας ὡς χελιδὼν κελαδεῖ, τῇ πυρίνῳ γλώττῃ βοῶν· Ἀναστήσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτὴν Πνεῦμα φόβου Θεοῦ[1].

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. - P. Migne, Patrologiae cursus completus, series Graeca τ. 43, 485-501.

**1.** Πρβλ. Ἡσ. 11,1-2.

Ἐκ τῆς ῥίζης δὲ Ἰεσσαὶ Δαβὶδ ὁ βασιλεύς, καὶ ἐκ τῆς φυλῆς Δαβὶδ τοῦ βασιλέως ἡ ἁγία Παρθένος, ἡ ὁσία τῶν ὁσίων ἀνδρῶν θυγάτηρ, ἧς οἱ γονεῖς Ἰωακεὶμ καὶ Ἄννα, οἵτινες ἐν τῇ ζωῇ αὐτῶν τῷ Θεῷ εὐηρέστησαν, οἳ καὶ καρπὸν τοιοῦτον ἐβλάστησαν, τὴν ἁγίαν Παρθένον Μαρίαν, ναὸν Θεοῦ ὁμοῦ καὶ μητέρα· Ἰωακεὶμ δὲ καὶ Ἄννα καὶ Μαρία, οἱ τρεῖς τῇ Τριάδι σαφῶς ἐλειτούργησαν. Ἰωακεὶμ γὰρ ἑρμηνεύεται ἑτοιμασία Κυρίου· ἐξ αὐτοῦ γὰρ ἡτοιμάσθη ναὸς Κυρίου ἡ Παρθένος. Ἄννα δὲ πάλιν ὁμοίως χάρις ἑρμηνεύεται· χάριν γὰρ ἔλαβεν Ἰωακεὶμ καὶ Ἄννα, ἵνα τοιοῦτον βλαστήσωσι καρπὸν διὰ προσευχῆς, τὴν ἁγίαν Παρθένον κτησάμενοι. Ἰωακεὶμ γὰρ ἐν τῷ ὄρει προσηύχετο, καὶ Ἄννα ἐν τῷ παραδείσῳ αὐτῆς. Κυοφορήσασα δὲ Ἄννα, οὐρανὸν καὶ θρόνον χερουβικὸν ἔτεκε, τὴν ἁγίαν κόρην Μαρίαν. Αὕτη γὰρ οὐρανὸς καὶ ναὸς καὶ θρόνος εὑρίσκεται. Ἡ γὰρ Μαρία ἑρμηνεύεται κυρία, ἀλλὰ καὶ ἐλπίς. Κύριον γὰρ ἔτεκε, τὴν ἐλπίδα τοῦ παντὸς **[489]** κόσμου Χριστόν. Ἑρμηνεύεται πάλιν τὸ Μαρία, σμύρνα θαλάσσης· σμύρναν δὲ ἐρεῖ, ὃ καί φημι, περὶ ἀθανασίας, ὅτι ἤμελλε τὸν ἀθάνατον μαργαρίτην τίκτειν ἐν τῇ θαλάσσῃ, τουτέστιν ἐν τῷ κόσμῳ. Θάλασσαν δὲ ἐρεῖ τὸν ἅπαντα κόσμον, ᾧ ἡ Παρθένος γαλήνην ἐδωρήσατο, τὸν λιμένα τεκοῦσα Χριστόν. Τοιγαροῦν πάλιν τῆς σεμνῆς κόρης Μαρίας ἑρμηνεύεται τὸ μακάριον ὄνομα, φωτιζομένη, ἥτις ἐφωτίσθη παρὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἐφώτισε τοὺς πιστεύσαντας εἰς τὰ πέρατα τῆς γῆς τῇ Τριάδι. Τριάδος γὰρ νύμφη ὑπάρχει ἡ ἁγία Θεοτόκος κόρη Μαρία, τὸ πανάῤῥητον τῆς οἰκονομίας κειμήλιον· πρὸς ἣν ὁ Γαβριήλ· «Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ»[1]. Ὑπέμνησεν ὁ Γαβριήλ, καὶ ὁ Πατὴρ οὐρανόθεν ἀῤῥαβῶνα τὸ Πνεῦμα τὸ Ἅγιον ἀπέστειλεν, ὡρμήσατο τὴν Παρθένον εἰς τὸν μονογενῆ Υἱόν, οὐράνιον νύμφην, ἣν ὁ Πατὴρ ἠγάπησεν, ὁ Υἱὸς ἐνῴκησε, τὸ Ἅγιον Πνεῦμα ἐπεπόθησεν. Αὕτη γὰρ νύμφη καὶ παστάς, καὶ ἐκ ταύτης ὁ νυμφίος ἐκπορευόμενος Χριστός, τὸ παρθενικὸν ἔνδυμα, κατὰ τὴν τοῦ προφήτου Δαβὶδ μελῳδίαν· «Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ»[2]. Ὢ νυμφίου πόθος

**1.** Λουκ.1,28. **2.** Ψαλ. 18,6.



ἁγνείας! τὴν ἰδίαν δούλην, νύμφην, καὶ μητέρα ὁρμᾶται ὁ Γαβριήλ· πρόξενος τῆς Παρθένου ἐγένετο, οὐρανοῦ καὶ γῆς συνάπτων τὸ θυμίαμα· ἣν προφῆται σαφῶς ὑπέγραψαν, τοῦ γάμου τὴν τάξιν κηρύξαντες, πῶς ἡ Παρθένος οὐράνιος εὑρίσκεται νύμφη ὁμοῦ τε καὶ μήτηρ, ἡ τὰ πρὸ γάμου δῶρα λαβοῦσα τὸ Ἅγιον Πνεῦμα, προῖκα δὲ τὸν οὐρανὸν ὁμοῦ τε καὶ παράδεισον.

Ἐζήτει οὖν ἰδεῖν ἡ Παρθένος ὃν ἐπόθει, καὶ ἔλεγε· Ποῦ ὁ νυμφίος οὗ τὸ κάλλος ποθῶ; ποῦ τὸ κάλλος τοῦ ἡλίου λαμπρότερον; ποῦ τῆς πάσης εὐμορφίας ἡ ἀνεκλάλητος δόξα; ποῦ τὸ ἄσβεστον φῶς, ὃ ποθοῦσα ζητῶ; ποῦ ὁ ἥλιος ὃς ἀκτῖνα ζητεῖ; ποῦ τῶν χερουβεὶμ ἡ κιθάρα; ποῦ τῶν σεραφεὶμ τὸ ἀκοίμητον ὄμμα Χριστός; ποῦ τῶν ἀγγέλων ἡ προσκύνησις, ἣν ὁ Γαβριὴλ ἐμήνυσε; ποῦ ὁ μόνος τοῦ μόνου μονογενὴς Υἱὸς τοῦ Πατρός, ὃν ἡ Παρθένος ποθοῦσα, καὶ φιλοῦσα ὁμοῦ τε καὶ ζητοῦσα ἀσπάζεται; Πρὸς ἣν ὁ Γαβριήλ· Χαῖρε, κεχαριτωμένη. Ἡ χάρις ἡ ἀπέραντος τῆς ἁγίας Παρθένου. Χαῖρε, κεχαριτωμένη, πολλῶν ἀρετῶν κατακεκοσμημένη, λαμπαδηφοροῦσα Παρθένε τὸ ἄσβεστον τοῦ ἡλίου λαμπρότερον φῶς. Χαῖρε, κεχαριτωμένη, τοῦ νοητοῦ ἀγκίστρου τὸ δέλεαρ· ἐν σοὶ γὰρ ἄγκιστρον ἡ θεότης. Χαῖρε, κεχαριτωμένη, ἡ νοερὰ τῆς δόξης κιβωτός· Χαῖρε, κεχαριτωμένη, ἡ στάμνος ἡ χρυσῆ, τὸ οὐράνιον ἔχουσα μάννα. Χαῖρε, κεχαριτωμένη, ἡ τὴν γλυκεῖαν τῆς ἀεννάου πηγῆς τοὺς διψῶντας ἐμπλήσασα.

Χαῖρε, κεχαριτωμένη, νοερὰ θάλασσα, τὸν οὐράνιον ἔχουσα μαργαρίτην Χριστόν· Χαῖρε, κεχαριτωμένη, ὁ λαμπρὸς οὐρανός, ἡ τὸν ἀχώρητον ἐν **[492]** οὐρανοῖς ἔχουσα Θεόν. Χαῖρε, κεχαριτωμένη, ἡ τὸν χερουβικὸν θρόνον τῆς θεότητος ἐξαστράπτουσα. Χαῖρε, κεχαριτωμένη, κύκλον ἔχουσα οὐρανοῦ, καὶ Θεὸν ἀχώρητον, ἐν σοὶ δὲ χωρητόν, καὶ ἀστενοχώρητον. Χαῖρε, κεχαριτωμένη, στυλοειδὴς νεφέλη, ἡ τὸν Θεὸν ἔχουσα, τὸν ἐν τῇ ἐρήμῳ τὸν λαὸν καθοδηγήσαντα. Τί εἴπω; καὶ τί λαλήσω; πῶς μακαρίσω τὴν ὁλόῤῥιζον δόξαν; Ὅτι χωρὶς Θεοῦ μόνου πάντων ἀνωτέρα ὑπάρχει. Καλλιωτέρα γὰρ τῶν χερουβεὶμ καὶ σεραφείμ, καὶ πάσης στρατιᾶς πέφυκεν ἀγγελικῆς· πρὸς ἣν οὐρανοῦ καὶ γῆς οὐκ ἐπαρκέσει γλῶττα, τάχα δὲ οὔτε ἀγγέλων. Καὶ γὰρ αὐτοὶ ὕμνον καὶ αἶνον καὶ τιμὴν καὶ δόξαν προσήνεγκαν·

ἀλλ᾽ οὔτε οὕτω κατ᾽ ἀξίαν εἰπεῖν ἴσχυσαν. Ἔχαιρον δὲ ἄγγελοι, ὡς αὐτοὶ μόνον τὸν Θεὸν ἔχοντες, πρὸς οὓς ἡ παναγία Παρθένος ἀνωτέρα πέφυκε, τὸν Θεὸν τὸν ἐν οὐρανῷ ἐπὶ γῆς κυήσασα, ἵν᾽ οὕτως ἑλκύσῃ στρατιὰς ἀγγέλων ἐπὶ γῆς μετὰ ἀνθρώπων. Αὕτη γὰρ οὐρανοῦ καὶ γῆς μεσίτης πέφυκεν ἑνότητα ποιήσασα. Ὦ μακαρία Παρθένε, ἁγνὴ περιστερά, ἡ οὐράνιος νύμφη Μαρία, οὐρανὸς καὶ ναὸς καὶ θρόνος τῆς θεότητος· ἡ τὸν ἐξαστράπτοντα ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἥλιον ἔχουσα Χριστόν· ἡ φωτεινὴ νεφέλη, πάμφωτον ἀστραπὴν ἐξ οὐρανοῦ τῷ κόσμῳ καταλάμψασα Χριστόν· ἡ οὐράνιος νεφέλη, ἡ τὴν βροντὴν τοῦ Ἁγίου Πνεύματος ἐν ἑαυτῇ κρυπτομένην τῷ κόσμῳ καταβιβάσασα, ἡ τὸν ὄμβρον τοῦ Ἁγίου Πνεύματος τῇ πάσῃ γῇ πρὸς καρποφορίαν πίστεως καταράξασα.

Χαῖρε, κεχαριτωμένη, ἡ πύλη τῶν οὐρανῶν, περὶ ἧς ὁ προφήτης κέκραγε λέγων· Ἰδοὺ ἡ πύλη κεκλεισμένη, καὶ οὐδεὶς εἰσελεύσεται δι᾽ αὐτῆς, οὐδὲ ἐξελεύσεται, εἰ μὴ Κύριος ὁ Θεὸς μόνος· καὶ ἔσται ἡ πύλη κεκλεισμένη τῷ ἡγουμένῳ, διότι ἡγούμενος αὐτὸς κληθήσεται, καὶ εἰς αὐτὸν ἐλπιοῦσι πάντα τὰ ἔθνη[1].

Περὶ ταύτης τῆς πύλης καὶ ἐν τοῖς Ἄσμασι τῇ λέξει ὁ προφήτης τρανῶς καὶ σαφῶς καταλέγεται κεκραγώς· «Κῆπος κεκλεισμένος, ἀδελφή μου, νύμφη· κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη»[2]. Ἔμεινεν ἐν τῇ παρθενίᾳ ἡ ἁγία καὶ σεμνὴ κόρη Μαρία, ἡ φωτεινὴ νεφέλη, ἡ ἔνδον ἔχουσα τὸν Θεὸν Λόγον· πρὸς ἣν ὁ μεγαλόφωνος Ἡσαΐας· «Ἰδοὺ νεφέλη κούφη, καὶ ἥξει εἰς Αἴγυπτον»[3]· τὸ ἀλατόμητον ὄρος, ἡ τὴν ἀκρότομον ἔχουσα πέτραν Χριστόν, περὶ ἧς ὁ σοφώτατος Δανιὴλ λέγει· «Ἀπετμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν»[4]· τουτέστιν, ἄνευ ἀνδρὸς τὴν στερεὰν πέτραν Χριστὸν ἔτεκεν ἡ Παρθένος, ὁ ἀσύνθετος ναός, ἡ τὸν οὐράνιον ἔχουσα λίθον Χριστόν, ἡ βροντοειδὴς νεφέλη, ἡ τὴν ἀστραπὴν ἔνδον κοιλιοφόρως βαστάσασα· καὶ μαρτυρεῖ μοι τῷ λόγῳ ἡ θεία Γραφὴ λέγουσα, «Κοιλία σου θημωνία σίτου πεφραγμένη ἐν κρίνοις»[5]· ἡ ἀγεώργητος χώρα, ἡ τὸν Λόγον ὡς κόκκον σίτου δεξαμένη, καὶ τὸ δράγμα βλαστή-

**1.** Πρβλ. Ἰεζ. 44,2. **2.** Ἆσμ. 4,12. **3.** Ἡσ. 19,1. **4.** Δαν. 2,45. **5.** Ἆσμ. 7,3.



σασα, ἡ νοερὰ κλίβανος, ἡ τὸ πῦρ καὶ τὸν ἄρτον τῆς ζωῆς ἔχουσα· ἡ ὁσία μήτηρ τοῦ Σωτῆρος, **[493]** ἡ τὸν Λόγον τοῦ Πατρὸς ἐκ σοῦ σαρκωθέντα τεκοῦσα, πρὸς ἣν Ἡσαΐας· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ, Ἐμμανουήλ»[1]. Ὦ Παρθένος ἁγία, ἁγία μήτηρ Κυρίου· μακαρία νύμφη Τριάδος ἀχωρίστου· μακαρία σὺ ἐν γυναιξίν, ἡ τεκοῦσα ἐπὶ γῆς ὡς βρέφος τὸν πάντων κτίστην Θεόν· μακαρία σὺ ἐν γυναιξίν, ἡ μόνη ἐπὶ γῆς κυήσασα τὸν οὐράνιον Θεόν· μακαρία σὺ ἐν γυναιξίν, ἧς μασθοὺς ἐθήλασεν ὁ τρέφων τὰ σύμπαντα· μακαρία σὺ ἐν γυναιξίν, ἡ νῦν γεννήσασα τὸν ποτὲ πλάσαντα πηλῷ τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ, Θεοτόκε ἁγία παρθένε Μαρία. Θεοτόκος γὰρ ὑπάρχεις, ἡ τὸν Λόγον ἐκ σοῦ σαρκωθέντα τεκοῦσα· Θεοτόκος ὑπάρχεις ἡ τὸν Θεὸν Λόγον ἐν μορφῇ δούλου κυήσασα· Θεοτόκος ὑπάρχεις, ὅτι Θεὸν Λόγον δεξαμένη σαρκωθέντα ἔτεκες· Θεοτόκος ὑπάρχεις ἡ μόνη τοῦ μόνου μονογενῆ Υἱὸν τοῦ Θεοῦ γεννήσασα· οὐ πρόσκαιρον Θεὸν γεννήσασα, ἀλλ᾽ αἰώνιον τὸν πρὸ σοῦ καὶ πάντων Θεόν, ἐκ σοῦ σαρκωθέντα· τὸ ἄσπιλον πρόβατον, ἡ τὸν ἀμνὸν τεκοῦσα Χριστόν· ἡ δάμαλις ἡ ἀπειρόζυγος, ἡ τὸν μόσχον γεννήσασα· ἡ νοερὰ τῆς πίστεως τράπεζα, ἡ τὸν ἄρτον τῆς ζωῆς τῷ κόσμῳ χορηγήσασα.

Τί εἴπω; καὶ τί λαλήσω τὴν ὁλόῤῥιζον δόξαν; Περὶ ταύτης τῆς ὁσίας κόρης τῆς ἀείπαιδος καὶ παρθένου, διὰ τοῦ προφήτου λέγοντος ὁ Θεός φησιν· «Ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ· καὶ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης, τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ· καὶ στήσεται, καὶ ὄψεται, καὶ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος»[2]. Ὦ Παρθένε ἁγία, φωτὸς αἰωνίου ὑπάρχουσα μήτηρ· φωτὸς τοῦ φωτίσαντος ἐν οὐρανοῖς τὰς τῶν ἀγγέλων στρατιάς· φωτὸς τοῦ φωτίσαντος τῶν σεραφεὶμ τὸ ἀνεκλάλητον ὄμμα· φωτὸς τοῦ φωτίσαντος λαμπραῖς λαμπάσι τὸν ἥλιον· φωτὸς τοῦ φωτίσαντος τὰ πέρατα τῆς οἰκουμένης τῇ Τριάδι· φωτὸς τοῦ εἰπόντος· «Ἐγώ εἰμι τὸ φῶς

**1.** Ἡσ. 7,14. Ματθ. 1,23. **2.** Μιχ. 5,1-3.

τοῦ κόσμου»[1]· φωτὸς τοῦ εἰρηκότος· «Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα»[2]· φωτὸς τοῦ ἀναληφθέντος καὶ φωτίσαντος ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς τὰ σύμπαντα. Ὦ παναγία Παρθένε, ἡ στρατιὰς ἀγγέλων ξενίσασα! Ξένον γὰρ θαῦμα ἐν οὐρανοῖς, γυνὴ τὸ φῶς ἐν ἀγκάλαις βαστάσασα· ξένον θαῦμα ἐν οὐρανοῖς, χερουβικὸς θρόνος ἕτερος· ξένον θαῦμα ἐν οὐρανοῖς, γυναικὸς υἱός, αὐτῆς καὶ τῶν αἰώνων πατὴρ ὑπάρχων· ξένον θαῦμα ἐν οὐρανοῖς, Παρθένου θάλαμος, Υἱὸν Θεοῦ, Θεὸν νυμφίον ἔχουσα Χριστόν· ξένον θαῦμα ἐν οὐρανοῖς, τὸ βρέφος τῆς Παρθένου, Δεσπότης τῶν ἀγγέλων πέφυκεν. Ὦ παναγία Παρθένε, μήτηρ τοῦ Σωτῆρος, ἡ τὸν ἄναρχον γεννήσασα Λόγον, τὸν τοῦ Πατρὸς σύνθρονον Υἱόν, τὸν ὁμοούσιον τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος, τὸν προαιώνιον σὺν Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, τὸν τοὺς οὐρανοὺς καμαρώσαντα, τὸν τὴν γῆν ἑδράσαντα. Χαῖρε, παναγία Παρθένε, ἡ τὸ πῦρ τῆς θεότητος **[496]** ἀφλέκτως, ὡς νοερὰ βάτος, κατέχουσα, ἡ νοερὰ κλίβανος, ἡ τὸ πῦρ καὶ τὸν ἄρτον τῆς ζωῆς θερμὸν τῷ κόσμῳ πρὸς βρῶσιν ἐνέγκασα· περὶ οὗ λέγει ὁ Σωτὴρ τοῦ κόσμου Χριστός· «Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν»[3]. Πλουσία τῆς παρθενικῆς ἡ πανάρετος τράπεζα, ὦ ἀγαπητοί, παντοίων καλῶν βρωμάτων πρὸς ἀπόλαυσιν τῇ οἰκουμένῃ ἐδωρήσατο ἡ ὁσία Παρθένος καὶ μήτηρ τοῦ Χριστοῦ, ἡ τὸν φωτεινὸν λύχνον τὸν ἐκλάμποντα ἐν οὐρανῷ καὶ ἐπὶ γῆς βαστάσασα Χριστόν· πρὸς ἣν ὁ προφήτης Ζαχαρίας· «Ἰδοὺ λυχνία χρυσῆ καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς»[4]. Τοιγαροῦν καὶ ὁ Δαβὶδ τὸ μελῳδικὸν ᾆσμα τοῦτο βοᾷ· «Λύχνος τοῖς ποσί μου ὁ λόγος σου, καὶ φῶς τοῖς τρίβοις μου»[5].

Ὦ λυχνία παρθενική, ἡ τὸ σκότος ἀπελαύνουσα καὶ τὸ φῶς καταυγάζουσα. Ὦ λυχνία παρθενική, ἡ τὸ πῦρ καὶ τὸ ἔλαιον ἀχώριστον πρὸς φωτισμὸν ἐνέγκασα. Ὦ λυχνία παρθενική, τρίφωτον ἓν πῦρ ἄσβεστον, ὁμοούσιον ἀφ' ὑψηλοτάτου θρόνου λαβοῦσα, καὶ πρὸς φωτισμὸν τῆς οἰκουμένης ἐκλάμψασα. Ὦ λυχνία παρθενική, περὶ ἧς διὰ τοῦ Προφήτου λέγει ὁ Θεός·

**1.** Ἰω. 8,12. **2.** Ἰω. 12,46. **3.** Ματθ. 26,28. Μάρκ. 14,22-24. Λουκ. 22,17-20. **4.** Ζαχ. 4,2. **5.** Ψαλ. 118,105.



«Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου»[1]. Ὁ βασιλικὸς στέφανος, τὸν μαργαριτοειδῆ πολύτιμον ἔχουσα λίθον Χριστόν· ἡ βασιλικὴ πορφύρα, τὸν οὐρανοῦ καὶ γῆς ἐνδύσασα βασιλέα τὸ οἰκουμενικὸν τοῦ σώματος πορφυροειδὲς ἔνδυμα· ἡ ἀκηλίδωτος τῶν Χριστιανῶν πίστις· ἡ ἀκατάληπτος βίβλος, ἡ τὸν Λόγον καὶ τὸν Υἱὸν τοῦ Πατρὸς τῷ κόσμῳ παραναγνώσασα. Ἡ μακαρία ἐν γυναιξίν, ἡ τὸν Λόγον ἐκ σοῦ σαρκωθέντα τεκοῦσα, Λόγον τὸν τοῦ Πατρὸς Υἱόν, Λόγον τὸν προαιώνιον Θεόν, Λόγον ἄναρχον, καὶ ἀΐδιον, Λόγον τὸν σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι προσκυνούμενον, Λόγον τὸν σύνθρονον τοῦ Πατρός, Λόγον τὸν ἐπὶ τῶν χερουβεὶμ καθήμενον, Λόγον, ὃν τὰ τετράμορφα ζῶα δοξολογοῦσι, Λόγον τὸν τοὺς ἀγγέλους κτίσαντα, Λόγον τὸν ἀρχὰς καὶ ἐξουσίας εἶναι ποιήσαντα, Λόγον τὸν οὐρανοὺς ἐκτείναντα, καὶ τὴν γῆν ἑδράσαντα, Λόγον τὸν ἀληθινὸν Θεὸν Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν, ὃν ἔτεκες, παναγία Παρθένε, καὶ μετὰ τόκον πάλιν παρθένος, ἡ τὸν μαργαρίτην τεκοῦσα, καὶ τὸν βασιλικὸν στέφανον πλέξασα. Ὦ μακαρία Παρθένε, ἡ τὴν οὐράνιον δόξαν βλαστήσασα, ἡ ἀπὸ πολλῶν ἀνθῶν τοῦ παραδείσου τὸν κόσμον εὐωδίᾳ πληρώσασα. Κρίνον ἄσπιλον ὑπάρχει ἡ Παρθένος, τὸ ἀμάραντον ῥόδον γεννήσασα Χριστόν, ἡ ἄμπελος τῆς ἀληθείας, ἡ πολύφορος καὶ ἀτρύγητος τῇ παρθενίᾳ, ἡ μὴ σκαφεῖσα, καὶ βοτρυοφορήσασα, ἡ τὸν πέπειρον βότρυν βλαστήσασα Χριστόν. Πῶς οὖν ἐβλάστησας, πεῖσον ἡμᾶς, παναγία Παρθένε· πῶς μήτηρ Θεοῦ ὤφθης ἐπὶ γῆς, Λόγον προαιώνιον δεξαμένη. Ἡ κοιλιοφορήσασα Παρθένος ἐγὼ ἄφθαρτος, ναὸς ἀμόλυντος γέγονα τοῦ ἐνοικήσαντος ἐν ἐμοὶ Λόγου Θεοῦ ἀπειρογάμου.

**[497]** Τὸν Ἐμμανουὴλ ἐν ἀφθάρτῳ κοιλίᾳ φέρουσα, εἰς γαστέρα ἀμόλυντον, ἀφομοιουμένη θρόνῳ χερουβικῷ· εἰς ἣν ὁ Λόγος τοῦ Πατρὸς σὰρξ ἐγένετο[2], ὁ ἄναρχος καὶ ἀόρατος· ὁρατὸς οἰκονομικῶς, ὁ ἐνανθρωπήσας Θεός· πεῖραν οὐκ ἐγνωκυῖα ἀνδρός, τὸν προαιώνιον Θεὸν Ἰησοῦν Χριστὸν ἔτεκον. Παρθένος γὰρ καὶ νῦν ὑπάρχω μετὰ τὸν τόκον, καθαρωτέρα τοῦ πρώην. Ἀπόνως ἔτεκον, οὐχ ὡς πᾶσα γυνή· ἀνόμοια γὰρ ἐμοῦ κἀκεί-

**1.** Ψαλ. 131,17. **2.** Πρβλ. Ἰω. 1,14.

νων τὰ μεταξὺ πράγματα. Οὐκ ἔγνω φύσις ἀνθρώπων τὸν τόκον μου, εἰ μὴ μόνος ὁ ἐν ἐμοὶ οἰκήσας Θεός. Ὦ Παρθένε, φρικτὸν τῆς Ἐκκλησίας κειμήλιον, τὸ μέγα τυχὸν μυστήριον, ἱερέα καλεῖ τὴν παρθένον ὁμοῦ τε καὶ θυσιαστήριον· ἥτις τραπεζοφοροῦσα τὸν οὐράνιον ἄρτον Χριστὸν ἔδωκεν ἡμῶν εἰς ἄφεσιν ἁμαρτιῶν. Ὦ γαστὴρ ἀμόλυντος οὐρανὸν κύκλον ἔχουσα, καὶ Θεὸν ἀχώρητον, ἐν σοὶ δὲ χωρητὸν βαστάσασα. Ὦ γαστὴρ οὐρανοῦ πλατυτέρα, Θεὸν τὸν ἐν σοὶ μὴ στενοχωρήσασα. Ὦ γαστὴρ ἑπτάκυκλος οὐρανός, καὶ μειζοτέρως αὐτῶν τυγχάνουσα. Ὦ γαστὴρ ἑπτὰ οὐρανῶν ὑψηλοτέρα καὶ πλατυτέρα. Ὦ γαστὴρ ὁ ὄγδοος οὐρανὸς στερεωμάτων ἀνωτέρα. Ὦ γαστὴρ ἑπταφώτου χάριτος τὸ ἄσβεστον ἔχουσα φῶς. Τί εἴπω, ἢ τί λαλήσω περὶ τῆς σεμνῆς καὶ ἁγίας Παρθένου; Ὁ πόθος ἕλκει με λέγειν περὶ τῆς Θεοτόκου, καὶ φόβος κατέχει με τοῦ σιωπᾶν, οὐκ ἀξίως ἔχων τοῦ λέγειν. Ὁ νοῦς προκαλεῖται, καὶ ὁ φόβος ἀπωθεῖται· ὃς μὲν ἕλκει με, ὃς δὲ ἀνθέλκει με. Ἐπειδὴ οὖν συνέχομαι τῶν ἀμφοτέρων, συμφέρει μοι λαλῆσαι περὶ τῆς μεγαλωνύμου καὶ ὁσίας Παρθένου. Λέγω γὰρ ταύτην οὐρανὸν καὶ θρόνον ὁμοῦ τε καὶ σταυρόν· τὰς γὰρ ἁγίας ἀγκάλας ἐκτείνασα, τὸν Δεσπότην ἐβάστασεν ὁ θρόνος χερουβικός, σταυροειδής, οὐράνιος, περὶ ἧς διὰ τῶν Γραφῶν ἐν οὐρανοῖς παρακύπτω, καὶ βλέπω ταύτην ὑπὸ ἀγγέλων προσκυνουμένην. Ὅθεν πρῶτον ὁ Γαβριὴλ τὴν Παρθένον ἀσπάζεται· «Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ»[1]· χαῖρε, κεχαριτωμένη, ὁ λαμπρὸς οὐρανός· χαῖρε, κεχαριτωμένη, ἡ τὸν ἐξαστράπτοντα ἐξ οὐρανοῦ λαμπραῖς λαμπάσιν ἀκτῖνα ἔχουσα ἥλιον τὸν Χριστόν. Σεραφεὶμ γέγονεν ἡ Παρθένος, ἡ πολυώνυμος, καὶ πολυόμματος, τῆς ἀκαταλήπτου θέας· σκέπη τις νοερά, δι' οἰκουμενικοῦ σώματος εὑρεθεῖσα, τὰ χερουβεὶμ ὑπερβαίνουσα. Ἐκεῖνα μὲν γὰρ ἀποστρέφονται μὴ δυνάμενα ἀτενίσαι πρὸς νοητὸν πῦρ τῆς θεότητος. Αὕτη δὲ τρανοῖς ὄμμασιν ἐνατενίζουσα τὸ ἀκατάληπτον καὶ ἀκοίμητον ὄμμα Χριστοῦ, ποθοῦσα καὶ φιλοῦσα ἠσπάζετο. Στρατιαὶ ἀγγέλων ὑποπόδιον τῶν ποδῶν τοῦ Σωτῆρος προσπίπτοντες, οὔτε ἰδεῖν, οὔτε προσψαῦσαι ἰσχύουσιν· αὕτη δὲ χείλη

1. Λουκ. 1,28.



χείλεσι συνάπτουσα τὸν ἀκατάληπτον ἠσπάζετο. Ὦ Παρθένε, ἀκαταλήπτου μυστηρίου φέρουσα θαῦμα, τριπόθητον πίστιν τῇ οἰκουμένῃ κηρύξασα.

Ἀγγέλων ἀνωτέρα γέγονεν ἡ Παρθένος, μειζοτέρα τῶν χερουβεὶμ καὶ τῶν σεραφείμ, ἀρέσκουσα τῷ βασιλεῖ Χριστῷ, ὡς ἀξία δούλη καὶ μήτηρ τιμηθεῖσα παρὰ Θεῷ. Ἁγία μήτηρ ἀμόλυντε, ἡ τὸν πρὸ σοῦ **[500]** γεννήσασα Χριστὸν τὸν εἰπόντα· «Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι»[1]· ἡ τὸ σπήλαιον δοξάσασα, καὶ τὴν φάτνην μεγαλύνασα. Παρθένος γὰρ καὶ σπήλαιον καὶ φάτνη, οὐρανοῦ κύκλον ἔχοντες, Θεὸν ἀχώρητον ἔφερον, οἱ τρεῖς τῇ Τριάδι σαφῶς λειτουργήσαντες, ὅτε ἡ Παρθένος ἀπόνως τὸν οὐρανοῦ καὶ γῆς Δεσπότην ἐν τῷ σπηλαίῳ κυήσασα, ἐν τῇ φάτνῃ ἔθετο, τότε καὶ τάξεις ἀγγέλων τὴν Παρθένον ἐκύκλωσαν βοῶντες καὶ λέγοντες· «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία»[2]. Ὅθεν καὶ ποιμένες ἀγραυλοῦντες τὴν τοιαύτην δοξολογίαν τῶν ἀγγέλων ἤκουσάν τε περὶ τοῦ Σωτῆρος, καὶ τῷ δρόμῳ βαδίσαντες, τὸ φῶς προσεκύνησαν, ξένον θαῦμα θεασάμενοι, τὴν δούλην τοῦ Δεσπότου καὶ τὴν ἐπίγειον παρθένον, οὐράνιον νύμφην. Αὕτη γὰρ καὶ νύμφη, καὶ παστάς, καὶ Θεοῦ μήτηρ ὤφθη ἐν τῷ σπηλαίῳ, ὅτε τὸ βρέφος ἔτεκε Χριστόν, κατὰ τὴν προφητικὴν Ἡσαΐου φωνήν· ὅτι «Παιδίον ἐγεννήθη ἡμῖν· υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, Ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος»[3]. Εἶτά φησι μετὰ ταῦτα· «Μάγοι ἀπὸ ἀνατολῶν»[4] ὑπὸ ἀστέρος φωτεινοῦ καταλαμπόμενοι, καὶ ὁδηγούμενοι, τὸ μῆκος τῆς ἐξ ἀνατολῆς ὁδοῦ βαδίσαντες, ἥκασιν εἰς προσκύνησιν τοῦ τεχθέντος ἐν Βηθλεέμ[5]. Ὅθεν καὶ τὴν πόλιν Ἱερουσαλὴμ καταλαβόντες, κρύπτεται ἀπ' αὐτῶν ὁ ἀστήρ· οἱ δὲ θορυβηθέντες τὸν ὁδηγὸν ἀπολέσαντες, ἀνάγκης τῇ βίᾳ τοὺς ἐν τῇ πόλει ἐρωτῶντες, «ἐπυνθάνοντο παρ' αὐτῶν· Ποῦ ὁ Χριστὸς γεννᾶται»[6]· ξένον δὲ θαῦμα πᾶσιν ἐνομίζετο. Περὶ οὗ Ἡρώδης ἀκούσας, ἐταράττετο λίαν, καὶ καλέσας τοὺς ἱερεῖς,

**1.** Ἰω. 8,58. **2.** Λουκ. 2,14. **3.** Ἡσ. 9,5. **4.** Ματθ. 2,1. **5.** Πρβλ. Ἐνθ' ἀν. **6.** Ματθ. 2,4.

ἐπυνθάνετο παρ᾽ αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται[1]. Οἱ δὲ εἶπον καὶ οὐκ ἠρνήσαντο· ὡμολόγησαν καὶ οὐκ ἐψεύσαντο. Τὰς ἀκτῖνας τοῦ ἡλίου κρύπτειν οὐκ ἠδύναντο, τὴν περὶ τοῦ Σωτῆρος φωνὴν διὰ τοῦ προφήτου σαφηνιζομένην ἐμαρτύρησαν λέγοντες· Ἐν Βηθλεὲμ γεννᾶται ὁ Χριστός. Οὕτω γὰρ βοᾷ διὰ τοῦ προφήτου· «Καὶ σύ, Βηθλεέμ, οὐδαμῶς εἶ ἐλαχίστη ἐν τοῖς ἡγεμόσιν Ἰούδα»[2]· «ἐκ σοῦ γὰρ ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ»[3]. Ὢ τοῦ ἀπειθοῦντος Ἰσραήλ! Ὡμολόγησε τὸ πρᾶγμα τοῦ νόμου, καὶ τὸν νομοθέτην ἠρνήσατο· αὐτοὶ ἐμαρτύρησαν ποῦ ὁ Χριστὸς γεννᾶται, καὶ αὐτοὶ πάλιν ἠρνήσαντο τὸν γεννηθέντα Χριστόν.

Τί οὖν οἱ μάγοι; ὧν τὸ οἰκεῖον τοῦ νοὸς ἠλλοιώθη, ὧν ἡ καρδία ἐταράττετο λίαν, καὶ ἐσβέννυτο ἐν λύπῃ, ὧν οἱ στεναγμοὶ ὡς κυμάτων βία τὴν ναῦν ἐπόντιζον, ὧν οἱ ὀφθαλμοὶ μαργαριτοειδέσι δάκρυσι τὴν γῆν κατέρραινον, ὧν ἀφόρητος ἡ θλῖψις, τὸν ἀνατολῶν ζητοῦντες ὁδηγόν, ὃν οὐκ εἶχον, ἔχοντες ἐζήτουν· Ποῦ ὁ ἀστὴρ ὁ τῶν μάγων ὁδηγός; Καθ᾽ οἷον δὲ τρόπον κρύπτεται ἀπ᾽ αὐτῶν ὁ ἀστήρ, σκόπει τὴν ἀλήθειαν, καὶ βλέπε τὸ θαῦμα, καὶ τὴν μήνυσιν. Ἕνεκεν τούτου κρύπτεται ἀπ᾽ αὐτῶν ὁ ἀστήρ, ἵνα τούτων ἐρωτώντων παρὰ τῶν ἀπίστων ἱερέων, φανερὸν γένηται πᾶσι τὸ οὐρανοῦ καὶ γῆς μυστήριον. Ὅθεν μετὰ τὸ **[501]** γνῶναι πάντας, φανεροῦται πάλιν μάγοις ὁ ἀστήρ, ἕως οὗ ἐλθὼν ἔστη ἐπάνω τοῦ βρέφους ἐν τῷ σπηλαίῳ[4], ἢ μᾶλλον ἐν τῷ οὐρανῷ. Ὅπου γὰρ Χριστός, ἐκεῖ ὁ οὐρανός· τὸ γὰρ σπήλαιον οὐρανὸς ὤφθη ἐπὶ γῆς. Οἱ δὲ ἰδόντες τὸν ἀστέρα, μᾶλλον δὲ τὸν Σωτῆρα, ἐχάρησαν χαρὰν μεγάλην, οἳ καὶ κύψαντες προσεκύνησαν, καὶ ἐκβαλόντες τὰ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν[5]. Χρυσὸν μὲν ὡς βασιλεῖ· λίβανον δὲ ὡς Θεῷ· καὶ σμύρναν ὡς θνητῷ· μᾶλλον δὲ ἵνα καὶ τὸν ἐνταφιασμὸν μηνύσωσι τοῦ πάντων κτίστου καὶ δημιουργοῦ Χριστοῦ, ὃν ἔτεκεν ἡ οὐράνιος νύμφη Μαρία, ὁ οὐρανὸς καὶ ναὸς καὶ θρόνος τῆς θεότητος, τὸ ἀνεκλάλητον τοῦ παραδείσου κειμήλιον. Ἄγγελοι τὴν Εὔαν ἐμέμφοντο, νυνὶ δὲ τὴν Μαρίαν δοξάζουσιν·

**1.** Πρβλ. Ματθ. 2,4. **2.** Ματθ. 2,6. **3.** Μιχ. 5,1.3. Πρβλ. Β᾽ Βασ. 5,2. **4.** Πρβλ. Ματθ. 2,9. **5.** Πρβλ. Ματθ. 2,11.



ἡ τὸ ἀσθενὲς τῶν γυναικῶν κυρίως δοξάσασα, ἡ τὴν πεσοῦσαν Εὔαν ἀναστήσασα, καὶ τὸν ἐκβληθέντα τοῦ παραδείσου Ἀδὰμ[1] εἰς οὐρανοὺς ἀποστείλασα, ἡ τὸν κλεισθέντα παράδεισον ἀνοίξασα, καὶ διὰ λῃστοῦ[2] πάλιν τὸν Ἀδὰμ καταφυτεύσασα. Διὰ σοῦ γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ τὴν ἔχθραν κατέλυσεν[3], ὦ ἁγία Παρθένε· διὰ σοῦ ἡ οὐράνιος εἰρήνη τῷ κόσμῳ ἐδωρήθη, διὰ σοῦ τὰ πέρατα τῆς οἰκουμένης ἐφωτίσθη, διὰ σοῦ ἄνθρωποι ἄγγελοι γεγόνασι, διὰ σοῦ φίλοι, καὶ δοῦλοι, καὶ τέκνα Θεοῦ ἄνθρωποι ἐκλήθησαν, καὶ διὰ σοῦ σύνδουλοι ἀγγέλων καὶ συνόμιλοι ἄνθρωποι ἠξιώθησαν γενέσθαι· διὰ σοῦ γνῶσις οὐράνιος, καὶ δοξολογία ἀπὸ γῆς εἰς οὐρανοὺς ἀναπέμπεται· διὰ σοῦ παῤῥησίαν ἄνθρωποι ἐν οὐρανῷ πρὸς τὸν Ὕψιστον ἔχουσι· διὰ σοῦ σταυρὸς ἔλλαμψε κατὰ πάσης τῆς οἰκουμένης, ἐν ᾧ τὸ βρέφος σου ἐκρέματο Χριστὸς ὁ Θεὸς ἡμῶν· διὰ σοῦ θάνατος πατεῖται, καὶ ᾅδης σκυλεύεται· διὰ σοῦ τὰ εἴδωλα πεπτώκασι, καὶ γνῶσις οὐράνιος ἐγήγερται· διὰ σοῦ τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ ἐγνώκαμεν, ὃν ἔτεκες, παναγία Παρθένε, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ᾧ πάντες ἄγγελοι καὶ ἄνθρωποι προσκυνοῦντες λέγομεν, ἄναρχον τὸν Πατέρα, ἄναρχον τὸν Υἱόν, ἄναρχον τὸ Ἅγιον Πνεῦμα, Τριάδα ἀχώριστον καὶ ὁμοούσιον δοξάζοντες εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΠΕΡΙ ΒΑΪΩΝ*

**[501]** Ὁ ὑπ᾽ ἀγγέλων ἀσιγήτως ἀνυμνούμενος, καὶ δοξολογούμενος, κάτω ὡς ἄνθρωπος γονυπετεῖ τῷ Πατρὶ καὶ εὔχεται· καὶ ἄνω αὐτὸς ὑπὸ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως εὐχὰς καὶ γονυκλισίας προσδέχεται. Κάτω πεινᾷ ὡς ἄνθρωπος, ἄνωθεν δὲ ὁ αὐτὸς ἐλθὼν ἄρτος οὐράνιος διψᾷ οἰκονομικῶς· ἀλλ᾽ αὐτὸς ἐστιν ἡ πηγὴ τῆς ζωῆς θεοπρεπῶς. Κάτω κοπιᾷ κατὰ τὴν πρόσληψιν· ἀλλ᾽ αὐτὸς ἐστιν ἡ τῶν κοπιώντων καὶ πεφορτισμένων ἀνάπαυσις. Αὐτὸς οὗτος ἐστιν ὁ σήμερον ἐπὶ τὸν

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. - P. Migne, Patrologiae cursus completus, series Graeca τ. 43, 501-505.

**1.** Πρβλ. Γεν. 3,24. **2.** Πρβλ. Ἐφ. 2,14. **3.** Πρβλ. Λουκ. 23,43.

θάνατον ἑκουσίως ἐρχόμενος, «ἵνα τοῦ ἰδίου θανάτου καταργήσει τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου»[1], καὶ ἀθανασίαν χαριζόμενος τοῖς ὑπ' αὐτοῦ θνήξασι, δι' ἀθανασίας ἐλπίδα δελεασθεῖσιν. Διὰ τοῦτο παρεγένετο, οὐ σκῆπτρα καὶ σάλπιγγας ἐπ**[504]**αγόμενος, ἀλλὰ πτωχείαν ἐσχάτην ἐνδεικνύμενος· οὐ ξίφη καὶ ὅπλα καὶ δόρατα, ἀλλὰ ταπείνωσιν ἄκραν φερόμενος· οὐχ ὁπλοφόρους, οὐκ ἀσπίδας χρυσοκολλήτους καὶ θυρεοὺς καὶ κράνος καὶ θώρακα, ἀλλὰ πραότητα ἄκραν, καὶ ἀκακίαν ἄμετρον, καὶ μετριότητα τὴν ὑπὲρ μέτρον, ὁ Κύριος Χριστός, ὁ Θεὸς ἐν Σιών. Καὶ ἐσείσθη, φησί, πᾶσα ἡ πόλις λέγουσα, Τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός ἐστι Χριστὸς ὁ υἱὸς Δαβίδ[2]. Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ὁ ὄντως ναὸς καὶ Θεὸς ὁ ἱερώτερος καὶ τοῦ ἱεροῦ, ἐξήνεγκε καὶ τοὺς μιαροὺς ἱερεῖς τοὺς παρανόμους καὶ κακοτρόπους[3]. Οἱ δὲ παῖδες ἱεροπρεπῶς ἢ θεοπρεπῶς ἐν τῷ ἱερῷ τοῦ Θεοῦ ἑστῶτες, Ὡσαννὰ τῷ Θεῷ τοῦ ἱεροῦ Χριστῷ τῷ Ἰησοῦ ἀνέκραζον· «Ὡσαννὰ τῷ υἱῷ Δαβίδ»[4], δωρουμένῳ εἰρήνην ἐν οὐρανῷ, καὶ δόξαν ἐν ὑψίστοις. Μακάριαι τῶν Ἐκκλησιῶν αἱ προσδοκίαι! Μακάριαι τῶν Χριστιανῶν αἱ ἐλπίδες! Τῷ εἰρηνάρχῳ πιστεύοντες, ἢ τὴν εἰρήνην πλουτήσαντες ἄνθρωποι ἀγγέλων συμπολῖται γεγόνασι· τὰ ἄνω καὶ κάτω ἀναμὶξ Χριστὸς πεποίηκε· τοῖς ἀσωμάτοις τοὺς χοϊκοὺς ἥνωσε. «Χαίρετε ἐν Χριστῷ· πάλιν ἐρῶ, Χαίρετε»[5]. Χαῖρε σφόδρα, θύγατερ Σιών[6], ἡ νέα Ἱερουσαλήμ, ἡ τοῦ Θεοῦ Ἐκκλησία· σκόπησον τὰ τῆς ἑορτῆς σου μυστικώτερα· δράμε τῶν ὁρωμένων ὑψηλότερον, ἵνα γνῷς ἀναγωγικῶς καὶ τὰ αἰσθητῶς τελούμενα.

Τίνος χάριν ὁ πάντη πεζοπόρος Ἰησοῦς νῦν καὶ μόνον ἐπὶ ζώου ἐκάθισεν[7], αὐτὸς ὑψούμενος, καὶ τὴν ἐν σταυρῷ ὕψωσιν ἑαυτῷ αἰνιττόμενος; Τίς ἡ κατέναντι κώμη; Πάντως ἡ ἀντίθετος καὶ ἐναντία τῷ κόσμῳ γνώμη, ἣν ἐκτήσατο ὁ κατέναντι τοῦ παραδείσου ἐξοικισθεὶς ἄνθρωπος, πρὸς ὃν ἀπέστειλεν ὁ Χριστὸς δύο τῶν μαθητῶν[8] οἷον Διαθήκην αὐτοῦ Παλαιὰν καὶ Νέαν, τὰς δύο Διαθήκας. Τίς ἡ ὄνος; Ἡ παλαιὰ πάντως καὶ

---

**1.** Ἑβρ. 2,14. **2.** Πρβλ. Ματθ. 21,10. **3.** Πρβλ. Ματθ. 21,12. **4.** Ματθ. 21,9,15,16. **5.** Φιλιπ. 4,4. **6.** Πρβλ. Ματθ. 21,5. **7.** Πρβλ. Ματθ. 21,8. **8.** Πρβλ. Ματθ. 21,2.



μοιχαλὶς Συναγωγή, ἡ εἰς τὰ βάρη τὸν βίον βεβαρημένη, ἐφ' ἧ Χριστὸς μέχρι που κεκάθικε. Τίς ὁ πῶλος; Ἐγὼ ὁ νέος καὶ ἀγύμναστος τῶν ἐθνῶν λαός, ἐφ' ὃν οὐδεὶς ἀνθρώπων ἐκάθισεν· οὐ νόμος, οὐ φόβος, οὐκ ἄγγελος, οὐ προφήτης, οὐ Μωσῆς, οὐ Γραφή· ἀλλ' αὐτὸς ὁ Θεὸς Λόγος ὁ ἡμῖν τοῖς ἀλόγοις συμφατνιάσας ἐν Βηθλεέμ, ὅπως τῆς ἡμετέρας ἀλογίας ἐλευθερώσῃ, θεολόγους ὕστερον καταστήσας. Τίς δὲ ἡ λύσις τοῦ πώλου[1]; Πάντως ἡ ἀπὸ τῆς εἰδωλολατρείας ἐλευθερία, καὶ ἡ τῶν εἰδωλικῶν αἱμάτων κατάλυσις, ἣν ἐσήμανε καὶ ἡ τῆς αἱμοῤῥοούσης γυναικὸς ψαῦσις[2]. Τίνες οἱ ἐπὶ τῇ λύσει τοῦ πώλου γογγύσαντες, λέγοντες· Τί λύετε τὸν πῶλον δεδεμένον[3]; Οἱ Ἰουδαῖοι [οἱ] καὶ δαίμονες. Τίς ἡ τῶν ἱματίων τῶν παίδων ὑπόστρωσις[4]; τί τοῦ παλαιοῦ ἀνθρώπου ἔκδυσις; Ἡ τῆς Συναγωγῆς ἄσχημος γύμνωσις ὁμοῦ καὶ ἐρήμωσις. Τίνα τὰ θεολογοῦντα νήπια[5]; Σύμβολα πάντως τοῦ πιστοῦ λαοῦ τῆς Ἐκκλησίας Χριστοῦ ἔγγονα. Τίνες αἱ τούτων μητέρες; Αἱ τοῦ βαπτίσματος κολυμβῆθραι αἱ τοὺς πιστοὺς ἀναγεννῶσαι. Τίνες αἱ τῶν μητέρων μαζοί; Αἱ δύο Διαθῆκαι αἱ ἡμῶν διδάσκαλοι ἀμφότεραι, ποτίζουσαι ἡμᾶς τὸ γάλα τὸ πνευματικὸν καὶ οὐράνιον.

**[505]** Τίς ἡ ἐκ τοῦ ὄρους τῶν Ἐλαιῶν Χριστοῦ κατάβασις[6], ἀλλ' ἢ πάντως ἡ ἐκ τοῦ οὐρανοῦ Θεοῦ Λόγου πρὸς ἡμᾶς συγκατάβασις; Τίνες τῶν ἐλαιῶν οἱ κλάδοι; αἱ τῶν ἐλεημόνων ψυχαί. Τίς ἡ ὁδός, ἐν ᾗ καλῶς ὑποστρωννύουσι τὰς τῶν ἀρετῶν πράξεις, ἀπεκδυόμενοι τὸν παλαιὸν ἄνθρωπον; Τί τῶν φοινίκων τὰ βαΐα[7], αἱ καθαραὶ τῶν δικαίων καρδίαι, αἱ ὡς φοίνικες ἀνθοῦσαι, καὶ ὡς αἱ κέδροι τοῦ Λιβάνου πληθυνόμεναι, αἱ πεφυτευμέναι ἐν τῷ οἴκῳ Κυρίου καὶ ἐξανθοῦσαι[8], αἱ ἄνω ὀρθῶς πρὸς τὸν ἀληθῆ φοίνικα βλέπουσαι, πάντως δηλοῦσαι καὶ τὴν νίκην τοῦ τυράννου καὶ τοῦ ᾅδου, αὐτοὶ ἐλευθερωθέντες τῆς ἐκείνων τυραννίδος τῇ τοῦ Χριστοῦ νικητοῦ δυνάμει. Τίνες «οἱ προάγοντες»[9]; Προφῆται οἱ δίκαιοι. Τίνες «οἱ ἀκολουθοῦντες»[10];

---

**1.** Πρβλ. Ματθ. 21,3. **2.** Πρβλ. Ματθ. 9,20. Λουκ. 43,8. **3.** Πρβλ. Ματθ. 21,3. **4.** Πρβλ. Ματθ. 21,8. **5.** Πρβλ. Ματθ. 21,9,16. **6.** Πρβλ. Ματθ. 8,1. **7.** Πρβλ. Ἰω. 12,13. **8.** Πρβλ. Ψαλ. 91,13. **9.** Ματθ. 21,9. **10.** Ἐνθ' ἀν.

Ἀπόστολοι, καὶ ἡμεῖς οἱ ἐξ ἐθνῶν μετὰ τούτων πιστεύσαντες. Ἡ δὲ πόλις, ἡ ἄνω Ἱερουσαλήμ[1]· τὸ δὲ ἱερόν[2], ἡ βασιλεία τῶν οὐρανῶν, ἐξ ἧς Χριστὸς Ἰουδαίους ὡς ἀναξίους ἐξήγαγεν[3]. Οὕτω τὰ τῆς ἑορτῆς σου νόησον· οὕτω τὸ τοῦ Δεσπότου μυστήριον φύλαξον. Πάντως δὲ καὶ τὰ τῆς ἑορτῆς σου... Συνδράμωμεν μετὰ ἀγγέλων χορεύοντες, μετὰ τοῦ ὄχλου κροτοῦντες, μετὰ τοῦ πώλου σκιρτῶντες, μετὰ μητέρων θαυμάζοντες, μετ' Ἀποστόλων κηρύττοντες, καὶ Χριστῷ ὑπαντοῦντες τὴν Ἱερουσαλὴμ ἐπιβαίνοντι, αἰνοῦντες, εὐλογοῦντες, Ὡσαννὰ λέγοντες. Εὐλογημένος ὁ ἐλθών, καὶ πάλιν ἐρχόμενος ἐν ὀνόματι Κυρίου[4] κρῖναι τὸν κόσμον αὐτοῦ. Αὐτῷ ἡ δόξα τῷ Πατρί, καὶ τῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΛΟΓΟΣ
## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΑΝΑΣΤΑΣΙΝ*

**155** 1 Νῦν τὸ πένθος τῶν νεκρῶν πεφυγάδευται καὶ τὸ φέγγος τῆς ἀναστάσεως ἐλήλυθεν. Τοῦτο γάρ ἐστιν ἀγάπης ἀπόδειξις, ὅτι ὅνπερ ὤφειλεν θάνατον ὁ ἄνθρωπος, τοῦτον ἔλυσεν ὁ Χριστὸς ἀποθανών, δοὺς λύτρον ψυχὴν ἀντὶ ψυχῆς καὶ σῶμα ἀντὶ σώματος ὅλον ἄνθρωπον ἀντὶ ἀνθρώπου, καὶ θάνατον ὑπὲρ θανάτου. 2 Τίς ποτε ἀπέθανεν δίκαιος ὢν ὑπὲρ ἀδίκου; Ποῖος πατὴρ ὑπὲρ τέκνου, ποῖος υἱὸς ὑπὲρ πατρὸς ἀπέθανεν; Ὃ ἐποίησεν Κύριος ὑπὲρ ἡμῶν, οὐ μόνον ἡμᾶς πλάσας διὰ χειρὸς ἐν τῷ Ἀδάμ, ἀλλὰ καὶ ἀναγεννήσας ἡμᾶς διὰ πνεύματος ἐν τῷ αὐτοῦ πάθει. 3 Καὶ ὁ ἀσεβὴς λαὸς τῶν Ἰουδαίων ἀπέκτειναν τὸν ἑαυτῶν εὐεργέτην, ἀποδόντες αὐτῷ πονηρὰ ἀντὶ ἀγαθῶν[5] καὶ θλῖψιν ἀντὶ χαρᾶς καὶ θάνατον ἀντὶ ζωῆς· τὸν γὰρ ἐγείροντα τοὺς νεκροὺς αὐτῶν καὶ θεραπεύοντα τοὺς χωλοὺς καὶ φωταγωγοῦντα τοὺς τυφλούς, τοῦτον ἀπέκτειναν κρεμάσαντες ἐπὶ ξύλου. 4 Ἴδετε οἱ ἄνθρωποι, ἴδετε πᾶσαι αἱ πατριαὶ τὰ καινὰ τολμήματα· ἐκρέμασαν τὸν κρεμάσαντα τὴν γῆν, καὶ προσέπηξαν ξύλῳ τὸν πήξαντα τὸν κόσμον, καὶ ἐμέτρησαν τὸν μετρήσαντα τοὺς οὐρανούς, καὶ ἔδησαν τὸν λύσαντα τοὺς ἁμαρτωλούς, καὶ ἐπότισαν ὄξος τὸν ποτίσαντα δικαιοσύνην, καὶ ἐψώμισαν χολὴν τὸν ψωμίσαντα ζωήν, καὶ ἠφάνισαν χεῖρας καὶ πόδας τοῦ θεραπεύσαντος αὐτῶν χεῖρας καὶ πόδας, καὶ ἠνάγκασαν καμμύσαι τὸν ποιήσαντα αὐτοὺς ἀναβλέψαι, καὶ ἔθαψαν τὸν ἐγείραντα τοὺς νεκροὺς αὐτῶν. 5 Ὢ μυστηρίου καινοῦ καὶ θαύματος παραδόξου ἐκρίθη ὁ κριτὴς **157** καὶ ἐδήθη ὁ λύων τοὺς πεπεδημένους, καὶ προσεπάγη ὁ πήξας τὴν γῆν, καὶ ἐκρεμάσθη ὁ κρεμάσας τὸν κόσμον, καὶ ἐμετρήθη ὁ μετρήσας τοὺς οὐρανούς, καὶ ἐψωμίσθη χολὴν ὁ ψωμίσας ζωήν, καὶ ἀπέθανεν ὁ ζωογονῶν τὰ πάντα, καὶ ἐτάφη ὁ ἀνιστῶν τοὺς νεκρούς. 6 Τοῦ γὰρ Κυρίου κρεμαμένου ἐπὶ τοῦ ξύλου, ἐρράγησαν οἱ τάφοι, καὶ ὁ Ἅδης ἠνεώχθη, καὶ ἀνέστησαν νεκροί, καὶ ἐξήλλοντο ψυχαί, καὶ ἐνεφανίσθησαν πολλοὶ τῶν ἀνισταμένων ἐν Ἰσραήλ, ὅτε ἐπετελεῖτο τὸ τοῦ Χριστοῦ μυστήριον· ἐπὶ γὰρ τοῦ Σταυροῦ ὕψωσεν τὴν σάρκα, ἵνα φανῇ ἡ σὰρξ ὑψουμένη καὶ θάνατος πεπτωκὼς ὑπὸ τοὺς πόδας τῆς σαρκός. 7 Τότε οἱ ἄγγελοι ἐξενίσθησαν καὶ αἱ δυνάμεις τῶν οὐρανῶν ἐξεπλάγησαν ἐπὶ τῷ πάθει τοῦ Χριστοῦ, ἐξεπλάγη ἡ κτίσις ξενιζομένη καὶ λέγουσα. Τί ἄρα εἴη τοῦτο τὸ καινὸν μυστήριον; Ὁ κριτὴς κρίνεται καὶ σιωπᾷ, ὁ ἀόρατος ὁρᾶται καὶ οὐκ ἐπαισχύνεται, ὁ ἀκράτητος κρατεῖται καὶ οὐκ ἀγανακτεῖ, ὁ ἀμέτρητος μετρεῖται καὶ οὐκ ἀντιτάσσεται, ὁ ἀπαθὴς πάσχει καὶ οὐκ ἀνταποδίδωσιν, ὁ ἀθάνατος θνήσκει καὶ καρτερεῖ, ὁ ἐν οὐρανοῖς θάπτεται καὶ ὑπομένει· τί τοῦτο τὸ καινὸν μυστήριον ἢ πάντως διὰ τὸν ἄνθρωπον; 8 Ἀλλ' ὁ βουλήσει παθὼν Κύριος ἀνέστη ἐκ τῶν νεκρῶν, καταπατήσας τὸν θάνατον, καὶ δήσας «τὸν ἰσχυρόν»[1], καὶ λύσας τὸν ἄνθρωπον· ὁ δὲ θάνατος ἀλλοιωθεὶς ἔπεσεν ὑπὸ τοὺς πόδας τοῦ Χριστοῦ, καὶ ἐσύρθη αἰχμάλωτος θριαμβευόμενος ὁ Ἅδης, καὶ πᾶσαι αἱ δυνάμεις αὐτοῦ ἀνεστράφησαν ἀκούσασαι τῆς φωνῆς τοῦ Χριστοῦ, καθὼς ἡ Γραφή φησιν. Εἶδος μὲν αὐτοῦ οὐκ εἴδομεν, φωνῆς δὲ αὐτοῦ ἠκούσαμεν[2]. Οὐκ εἶδεν γὰρ ὁ ᾅδης τὸ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ P. Nautin, Le dossier d' Hippolyte et de Meliton dans les florilèges dogmatiques et chez les historiens moderues, Paris 1953, σσ. 155-159.

**1.** Πρβλ. Ματθ. 21,10. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ματθ. 21,9,16. **5.** Πρβλ. Γεν. 44,4.



**1.** Πρβλ. Ματθ. 12,29. Μάρκ. 3,27. **2.** Πρβλ. Δευτ. 4,12. Ἰω. 5,37.

πρόσωπον τοῦ Κυρίου, ἀλλὰ φωνῆς αὐτοῦ ἤκουσεν λέγοντος. Ἐξέλθατε ψυχαὶ πεπεδημέναι καὶ καθήμεναι ἐν σκιᾷ θανάτου[1] ζωὴν ὑμῖν εὐαγγελίζομαι· ἐγώ εἰμι ὁ Χριστὸς ἡ ζωὴ ὑμῶν. 9 Τότε ὁ ᾅδης ἀκούσας κατελύθη, καὶ αἱ πύλαι αὐτοῦ αἱ **159** χαλκαὶ συνετρίβησαν, καὶ οἱ μοχλοὶ αὐτοῦ οἱ σιδηροῖ συνεθλάσθησαν, καὶ ἐξήλλοντο αἱ τῶν ἁγίων ψυχαὶ ἀκολουθοῦσαι τοῖς ἴχνεσι τοῦ Χριστοῦ· τότε ἐπληρώθη τὸ γεγραμμένον· «Ἐκεῖ συνέτριψεν πύλας χαλκάς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν»[2]. 10 Ἐβόησε δὲ καὶ ἡ γῆ λέγουσα· Δέσποτα, φεῖσαί μου τῶν κακῶν, κούφισόν με τῆς ὀργῆς, λῦσόν με τῆς κατάρας, ἀνθ' ὧν ἐδεξάμην αἵματα καὶ ἀνθρώπων σώματα, ἔτι δὲ καὶ τὸ σὸν σῶμα· Δέσποτα, ἀπολάμβανέ σου τὸν Ἀδάμ. 11 Ἀνέστη γοῦν ὁ Κύριος διὰ τριῶν ἡμερῶν, διδάσκων ἡμᾶς Τριάδα ἐν μονάδι προσκυνεῖν· πᾶσαι δὲ αἱ πατριαὶ τῶν ἐθνῶν ἐσώθησαν ἐν τῷ Χριστῷ· εἷς γὰρ ἐκρίθη καὶ μυριάδες ἐσώθησαν· ὁ γὰρ Κύριος ἀπέθανεν ὑπὲρ πάντων. 12 Οὗτος δὲ ὁμοίως ἐνδυσάμενος ὅλον τὸν ἄνθρωπον ἀνῆλθεν εἰς τὰ ὕψη τῶν οὐρανῶν, ἀναφέρων δῶρον τῷ Πατρὶ οὐ χρυσόν, οὐκ ἄργυρον, οὔτε λίθον τίμιον, ἀλλ' ἄνθρωπον ὃν ἔπλασεν «κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ»[3]. 13 Τοῦτον ὁ πατὴρ ὑψώσας ἐν δεξιᾷ αὐτοῦ «ἐπὶ θρόνου ὑψηλοῦ»[4] κεκάθικεν, ἕως ἂν τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ[5]· μέλλει γὰρ ἔρχεσθαι κριτὴν ζώντων καὶ νεκρῶν, «οὗ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος»[6]· ὅτι δόξα ἐστὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

**1.** Πρβλ. Ἡσ. 9,2. Ψαλ. 106,10. Λουκ. 1,79. **2.** Ψαλ. 106,16. **3.** Γεν. 1,26. **4.** Ἡσ. 6,1. **5.** Πρβλ. Ψαλ. 109,1. Α' Κορ. 15,25. Ἑβρ. 10,13. **6.** Λουκ. 1,33.



## ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΣΥΜΕΩΝΑ ΚΑΙ ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ*

### 1. Μηνὶ Φεβρουαρίῳ γ'.

Μέγα φῶς ἐν ἡμέρᾳ φωτὸς τοῖς λαοῖς τοῦ φωτὸς σήμερον εὐαγγελιζόμεθα. «Ἐγὼ γάρ εἰμι τὸ φῶς τοῦ κόσμου»[1], φησὶν ὁ Σωτήρ. Δεξώμεθα τοίνυν μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως τὸν πρὸς ἡμᾶς παραγεγονότα Σωτῆρα Θεόν. Ὑπαντήσωμεν μετ' εὐφροσύνης. Σήμερον γὰρ ἧκεν ἐν τῇ πόλει Χριστὸς ποσὶν ἀφ' ἡμῶν χρησάμενος ἡμετέροις, φερόμενος ἀγκάλαις μητρικαῖς, ὁ ἀεὶ συνὼν θεότητι πατρικῇ, κατεχόμενος ὑπὸ τοῦ Ἰωσήφ, ὁ ῥήματι δυνάμεως φέρων τὰ σύμπαντα, τρεφόμενος γάλακτι, ὁ διδοὺς τροφὴν πάσῃ σαρκί. Καὶ πᾶσα μὲν μνήμη Θεοῦ ὁλόκληρος ἑορτή. Οὐ γὰρ ἂν ἐψεύσατο ὁ μακάριος Δαβὶδ λέγων «ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην»[2]. Ἡ δὲ παροῦσα πανήγυρις ἰδιάζουσά ἐστιν τῆς Ἱερουσαλὴμ ἑορτῆς καθ' ἣν θηλάζων τῇ πόλει ἐφοίτα ὁ Θεὸς καὶ ὁ νομοθέτης τὰ τοῦ νόμου δοκοῦντα ἐπλήρου τιμῶν τὸ γράμμα τῷ πράγματι καὶ ἡ ἀλήθεια τὴν σκιὰν ἐθεράπευεν καὶ ὁ πάσης κτίσεως καθαρώτερος καθαρμοῦ ἠνείχετο νομικοῦ καὶ θυσίαν προσῆγεν, ἡ ὑπὲρ τοῦ κόσμου θυσία, καθαιρόμενος μὲν νομικῶς καθαίρων δὲ εὐαγγελικῶς παριστάμενος ἐν τῷ ναῷ. Ναὸν δὲ τὸν ἑαυτοῦ εὐτρεπίζων σταυρῷ, βασταζόμενος ὑπὸ μητρὸς τῆς ἄνευ γάμου τεκούσης τὸ βρέφος, τῆς πρὸ τοῦ τόκου παρθένου καὶ μετὰ τόκον μητρὸς καὶ παρθένου. Εἶδε δὲ ὁ Συμεὼν καὶ τὸν Δεσπότην ἐπέγνω καὶ τὴν ἑαυτοῦ ἀπόλυσιν. Τί

---

* Πρώτη ἔκδοσις ὑπὸ τοῦ κ. Παναγιώτου Γ. Νικολοπούλου, Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν, ἐπὶ τῇ βάσει τῶν κωδίκων α') Cryptoferratensis B a 13 (11ου αἰ.), ff. 22-23, τῆς Βιβλιοθήκης Grottaferrata (Roma) (A), καὶ β') Vaticanus Gr. 1990 (10ου αἰ.), ff. 72v-73v, τῆς Βιβλιοθήκης Apostolica Vaticana (Roma) (B).

**1.** Ἰω. 8,12. **2.** Ψαλμ. 76,4.

Τίτλος· ὁμιλία **A** Εἰς τ. Συμ. καὶ om. **A** Ὑποπαντὴν **B** ἀπαντὴν **A** Μηνὶ Φεβρουαρίῳ γ' om. **A** // **5** εὐηγγελιζώμεθα **A** // **7** Σ. Χριστὸν **A** // **8** ὑφ' **B** // **9** ἡμετέραις **A** ὁ om. **B** // **10-11** ἅρματι **B** // **13** ἂν om. **A** // **14** ηὐφράνθην **A** // **15** τὴν (τῆς) add. **B** ἑορτὴ **B** θηλάζωντα πάλαι ἐφ. **B** // **16** ὁ (ante Θ.) om. **B** νόμο **B** // **17** τὸ γράμμα om. **B** ἐθεράπευσεν **A** // **19** θυσία **A** ἡ om. **B** τῆς (τοῦ) add. **A** // **20** δὲ νομ. **A** // **22** τῆς (μ.) add. **A** // **23** δὲ ὁ om. **A** // **24** τῷ Δ. **A** σαυτοῦ **B**

λέγων; «Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου»[1], ἐπειδὴ προώρισε πρὸ τῶν αἰώνων ὁ νῦν γαλακτοτροφούμενος, ὁ ὑπὸ τῶν χειρῶν μου βασταζόμενος τοῦ μὴ ἰδεῖν με θάνατον πρὶν ἴδω σε τὸν Χριστὸν Κυρίου[2]. Ἰδοὺ εἶδόν σε, ἰδοὺ ἐνεπλήσθην. Ἰδοὺ ὁρῶ τὰς χεῖράς μου σήμερον μετὰ τῶν Χερουβεὶμ βασταζούσας σε τὸ ἱλαστήριον πάσης τῆς οἰκουμένης. Ἰδοὺ ὁρῶ τὰς χεῖράς μου σήμερον θυσιαστήριον γεγενημένας καὶ βασταζούσας σε τὸν ἄρτον τὸν ἐπουράνιον. Ἰδοὺ ὁ πόθος μου καὶ ἡ ἐπιθυμία μου καὶ ἡ προσδοκία καὶ ἡ ἐλπὶς πεπλήρωται. Ἰδοὺ ὁ καιρὸς τῆς φιλανθρωπίας σου ἐπὶ πέρας ἧκεν. Ὁ αὐτὸς νῦν παρακαλῶ ἀπολυθῆναί με. «Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ» ὁ προορίσας πρὸ πάντων τῶν αἰώνων καὶ νῦν διὰ τῆς παρουσίας σου τὸ πρᾶγμα πᾶσι φανερὸν ἀποδείξας. «Νῦν ἀπολύεις». Ἀλλὰ μὴ ὑπολάβῃς, μηδὲ ξενίζου, ἀγαπητέ, ἀκούων τὸν μακάριον Συμεῶνα δεξάμενον τὸν Σωτῆρα εἰς τὰς ἀγκάλας αὐτοῦ. Σύστειλον καὶ αὐτὸς τὰς χεῖράς σου ἀπὸ ἁρπαγῆς καὶ ἔκτεινον αὐτὰς εἰς ἐλεημοσύνας. Καὶ σήμερον καὶ αὐτὸς ὁρᾷς τὸν Σωτῆρα Χριστὸν ὑπὸ τῶν χειρῶν σου βασταζόμενον καθὼς ὁ μακάριος ἐκεῖνος Συμεών. «Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ». Δεῦρο τοίνυν καὶ ἡμεῖς παρακαλῶ τῆς εἰσόδου τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν ἑορτὴν μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως ἐπιτελέσωμεν, ἔχοντες τὸν ἐπουράνιον νυμφίον μεθ' ἑαυτῶν. Αὐτὸς γὰρ εἶπεν ἐν τοῖς Εὐαγγελίοις· «οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον ἔχουσι τὸν νυμφίον μεθ' ἑαυτῶν»[3], καθὼς προεῖπον. Ἀλλὰ μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως σήμερον πανηγυρίσωμεν συναπολαύοντες τῷ Σωτῆρι Χριστῷ καὶ ἀληθι-

1. Λουκ. 2, 29-30. 2. Πρβλ. Λουκ. 2, 26. 3. Ματθ. 9,15. Μάρκ. 2,19. Λουκ. 5,34.

**4** με om. **B** // **6** μετὰ τῶν Χερουβεὶμ om. **A** // **7** τὸν ἱ. **A** // **8** γεγενημένον **B** // **8-9** βαστάζουσα **B** // **9** ἄρτον (post. ἄρτ.) add. **A** Ἰδ. ἀπόδος μ. **A** // **11** ὡσαῦτος **A** // **14** τῶν om. **A** // **15** ἀποδίξῃς **A** // **16** Συμεὼν **B** // **18** καί om. **B** ἐλεημοσύνην **A** // **19** τ. δεσπότην Χρ. **A** // **23** Ἰησοῦ om. **A** // **25** δύνατε **A** οἱ om. **A** // **27** Ἀλλὰ om. **A**



νῷ Θεῷ ἡμῶν καὶ τὴν προσήκουσαν τῆς νηστείας κατήφειαν εἰς εὐφροσύνην καὶ φαιδρότητα μεταβάλωμεν. Ἰδοὺ γὰρ τὸν κρατῆρα κεράσας καὶ τὴν τράπεζαν καὶ τὰ ἐδέσματα προευτρεπίσας ὁ Δεσπότης ἡμῶν Χριστὸς πάντας σαφῶς προσκαλεῖται λέγων. «Ἔλθατε, φάγετε τὸν ἐμὸν ἄρτον καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν». Ταύτης οὖν τῆς πνευματικῆς εὐφροσύνης ἐμπλησθέντες μὴ σχολάσωμεν κώμοις καὶ μέθαις μηδὲ κοίταις καὶ ἀσελγείαις μηδὲ ζήλῳ καὶ ἔριδι[1], ἀλλ' ἐνδυσώμεθα τὸν Κύριον Ἰησοῦν Χριστὸν τὸν Θεὸν ἡμῶν τὸν ἐμπιπλῶντα χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε εὐφραινόμενοι ἐν αὐτῷ ἐν ἀγαλλιάσει ὅτι αὐτῷ πρέπει δόξα, τιμή, κράτος καὶ μεγαλοπρέπεια ἅμα τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΛΟΓ(ΟΣ) ΕΙΣ Τ(ΗΝ) ΓΕΝΝΗΣΙΝ ΤΟΥ Κ(ΥΡΙΟ)Υ ΗΜ(ΩΝ) Ι(ΗΣΟ)Υ Χ(ΡΙΣΤΟ)Υ*

Εὐλόγησον.

«Δόξα ἐν ὑψίστοις Θ(ε)ῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐ⟨ν⟩ ⟨ἀ⟩ν(θρώπ)οις εὐδοκία»[2] ἀκούω σήμερον ἐν Βηθλεὲμ παρ' ἀγγέλων ἀνευφημούντων τὸν Κ(ύριο)ν. Κἀγὼ σὺν αὐτοῖς τοῖς παρομοίοις χρώμενος ἀνακράζων ἀπάρχομαι· «Δόξα ἐν ὑψίστοις Θ(ε)ῷ» καὶ Πατρί, δόξα τῷ ἐν ἀν(θρώπ)οις ἐνοικήσαντι Πν(εύμ)α⟨τι⟩, δόξα τῇ ὁμοουσίῳ Τριάδι τῇ ἐμφανισάσῃ ἑαυτὴν ἡμῖν σήμερον διὰ τῆς τῶν ἀγγέλων ὑμνῳδίας. Ὁ γὰρ ἐν ὑψί-

* Τὸ κείμενον ἐλήφθη ἐκ τοῦ κώδικος Brixiensis A III 3 (16ου αἰ.), ff. 175-176, τῆς Βιβλιοθήκης Queriniana (Brescia τῆς Ἰταλίας). Ἡ ἐπεξεργασία τοῦ κειμένου ἐγένετο τῇ ἐπιμελείᾳ τοῦ κ. Παναγιώτου Γ. Νικολοπούλου, Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν. Ἐν τῷ χειρογράφῳ ἡ ἐπιγραφή· Τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Ἐπιφανίου ἀρχιεπισκόπου Κύπρου, Λόγ(ος) εἰς τ(ὴν) Γέννησιν τοῦ Κ(υρίο)υ ἡμ(ῶν) Ἰ(ησο)ῦ Χ(ριστο)ῦ. Εὐλόγησον.

1. Πρβλ. Ρωμ. 13,13. Γαλ. 5,19. 2. Λουκ. 2,14.

**3** εὐτρεπίσας **A** // **4** ἁπλῶς **B** // **7** κώμαις **B** // **8** (Κ.) ἡμῶν add. **A** // **9** τὸν Θεὸν ἡμῶν om. **A** ἐμπιπλοῦντα **A** // **11** πρέπει om. **A** ἡ (δ.) add. **A** τιμὴ om. **A** καὶ τὸ (κρ.) add. **A** καὶ μεγαλοπρέπεια ἅμα om. **A** (ἅ.) σὺν add. **A** τῷ om. **A** // **12** π. καὶ ἁγίῳ **A** καὶ ζωοποιῷ om. **A**.

λέγων; «Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου»[1], ἐπειδὴ προώρισε πρὸ τῶν αἰώνων ὁ νῦν γαλακτοτροφούμενος, ὁ ὑπὸ τῶν χειρῶν μου βασταζόμενος τοῦ μὴ ἰδεῖν με θάνατον πρὶν ἴδω σε τὸν Χριστὸν Κυρίου[2]. Ἰδοὺ εἶδόν σε, ἰδοὺ ἐνεπλήσθην. Ἰδοὺ ὁρῶ τὰς χεῖράς μου σήμερον μετὰ τῶν Χερουβεὶμ βασταζούσας σε τὸ ἱλαστήριον πάσης τῆς οἰκουμένης. Ἰδοὺ ὁρῶ τὰς χεῖράς μου σήμερον θυσιαστήριον γεγενημένας καὶ βασταζούσας σε τὸν ἄρτον τὸν ἐπουράνιον. Ἰδοὺ ὁ πόθος μου καὶ ἡ ἐπιθυμία μου καὶ ἡ προσδοκία καὶ ἡ ἐλπὶς πεπλήρωται. Ἰδοὺ ὁ καιρὸς τῆς φιλανθρωπίας σου ἐπὶ πέρας ἧκεν. Ὁ αὐτὸς νῦν παρακαλῶ ἀπολυθῆναί με. «Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ» ὁ προορίσας πρὸ πάντων τῶν αἰώνων καὶ νῦν διὰ τῆς παρουσίας σου τὸ πρᾶγμα πᾶσι φανερὸν ἀποδείξας. «Νῦν ἀπολύεις». Ἀλλὰ μὴ ὑπολάβῃς, μηδὲ ξενίζου, ἀγαπητέ, ἀκούων τὸν μακάριον Συμεῶνα δεξάμενον τὸν Σωτῆρα εἰς τὰς ἀγκάλας αὐτοῦ. Σύστειλον καὶ αὐτὸς τὰς χεῖράς σου ἀπὸ ἁρπαγῆς καὶ ἔκτεινον αὐτὰς εἰς ἐλεημοσύνας. Καὶ σήμερον καὶ αὐτὸς ὁρᾷς τὸν Σωτῆρα Χριστὸν ὑπὸ τῶν χειρῶν σου βασταζόμενον καθὼς ὁ μακάριος ἐκεῖνος Συμεών. «Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ». Δεῦρο τοίνυν καὶ ἡμεῖς παρακαλῶ τῆς εἰσόδου τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν ἑορτὴν μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως ἐπιτελέσωμεν, ἔχοντες τὸν ἐπουράνιον νυμφίον μεθ᾽ ἑαυτῶν. Αὐτὸς γὰρ εἶπεν ἐν τοῖς Εὐαγγελίοις· «οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ᾽ ὅσον ἔχουσι τὸν νυμφίον μεθ᾽ ἑαυτῶν»[3], καθὼς προεῖπον. Ἀλλὰ μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως σήμερον πανηγυρίσωμεν συναπολαύοντες τῷ Σωτῆρι Χριστῷ καὶ ἀληθι-

**1.** Λουκ. 2, 29-30. **2.** Πρβλ. Λουκ. 2, 26. **3.** Ματθ. 9,15. Μάρκ. 2,19. Λουκ. 5,34.

**4** με om. **B** // **6** μετὰ τῶν Χερουβεὶμ om. **A** // **7** τὸν ἱ. **A** // **8** γεγενημένον **B** // **8-9** βαστάζουσα **B** // **9** ἄρτον (post. ἄρτ.) add. **A** Ἰδ. ἀπόδος μ. **A** // **11** ὡσαῦτος **A** // **14** τῶν om. **A** // **15** ἀποδίξῃς **A** // **16** Συμεὼν **B** // **18** καί om. **B** ἐλεημοσύνην **A** // **19** τ. δεσπότην Χρ. **A** // **23** Ἰησοῦ om. **A** // **25** δύνατε **A** οἱ om. **A** // **27** Ἀλλὰ om. **A**



νῷ Θεῷ ἡμῶν καὶ τὴν προσήκουσαν τῆς νηστείας κατήφειαν εἰς εὐφροσύνην καὶ φαιδρότητα μεταβάλωμεν. Ἰδοὺ γὰρ τὸν κρατῆρα κεράσας καὶ τὴν τράπεζαν καὶ τὰ ἐδέσματα προευτρεπίσας ὁ Δεσπότης ἡμῶν Χριστὸς πάντας σαφῶς προσκαλεῖται λέγων. «Ἔλθατε, φάγετε τὸν ἐμὸν ἄρτον καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν». Ταύτης οὖν τῆς πνευματικῆς εὐφροσύνης ἐμπλησθέντες μὴ σχολάσωμεν κώμοις καὶ μέθαις μηδὲ κοίταις καὶ ἀσελγείαις μηδὲ ζήλῳ καὶ ἔριδι[1], ἀλλ᾽ ἐνδυσώμεθα τὸν Κύριον Ἰησοῦν Χριστὸν τὸν Θεὸν ἡμῶν τὸν ἐμπιπλῶντα χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε εὐφραινόμενοι ἐν αὐτῷ ἐν ἀγαλλιάσει ὅτι αὐτῷ πρέπει δόξα, τιμή, κράτος καὶ μεγαλοπρέπεια ἅμα τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΛΟΓ(ΟΣ) ΕΙΣ Τ(ΗΝ) ΓΕΝΝΗΣΙΝ ΤΟΥ Κ(ΥΡΙΟ)Υ ΗΜ(ΩΝ) Ι(ΗΣΟ)Υ Χ(ΡΙΣΤΟ)Υ*

Εὐλόγησον.

«Δόξα ἐν ὑψίστοις Θ(ε)ῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐ⟨ν⟩ ⟨ἀ⟩ν(θρώπ)οις εὐδοκία»[2] ἀκούω σήμερον ἐν Βηθλεὲμ παρ᾽ ἀγγέλων ἀνευφημούντων τὸν Κ(ύριο)ν. Κἀγὼ σὺν αὐτοῖς τοῖς παρομοίοις χρώμενος ἀνακράζων ἀπάρχομαι· «Δόξα ἐν ὑψίστοις Θ(ε)ῷ» καὶ Πατρί, δόξα τῷ ἐν ἀν(θρώπ)οις ἐνοικήσαντι Πν(εύμ)α⟨τι⟩, δόξα τῇ ὁμοουσίῳ Τριάδι τῇ ἐμφανισάσῃ ἑαυτὴν ἡμῖν σήμερον διὰ τῆς τῶν ἀγγέλων ὑμνῳδίας. Ὁ γὰρ ἐν ὑψί-

* Τὸ κείμενον ἐλήφθη ἐκ τοῦ κώδικος Brixiensis A III 3 (16ου αἰ.), ff. 175-176, τῆς Βιβλιοθήκης Queriniana (Brescia τῆς Ἰταλίας). Ἡ ἐπεξεργασία τοῦ κειμένου ἐγένετο τῇ ἐπιμελείᾳ τοῦ κ. Παναγιώτου Γ. Νικολοπούλου, Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν. Ἐν τῷ χειρογράφῳ ἡ ἐπιγραφή· Τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Ἐπιφανίου ἀρχιεπισκόπου Κύπρου, Λόγ(ος) εἰς τ(ὴν) Γέννησιν τοῦ Κ(υρίο)υ ἡμ(ῶν) Ἰ(ησο)ῦ Χ(ριστο)ῦ. Εὐλόγησον.

**1.** Πρβλ. Ρωμ. 13,13. Γαλ. 5,19. **2.** Λουκ. 2,14.

**3** εὐτρεπίσας **A** // **4** ἁπλῶς **B** // **7** κώμαις **B** // **8** (Κ.) ἡμῶν add. **A** // **9** τὸν Θεὸν ἡμῶν om. **A** ἐμπιπλοῦντα **A** // **11** πρέπει om. **A** ἡ (δ.) add. **A** τιμὴ om. **A** καὶ τὸ (κρ.) add. **A** καὶ μεγαλοπρέπεια ἅμα om. **A** (ἅ.) σὺν add. **A** τῷ om. **A** // **12** π. καὶ ἁγίῳ **A** καὶ ζωοποιῷ om. **A**.

στοις Θ(εὸ)ς ὁ Π(ατ)ὴρ νοεῖται καὶ ἐπὶ γῆς εἰρήνη ὁ Υἱός ἐστιν, ἡ δὲ εὐδοκία ἡ ἐν ἀν(θρώπ)οις ὁ Παράκλητος τυγχάνει εἷς τῆς Τριάδος. Τούτοις συνῳδὰ καὶ ὁ ἄγγελος Γαβριὴλ τῇ παρθένῳ προμηνύων τὴν σάρκωσιν «Πν(εῦμ)α Ἅγιον», φησίν, «ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι»[1]. Πν(εῦμ)α ἅγιον τὸν Παράκλητον ἐδήλωσε, δι᾽ αὐτοῦ τὰ πάντα ζῇ καὶ κινεῖται καὶ ἵσταται δύναμις Ὑψίστου, τὸν Υἱὸν ἀριδήλως ἐσήμανε. «Χ(ριστὸ)ς γὰρ Θ(εο)ῦ δύναμις καὶ Θ(εο)ῦ σοφία»[2], ὡς ὁ μέγας ἀπόστολος εἴρηκεν, ὕψιστος δὲ ὁ Π()ατὴρ ἐξ οὗ ὁ Υἱὸς καὶ τὸ Πν(εῦμ)α. Ὁ μὲν γεννητὸς ὅτι καὶ γέννημα, τοῦτο δὲ προβλητῶς ὅτι καὶ πρόβλημα καὶ Π(νεῦμ)α· τῶν δὲ τριῶν φύσις ἡ αὐτή. Διὸ καὶ μία ἡ δόξα τοῖς τρισὶ προσώποις ἀναφέρεται. Δόξα τοίνυν τῇ μακαρίᾳ Τριάδι καὶ ὁμοουσίῳ καὶ ἀδιαιρέτῳ. Δόξα τῷ σαρκωθέντι Λόγῳ τῷ μόνῳ Υἱῷ καὶ πρὸ σαρκὸς καὶ μετὰ σαρκός. Δόξα τῷ[ν] ἐνδημήσαντι σαρκικῶς ἐπὶ γῆς. Δόξα τῷ εὐδοκήσαντι δι᾽ ἡμᾶς γενέσθαι καθ᾽ ἡμᾶς. Δόξα τῷ νηπιάσαντι Θ(ε)ῷ καὶ τοῦ Π(ατ)ρ(ὸ)ς ἐν κόλποις ἀναπαυσαμένῳ. Ἐπέφανε[ν] γὰρ ἐπὶ γῆς τοῖς πολεμηθεῖσιν ἡμῶν. Ἐπέφανεν ὁ πρὸ πάντων τῶν αἰώνων γεννηθεὶς ἐκ Π(ατρό)ς, ἦλθεν, ὤφθη ἐπὶ γῆς καὶ τοῖς ἀν(θρώπ)οις συνανεστράφη. Ἐπέφανεν ὁ τῆς δικαιοσύνης ἥλιος Χ(ριστὸ)ς καὶ τοὺς ἐσκοτισμένους ἐφώτισεν. Ἐπέφανεν ὁ πρὸ αἰώνων Λόγος καὶ τὴν ἀλογίαν ἐδίωξε συμφατνιάσας ἡμῖν ἐν Βηθλεὲμ καὶ αὐτοὺς τῆς ἀλογίας θεολόγους κατέστησε. Ἐπεφάνη σαρκὶ Θ(εὸ)ς καὶ τὴν χάριν τοῦ Πν(εύματο)ς ἀν(θρώπ)οις ἐβράβευσεν. Ἐτέχθη παιδίον Θ(εὸ)ς καὶ υἱοὺς Θ(εο)ῦ τοὺς ἀν(θρώπ)ους ἐτέλεσεν, παραπλησίως μετέσχεν αἵματος καὶ σαρκὸς καὶ τὸν δεσμ(ὸ)ν τῆς σαρκὸς τοὺς ἑαυτὸν δεξαμένους ἀπέλυσε. Ἐνηπίασε σαρκὶ Θ(εὸ)ς καὶ τῆς νηπιώδους μωρίας τὰ ἔθνη ἐρρύσατο ὡς καὶ Παῦλον τὸν αὐτοῦ ἀπόστολον ἐκοινώνησεν αἵματος καὶ σαρκὸς[3] καὶ κοινωνοὺς θείας φύσεως[4] τοὺς βροτοὺς γενέσθαι παρεσκεύασεν. Ἐγεννήθη ἐκ γυναικὸς ἁγίας καὶ ἀμολύντου καὶ τὸν ἁγιασμὸν τοῖς μιανθεῖσιν ἐχαρίσατο. Ἐχωρήθη ἐν σπηλαίῳ καὶ τοῦ σπηλαίου τῶν

**1.** Λουκ. 1,35. **2.** Α΄ Κορ. 1,24. **3.** Πρβλ. Ἑβρ. 2,14. **4.** Πρβλ. Β΄ Πέτρ. 1,4.



παθῶν ἀπεκάθηρεν. Ἀνεκλήθη ἐν φάτνῃ καὶ τοὺς πρὶν πεπτωκότας ἀνέστησεν. Μάγους προσεκαλέσατο καὶ τῶν ἐθνῶν τὰς πατριὰς ἀρραβωνίζεται, δῶρα τούτων προσελάβετο καὶ τὰ τοῦ Πν(εύματο)ς χαρίσματα τοῖς αὐτῷ πεπιστευκόσι χαρίζεται. Ὢ καινῶν συναλλαγμάτων τῶν ἐν γῇ τελουμένων παρὰ Θ(εο)ῦ παντοκράτορος. Ὢ μυστήριον ἀποκρύφων πᾶσαν ὑπερβαῖνον τὴν δύναμιν καὶ λόγου καὶ φύσεως. Ὢ τεραστίου ὑπὲρ λόγον (λόγων cod). Ὢ ἀφάτου συγκαταβάσεως. Ὁ προὼν γίνεται, ὁ ἄναρχος ἄρχεται, ὁ ἀσώματος σάρκα λαμβάνει, ὁ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καθήμενος Θ(εό)ς, κάτω νηπιωδῶς ἐν ἀγκάλαις βαστάζεται τῆς μ(ητ)ρ(ό)ς. Ὁ πλαστουργῶν ἅμα καὶ φυλάσσων τὰ νήπια Κ(ύριο)ς καὶ πλαστουργεῖται ἐν μήτρᾳ καὶ βρεφουργικῶς ἀποτίκτεται καὶ καθ᾽ ἡμᾶς ὁρᾶται βροτὸς καὶ ὑπὲρ ἡμᾶς νοεῖται Θ(εὸ)ς καὶ λαμβάνει σάρκα καὶ τοῖς τῆς σαρκὸς παραπτώμασιν ἀκοινώνητος μένει ὁ αὐτὸς καὶ πρὸ σαρκὸς ἀναμάρτητος καὶ μετὰ σαρκὸς ἁγιώτατος. Καὶ μείγνυται τὰ ἄμεικτα καὶ συντηρεῖ τὰ ἀμφότερα, τὴν μὲν Παρθένον κόρην τόκον, τῷ δὲ τόκῳ τὴν παρθενίαν καὶ τὰ ἀμφότερα τῆς ἰδίας οὐκ ἐξίσταται ἰδιότητος, ἀλλὰ μενούσης τῆς παρθενίας ὡς πρότερον γίνεται τόκος ὑπὲρ νοῦν τε καὶ ἔννοιαν. Καὶ ὥσπερ ἡ σύλληψις ἄσπορος οὕτω καὶ ἡ γέννησις ἄφθορος ὑπὲρ νοῦν καὶ λόγον καὶ ἔννοιαν ἑκάτερα. Καὶ μεσιτεύει Παρθένος καὶ τὴν σάρκα δανείζει ὡς ὕλην τῷ πλάσαντι καὶ τὸν τρόπον ἀγνοεῖ τῆς κυήσεως ὥσπερ καὶ τῆς συλλήψεως πρότερον καὶ ὑποκύπτει τῷ κελεύσματι καὶ συγκατατίθεται τῷ προστάγματι[1]· πιστὴ γὰρ ἀπ᾽ ἀρχῆς οὖσα καὶ Θ(ε)ῷ ἀφιερωμένη νηπιόθεν οὐκ ἀμφιβάλλει τῷ διηγήματι, ἀλλὰ κλίνει κεφαλὴν ἅμα καὶ γόνατα καὶ συγκατατίθεται τῷ προστάγματι καὶ γίνεται ὑπουργὸς τοῦ μυστηρίου πιστότατος, διὸ καὶ τοῦ μακαρισμοῦ ἀξιοῦται ὡς βεβαίως πιστεύσασα. Καὶ συντηρεῖ τὰ γινόμενα τῇ καρδίᾳ συμβάλλουσα ἑαυτῆς[2] καὶ τὸν γεννηθέντα δοξάζουσα. Καὶ εὐδοκεῖ ὁ Π(ατ)ὴρ ἄνωθεν ὡς αἰτία πρωταίτιος τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πν(εύματο)ς καὶ ἐπισκιάζει ὁ Υἱός, ἡ τοῦ Π(ατ)ρὸς ὁμοούσιος δύναμις καὶ κατοικήσει τὸ Πν(εῦμ)α τὸ Ἅγιον καὶ παντουργὸν καὶ δη-

**1.** Πρβλ. Λουκ. 1,38. **2.** Πρβλ. Λουκ. 2,19,51.

μιουργεῖ τὴν θεάν(θρωπ)ον σάρκωσιν καὶ θαυμάζουσιν ἄγγελοι καὶ τὸ θαῦμα κηρύττουσι. Καὶ προτρέχει ἀστὴρ καὶ προσκαλεῖται τοὺς μάγους εἰς τὴν τοῦ τεχθέντος προσκύνησιν καὶ δορυφορεῖ ἡ κτίσις οὐρανία τε, φημί, καὶ ἐπιγεία, ἅμα μὲν εὐχαριστοῦσα (εὐχαριστοῦσι cod.) ἅμα δὲ καὶ τὸν κτίστην γνωρίζουσα. Καὶ οἱ μὲν ἄγγελοι, ὡς προέφημεν, τὸν ὕμνον ἐξᾴδουσιν, οἱ δὲ οὐρανοὶ λαμπροφόρον καὶ ἀσυνήθη ἀστέρα[1], μᾶλλον δὲ δύναμιν ἀγγελικὴν καὶ αὐτὸν ὄντα[2], προπέμπουσιν, οἱ δὲ μάγοι προσφέρουσι δῶρα θεοπρεπῆ καὶ σεβάσμια χρυσόν, φημί, καὶ λίβανον καὶ σμύρναν[3] καὶ τὸν τεχθέντα τεκμαίροντα ὡς βασιλεῖ καὶ Θ(ε)ῷ δι' ἡμᾶς χρηματίσαντα, ποιμένες[4] δὲ τῷ θαύματι αὐτοῦ ἀνακηρύττουσιν. Ἡ γῆ χορηγεῖ τὸ σπήλαιον, ἡ ἔρημος φάτνην χαρίζεται, οἱ δὲ ἀπειθεῖς Ἰουδαῖοι σὺν Ἡρώδῃ τότε βασιλεῖ τῆς Ἰουδαίας ταράττονται[5] καὶ τὸν ἑαυτῶν ἀληθῆ βασιλέα καὶ ποιμένα διώκουσιν καὶ παιδοφονοῦσι καὶ τοὺς μηδὲν πταίσαντας θανάτου ψήφῳ καταδικάζουσιν οἱ ποτὲ προφητοκτόνοι καὶ τὰ νῦν παιδοκτόνοι[6], μετὰ μικρὸν ὕστερον καὶ θεοκτόνοι φθόνῳ καὶ ἀπειθείᾳ γενόμενοι. Ἀλλ' ἡμεῖς, ἀγαπητοί, μετὰ τῶν προσδεξαμένων τ(ὸν) Κ(ύριο)ν συναχθῶμεν καὶ τὰ εἰκότα τῆς ἑορτῆς μελῳδήσωμεν παρ' ἀγγέλων τὴν ᾠδὴν διδασκόμενοι «δόξα ἐν ὑψίστοις Θ(ε)ῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀν(θρώπ)οις εὐδοκία»[7]. Ὄντως γὰρ ἦλθεν ἡ εἰρήνη ἡμῶν Ἰ(ησοῦ)ς Χ(ριστό)ς, ὡς καὶ Δα(βὶ)δ προανέκραγε λέγ(ων)· «ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη καὶ κατακυριεύσει ἡμῶν τῶν ἐθνῶν ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν καὶ περάτων τῆς οἰκουμένης[8]» εἰς πέρατα. Αὐτὸς γάρ ἐστιν ἡ προσδοκία ἡμῶν τῶν ἐθνῶν[9] καὶ τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. Οὗτός ἐστιν ὁ ἄρχων ἡμῶν, «ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν»[10], ὡς Ἡσαΐας εὐαγγελίζεται, «οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ»[11] ὁ στ(αυ)ρ(ὸ)ς ὁ τρισόλβιος καὶ ἡ ἀνάπαυσις αὐτοῦ τιμὴ καὶ δόξα καὶ μεγαλοπρέ-

**1.** Πρβλ. Λουκ. 2,13,14. **2.** Πρβλ. Ματθ. 2,2,10. **3.** Πρβλ. Ματθ. 2,11. **4.** Πρβλ. Λουκ. 2,8-11. **5.** Πρβλ. Ματθ. 2,3-5. **6.** Πρβλ. Ματθ. 2,16-17. **7.** Πρβλ. Λουκ. 2,14. **8.** Ψαλ. 71,7-8. **9.** Πρβλ. Γεν. 49,10. **10.** Ἡσ. 11,10. **11.** Ἡσ. 9,5.



πεια. Οὗτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης Χ(ριστὸ)ς καὶ τοῦ Ἰσραὴλ καὶ τῆς κτίσεως, ὁ Υἱὸς ὁ δοθεὶς ἡμῖν ἐκ Πα(τ)ρ(ὸ)ς καὶ νήπιος γεννηθεὶς ἐκ μ(ητ)ρ(ό)ς. Ἄγγελος μεγάλης βουλῆς θαυμαστὸς σύμβουλος, Θ(εὸ)ς ἰσχυρὸς ἐξουσιαστής, ἄρχων εἰρήνης[1] καὶ αὐτοειρήνη καὶ τοῦ μέλλοντος αἰῶνος ὁ Πα(τ)ήρ. Τούτου ἡ βασιλεία, βασιλεία αἰώνιος, μήτε τέλος μήτε διαδοχὴν ἔχουσα. Οὗτος ὁ Υἱὸς ὁμοῦ καὶ Λόγος ὁ Π(ατ)ρὶ συναΐδιος καὶ Πν(εύματ)ι. Οὗτός ἐστιν ὁ λίθος, ὁ ἐκ παρθενικῆς νηδύος ἄνευ σπορᾶς γεννηθεὶς ὡς ὁ τμηθεὶς ἐξ ὄρους[2] χειρὸς ἀνδρὸς ἄνωθεν ὃν οἰκοδομοῦντες ἀπεδοκίμασαν, αὐτὸς δὲ εἰς κεφαλὴν γωνίας ἐγένετο[3]. Τῶν δύο Διαθηκῶν, Παλαιᾶς τε καὶ Νέας, ὁ σύνδεσμος, ὁ ἀκρογωνιαῖος λίθος, οὗτός ἐστιν ὁ θεμέλιος τῆς νέας Σιών, Ἐκκλησίας τῆς ἐξ ἐθνῶν, ὁ ἀκράδαντος, ὁ ἐκλεκτὸς καὶ ὑπέρτιμος, αὐτὸς οὐκ ἄλλος, αὐτὸς καὶ οὐχ ἕτερος, μόνος αὐτὸς καὶ λίθος καὶ κρηπὶς καὶ θεμέλιος. Ὁ νηπιάσας σήμερον σαρκὶ καὶ τελείους φρονήσει θείᾳ τοὺς αὐτῷ πιστεύοντας τελειῶν ἀρρήτῳ σοφίᾳ καὶ τῇ τοῦ Πν(εύματο)ς τοῦ ἁγίου αὐτοῦ πλουσιοδώρῳ χάριτι, Ἰ(ησοῦ)ς Χ(ριστὸ)ς ὁ Υἱὸς τοῦ Θ(εο)ῦ τοῦ ζῶντος, «ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι»[4], ὁ μὴ κρίνων τὸν κόσμον ἀλλὰ σῴζων τὸν κόσμον, αὐτὸς οὗτός ἐστιν, ᾧ μέλλουσι παρίστασθαι τὰ σύμπαντα καιρῷ τῆς δευτέρας αὐτοῦ παρουσίας ἐπὶ γῆς, οὐράνιά τε ἐπίγεια καὶ καταχθόνια καὶ «πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κ(ύριο)ς Ἰ(ησοῦ)ς Χ(ριστὸ)ς εἰς δόξαν Θ(εο)ῦ Π(ατ)ρ(ό)ς»[5]. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

**1.** Πρβλ. Ἡσ. 9,5. **2.** Πρβλ. Δαν. 2,34. **3.** Πρβλ. Ματθ. 21,42. Ψαλ. 118,22 **4.** Α' Τιμ. 1,15. **5.** Φιλιπ. 2,11.

# ΠΕΡΙ ΤΩΝ ΑΡΙΘΜΩΝ ΜΥΣΤΗΡΙΩΝ*

## ΠΕΡΙ ΠΙΣΤΕΩΣ

**[508]** Α΄. Πίστις ἐστι[1]. Πίστις δὲ ἡ εἰς Θεὸν πρᾶγμα ἀψηλάφητον, ἀθεώρητον, ἀπολυπραγμόνητον, ἀκαστορητής, σιωπῇ τιμώμενον, καὶ νῷ προσκυνούμενον, ἕδρα ψυχῆς, θεμέλιον ζωῆς, ῥίζα ζῶσα, κλάδος ἀμάραντος, καρπὸς ἀθανασίας, ἐλπιζομένων πραγμάτων ὑπόστασις, ἔλεγχος οὐ βλεπομένων[2], πάντων τῶν ἁγίων δικαίωσις.

## ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΤΡΙΑΔΟΣ

**[509]** Β΄. Τριὰς ἁπλῆ, ἀσύνθετος, ἀσυνείκαστος, ἀνέκφραστος, ἀδιήγητος, ἀδιόριστος. Πατήρ, Υἱός, Ἅγιον Πνεῦμα· ὁμοούσιος κατὰ πάντα, κατὰ συμφωνίαν, κατὰ δύναμιν, κατ' ἐνέργειαν, κατὰ θεότητα, κατὰ μέγεθος, ἐν ὑποστάσει, καὶ ὀνόμασι μόνον διῃρημένη, ἐν δυνάμει, καὶ πράγμασιν ἡνωμένη. Τριὰς πρὸ αἰώνων ὑπάρχουσα, ἄναρχος, ἄχρονος, ἀγήρατος, ἀθάνατος, ἀτελεύτητος, οὐκ ἄρξουσα, οὐ λήγουσα, ἀεὶ κατὰ τὸ αὐτὸ ὡς αὔτως τυγχάνουσα, οὐ νῦν εὑρεθεῖσα, ἀεὶ δὲ προσκυνουμένη, ὑπὸ Ἀποστόλων κηρυττομένη, ὑπὸ Ἐκκλησίας πιστῆς μεγαλυνομένη· παντοδύναμος, παντεπίσκοπος, δημιουργός, φιλάνθρωπος, ἀγαθή, ἀπροσδεής, τελεία.

Ὅτι καὶ ὁ ἀριθμὸς τῆς Τριάδος αὐτῆς ὁ παρὰ ταῖς θείαις Γραφαῖς ἐμφερόμενος μυστηριώδης ἐστὶ καὶ θαῦμα.

Γ΄. Τρίτον τὰ Χερουβεὶμ τὸ Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος ἀνυμνεῖ[3]. Τρία τὰ μεγάλα στοιχεῖα· οὐρανὸς καὶ ἡ γῆ, καὶ θάλασσα. Τρία τὰ ἐν ἡμῖν· νοῦς, πνεῦμα, λόγος. Τρεῖς πατέρες,

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. - P. Migne, Patrologiae cursus completus, series Graeca τ. 43, 508-517.

**1.** Πρβλ. Ἑβρ. 11,1. **2.** Πρβλ. Ἑβρ. 11,2. **3.** Πρβλ. Ἠσ. 6,3.



Ἀδάμ, Σήθ, Ἐνώχ. Τρεῖς πατριάρχαι, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ. Τρεῖς ἄγγελοι παρὰ σκηνὴν Ἀβραάμ[1]. Τρεῖς ἡμέραι τῆς θυσίας τοῦ Ἀβραάμ[2]. Τρία μέτρα σεμιδάλεως[3] ἡ Σάῤῥα λαβοῦσα τοὺς ἀγγέλους παρέθηκε. Τρεῖς ῥάβδους Ἰακὼβ πελεκίσας ταῖς ληνοῖς τῶν ποτιστηρίων ἐνέθηκε[4]. Τρεῖς δεκάδες ἐνιαυτῶν, καὶ τότε βασιλεὺς Ἰωσήφ[5]. Τρεῖς μῆνας παρὰ τοῖς γονεῦσιν κρυπτόμενος Μωϋσῆς[6]. Τρίς τρεῖς ἐννέα τῶν Αἰγυπτίων αἱ μάστιγες[7]. Τρεῖς μῆνας ἐξ Αἰγύπτου[8], καὶ τότε νόμος ἐγράφη, καὶ πλάκες ἐξῆλεων. Τρία τἀγαθὰ τῆς ἐρήμου· ὕδωρ, ὀρτυγομήτρα, τὸ μάννα[9]. Τρεῖς, φησί, καιροὺς Μωϋσῆς, ὤφθη ἐνώπιον Κυρίου. Τρεῖς ἱερεῖς, Μωϋσῆς, Ἀαρών, Σαμουήλ. Τρεῖς στρατηγοὶ θαυμαστοί, Ἰησοῦς τοῦ Ναυῆ, Χάλεβ Ἰεφονή, καὶ Φινεές. Τρεῖς οἱ κατὰ Ἀμαλὴκ ἐπὶ τῆς πέτρας ἱστάμενοι· Μωϋσῆς, Ἰησοῦς, Ὥρ[10]. Τρεῖς κριταὶ δυνατοί, Γεδεών, Ἰεφθάε, Σαμψών. Τρεῖς πρεσβῦται τῶν υἱῶν Ἰσραήλ· Μωϋσῆς, Ἰώβ, Δανιήλ. Τρεῖς ἑβδομάδες ἡ νηστεία τοῦ Δανιήλ[11]. Τρεῖς οἱ παῖδες οἱ τῇ εἰκόνι τῇ χρυσῇ μὴ προσκυνήσαντες· Σιδράχ, Μισάχ, Ἀβδεναγώ[12].

«Διὰ τριῶν σείεται ἡ γῆ»[13], ὡς ἔλεγε Σολομών· «ἐὰν οἰκέτης», φησί, «βασιλεύσῃ, καὶ ἄφρων πλησθῇ σιτίων»[14], «καὶ μισητὴ γυνὴ ἐὰν τύχῃ ἀνδρὸς ἀγαθοῦ»[15]. Τρία ἐστίν, ἃ ἐμπίπλαται, ᾅδης, ἔρως γυναικός, γῆ ψαφαρά[16]. Τρία ἐστὶν ἀκατάληπτα· «ἴχνη ἀετοῦ πετομένου», ὁδὸς ὄφεως ἐπὶ πέτρας, τρίβος ποντοπορούσης νηός[17]. Τρία ἐστὶν ἅπερ εὐόδως πορεύονται· «σκύμνος λέοντος ἰσχυρότερος κτηνῶν»[18], «ἀλέκτωρ ἐμπεριπατῶν ἐν θη**[512]**λείαις ἔμψυχος, τράγος ἡγούμενος αἰπολίου»[19]. Τρεῖς σοφαὶ γυναῖκες, ἡ Θεκουῆτις[20], ἡ Σουναμῖτις[21], ἡ Ἀβιγαία[22]· ἡ μὲν γὰρ τὸν ἄνδρα τὸν Νάβαλ, ἡ δὲ Ἀβεσαλὼν διὰ τέχνης, ἡ δὲ τὸν υἱὸν τοῦ προφήτου προσδραμοῦσα, καὶ μὴ

---

**1.** Πρβλ. Γεν. 18,2. **2.** Πρβλ. Γεν. 22,1-19. **3.** Πρβλ. Γεν. 18,6. **4.** Πρβλ. Γεν. 30,38. **5.** Πρβλ. Γεν. 41,39-46. **6.** Πρβλ. Ἐξ. 1,2. **7.** Πρβλ. Ἐξ. 7,3. 11,1. **8.** Πρβλ. Ἐξ. 19,1. **9.** Πρβλ. Ἐξ. 16,12-16. **10.** Πρβλ. Ἐξ. 17,10. **11.** Πρβλ. Δαν. 2,18. **12.** Πρβλ. Δαν. 3,13. **13.** Παρμ. 30,21. **14.** Παρμ. 30,22. **15.** Παρμ. 30,23. **16.** Πρβλ. Παρμ. 30,16. **17.** Πρβλ. Παρμ. 30,18-19. **18.** Παρμ. 30,30. **19.** Παρμ. 30,31. **20.** Πρβλ. Β΄ Βασ. 14,4,9. **21.** Πρβλ. Γ΄ Βασ. 1,15. **22.** Πρβλ. Α΄ Βασ. 25,3.

ἀπογνοῦσα, διέσωσεν. Τρεῖς γυναῖκες προφήτιδες τυμπανίστριαι· Μαριάμ[1], Δεββόρα[2], Ἰουδίθ[3]. Τρεῖς ἅγιαι γυναῖκες· Σάῤῥα[4], Ῥεβέκκα[5], Λεία[6]. Τρεῖς οἱ μνημονευόμενοι βασιλεῖς· Δαβίδ[7], Ἐζεκίας[8], Ἰωσίας[9]. Τρεῖς τάξεις τῶν ὄντων· ἐπουρανίων, ἐπιγείων, καταχθονίων[10]. Τρεῖς ἀρεταί, πίστις, ἐλπίς, ἀγάπη[11]. Τρία δῶρα παρὰ Θεοῦ, βασιλεία, ἱερωσύνη[12], προφητεία[13]. Τρεῖς χρόνοι, ἐνεστώτων, παρεληλυθότων, μελλόντων. Τρία τῶν δικαίων τὰ κτήματα, παράδεισος, Ἀβραὰμ κόλπος[14], οὐρανῶν βασιλεία. Τρεῖς τῶν ἁμαρτωλῶν αἱ τιμωρίαι, σκότος[15], σκώληξ[16], Γέεννα[17]. Τρεῖς ἀνανεώσεις τοῦ κόσμου· ἡ ἐπὶ τοῦ Νῶε, ἡ ἐπὶ τοῦ Κυρίου, ἡ ἐπὶ τῆς συντελείας. Τρίτον Ἠλίας τὰ μέλη τοῦ βοὸς καὶ τὰ ξύλα καταῤῥάνας τὸ ἐξ οὐρανῶν κατὰ στύγας πῦρ[18]. Τρίτον τῆς ἡμέρας ηὔχετο Δανιήλ[19]. Τρεῖς μῆνας εἰς τὸν οἶκον Ζαχαρίου πεποίηκεν ἡ Παρθένος[20]. Τρία τὰ προσενεχθέντα δῶρα τῷ Κυρίῳ παρὰ τῶν μάγων· χρυσός, λίβανος, σμύρνα[21]. Τρία βαπτίσματα, τὸ νομικόν, τὸ Ἰωάννου, τὸ τοῦ Κυρίου. Τρεῖς αἱ τοῦ βαπτίσματος ἐπικλήσεις, εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα[22]. Τρεῖς αἱ καταδύσεις, καὶ τρεῖς αἱ ἀναδύσεις τοῦ βαπτίσματος. Τρεῖς αἱ κατὰ τοῦ διαβόλου νῖκαι τοῦ Κυρίου· τὸ μὴ φαγεῖν μετὰ τὸ πεινάσαι[23], τὸ μὴ προσκυνῆσαι τὸν μιαρόν[24], τὸ μὴ καταβάλλειν ἑαυτόν[25]. Τρεῖς ἡμέραι μετὰ τὸ βάπτισμα, καὶ τότε τὸ ὕδωρ οἶνος ἐξαίρετος.

Τρεῖς αἱ κατὰ τῆς Παρθένου τοῦ Μονογενοῦς ἐπιτιμήσεις· «Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδεις ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ με εἶναι»[26]. «Τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου»[27]· «τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου»[28]; Τρεῖς οἱ πλέον τῶν ἄλλων θαῤῥούμενοι μαθηταί· Πέτρος, Ἰάκωβος,

**1.** Πρβλ. Ἐξ. 15,20. **2.** Πρβλ. Κριτ. 4,1 ἑξ. **3.** Πρβλ. Ἰουδὶθ 16,1. **4.** Πρβλ. Ἑβρ. 11,11-13. **5.** Πρβλ. Γεν. 22,23 ἑξ. **6.** Πρβλ. Γεν. 29,16 ἑξ. **7.** Πρβλ. Α' Βασ. 16,13. **8.** Πρβλ. Δ' Βασ. 18,1 ἑξ. **9.** Πρβλ. Δ' Βασ. 21,22. **10.** Πρβλ. Φιλιπ. 2,10. **11.** Πρβλ. Α' Κορ. 13,13. **12.** Πρβλ. Ἀποκ. 1,6. Α' Πέτρ. 2,9. **13.** Πρβλ. Ρωμ. 12,6. **14.** Πρβλ. Λουκ. 16,22. **15.** Πρβλ. Ματθ. 8,12. **16.** Πρβλ. Μάρκ. 9,48. **17.** Πρβλ. Ματθ. 5,22. Μάρκ. 9,43. **18.** Πρβλ. Γ' Βασ. 18,34-38. **19.** Πρβλ. Δαν. 6,6. **20.** Πρβλ. Λουκ. 1,56. **21.** Πρβλ. Ματθ. 2,12. **22.** Πρβλ. Ματθ. 28,19. **23.** Πρβλ. Λουκ. 4,5. **24.** Πρβλ. Λουκ. 4,9. **25.** Πρβλ. Λουκ. 4,12. **26.** Λουκ. 2,49. **27.** Ἰω. 11.4. **28.** Ματθ. 12,48.



Ἰωάννης. Τρία ἔτη τῶν δεσποτικῶν σημείων ὁ χρόνος. Τρία ἔτη ζητῶν καρπὸν εἰς τὴν συκῆν ὁ Κύριος ἦλθε, καὶ οὐχ ηὗρεν[1]. Τρισὶν ὁ Κύριος κατηράσατο· τῇ συκῇ· «Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα»[2]· τῇ Συναγωγῇ· Λίθος ἐπὶ λίθον οὐ μὴ μένει[3]· τῷ Ἰούδα· Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι[4]. Τρεῖς ἡμέρας, καὶ τρεῖς νύκτας Ἰωνᾶς εἰς τὴν κοιλίαν τοῦ κήτους πεποίηκε[5]. Τριήμερον ἡ κατὰ Νινευϊτῶν ἀποφορά[6]. Τριήμερος τοῦ Σωτῆρος ὁ θάνατος, τριήμερος καὶ ἡ ἀπὸ τῶν νεκρῶν κατ' ἐξουσίαν ἀνάστασις τοῦ Κυρίου[7]. Διὰ τριῶν ὁ Παῦλος ἡμερῶν ἀνέβλεψε πηρωθείς[8]· τρὶς τὸν Κύριον περὶ τοῦ σκόλοπος παρεκέλευσεν, ἵνα ἀποστῇ ἀπ' αὐτοῦ[9]· τρὶς ἐναυάγησεν[10]· εἰς τρίτον οὐρανὸν ἀναβέβηκε[11]. Τρία σάτα ἀλεύρου καὶ ἡ τῇ βασιλείᾳ τῶν οὐρανῶν ὁμοιωθεῖσα γυνὴ λαβοῦσα, καὶ εἰς μικρὰν ζύμην ἐγκρύψασα[12], **[513]** ὅλον τὸ φύραμα, κατὰ τὸ γεγραμμένον, ἐζύμωσεν.

Ὅτι καὶ ὁ ἀριθμὸς ὡς διπλῆ τριὰς ἐπὶ μεγάλων πραγμάτων, ἐν τῇ θείᾳ Γραφῇ παρατετήρηται.

Δ'. Ἐν ἓξ ἡμέραις ὁ Θεὸς τὸν κόσμον κατεσκεύασεν[13]. Ἕκτην ἡμέραν ἔπλασε τὸν Ἀδάμ[14]. Ἕκτην ὥραν γυμνωθέντα παρὰ τῆς ἁμαρτίας δήλης ἐζήτησεν[15]. Ἕκτον ὤφθη τῷ Ἀβραάμ[16]· ἅπαξ εἰς Χαῤῥάν[17]... τρίτον καθ' ὕπνους[18]· τέταρτον ἐπὶ τῆς προσθήκης τοῦ γράμματος τοῦ ὀνόματος[19]· πέμπτον ἐπὶ τῆς Μαμβρῆ μεσημβρίας[20], ἕκτην ὥραν· ἕκτον ἐπὶ τῆς θυσίας τοῦ μονογενοῦς ἐν τῷ ὄρει[21]. Ἓξ ἔτη δουλεύειν Ἑβραίοις παρήγγειλεν[22]. Ἕκτῳ μηνὶ τὸν Γαβριὴλ πρὸς τὴν Παρθένον ἀπέστειλεν[23]. Εἰς ἓξ ὑδρίας τὸ ὕδωρ οἶνον πεποίηκε[24]. Ἕκτην ὥραν

**1.** Πρβλ. Ματθ. 21,18-19. **2.** Ματθ. 21,19. **3.** Πρβλ. Ματθ. 24,2. Λουκ. 19,44. **4.** Πρβλ. Ματθ. 26,24. Μάρκ. 14,21. Λουκ. 26,24. **5.** Πρβλ. Ἰων. 2,1. Ματθ. 12,40. **6.** Πρβλ. Ἰων. 3,5. **7.** Πρβλ. Ἰω. 2,19-21. **8.** Πρβλ. Πράξ. 9,9,18. **9.** Πρβλ. Β' Κορ. 12,7-8. **10.** Πρβλ. Β' Κορ. 11,25. **11.** Πρβλ. Β' Κορ. 12,3. **12.** Πρβλ. Ματθ. 13,33. **13.** Πρβλ. Γεν. 2,2. Ἑβρ. 3,4. **14.** Πρβλ. Γεν. 1,31. **15.** Πρβλ. Γεν. 3,7-9. **16.** Πρβλ. Γεν. 17,1. **17.** Πρβλ. Γεν. 12,1. **18.** Πρβλ. Γεν. 15,1. **19.** Πρβλ. Γεν. 17,5. **20.** Πρβλ. Γεν. 18,1. **21.** Πρβλ. Γεν. 22,14. **22.** Πρβλ. Ἐξ. 21,2. Δευτ. 15,12. **23.** Πρβλ. Λουκ. 1,26. **24.** Πρβλ. Ἰω. 2,6.

τῇ Σαμαρείτιδι παρὰ τὸ φρέαρ ὡμίλησε[1]. Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα τὸν Λάζαρον ἤγειρεν[2]. Ἕκτην ὥραν τῷ λῃστῇ σταυρούμενος ἐφιλιώθη[3]. Ἕκτον ὤφθη μετὰ τὸ ἀπὸ νεκρῶν ἐγερθῆναι· ταῖς γυναιξίν[4], τῷ Κλεώπᾳ[5], τοῖς μαθηταῖς χωρὶς τοῦ Θωμᾶ[6], τοῖς μαθηταῖς μετὰ τοῦ Θωμᾶ[7], Πέτρῳ καὶ Ἰωάννῃ τὸ δίκτυον ἑλοῦσιν[8], τῇ τελευταίᾳ τῆς ἀναλήψεως[9]. Ἕκτον, ὡς λέγει Παῦλος, ἐφάνη τοῖς ἀδελφοῖς· τῷ Κηφᾷ[10], τοῖς δέκα[11], τοῖς πεντακοσίοις[12], ἐφ' ἅπαξ Ἰακώβῳ, τοῖς ἀποστόλοις πᾶσιν, αὐτῷ τῷ Παύλῳ τελευταῖον[13]. Ἓξ (ἐνὶ αὐτῶν) μεγάλα μυστήρια ἐποίησεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὡς λέγει Παῦλος· «Ἐπληρώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ»[14]. Δι' ἓξ γραμμάτων τὰ μεγάλα ὀνόματα γράφεται· ἀδωναΐ, σαβαώθ, Ἰησοῦς, Κύριος, ἰατρός, ἀγαθός, νεφέλη, Μαριάμ.

### Ὅτι καὶ ὁ ἑπτὰ τέλειος ἀριθμός.

Ε'. Ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὁ Θεός[15]. Ἑπτὰ ἐκδικούμενα παρέλυσε τὸν Κάϊν ἀνελών[16]. Ἑπτὰ γὰρ ἁμαρτίας ὁ μιαρὸς ἐργασάμενος, φθόνον, δόλον, φόνον ἀδελφοῦ, φόνων διδάσκαλος πρῶτος, μῦσος (τοῦ) οὕτω βίῳ γενόμενος, γονεῖς λυπήσας, ἐψεύσατο Θεόν[17]. Ἑπτὰ καὶ τιμωρίαις ὑπέπεσε· ᾤκει κατηραμένην τὴν γῆν, εἰργάζετο, ἀφορῶν ἔστενεν, ἔτρεμεν, ἀπ' ὄψεως ἦν, ἠγωνία τὸν παριόντα, σημεῖον εἶχε δημοσιεῦον αὐτόν[18]. Ἕβδομος Ἐνώχ, μετὰ τὸν Ἀδάμ, ὃς εὐηρέστησε τῷ Θεῷ, καὶ ὡς σῖτος ζιζανίων, τῶν ἀσεβῶν ἐχωρίσθη[19]. Ἑπτὰ τὸ πρῶτον, καὶ ἑπτὰ τὸ δεύτερον ἔτη περὶ Ῥαχὴλ Ἰακὼβ τῷ Λάβαν ἐδούλευσεν[20]. Ἑπτὰ προβάτων ἀμνοὺς Ἀβραὰμ τῷ Ἀβιμέλεχ ἐχαρίσατο τῆς τοῦ φρέατος δεσποτείας μαρτύριον[21]. Ἑπτὰ βόες λεπταὶ λιμοῦ καὶ ἑπτὰ στά-

**1.** Πρβλ. Ἰω. 4,6. **2.** Πρβλ. Ἰω. 12,1. **3.** Πρβλ. Λουκ. 23.42-44. **4.** Πρβλ. Ματθ. 28,9. **5.** Πρβλ. Λουκ. 24,18. **6.** Πρβλ. Ἰω. 20,24. **7.** Πρβλ. Ἰω. 20,26. **8.** Πρβλ. Ἰω. 21,1-3. **9.** Πρβλ. Πράξ. 1,9. **10.** Πρβλ. Α' Κορ. 15,5. **11.** Πρβλ. Ἰω. 20,24. **12.** Πρβλ. Α' Κορ. 15,5. **13.** Πρβλ. Α' Κορ. 15,7-8. **14.** Α' Τιμ. 3,16. **15.** Πρβλ. Γεν. 2,2. Ἑβρ. 4,4. **16.** Πρβλ. Γεν. 4,15. **17.** Πρβλ. Γεν. 4,9. **18.** Πρβλ. Γεν. 4,11-16. **19.** Πρβλ. Γεν. 5,21-24. **20.** Πρβλ. Γεν. 29,28-30. **21.** Πρβλ. Γεν. 21,27-31.



χυες πίνακες εὐθηνίαν διέγραψαν, τοῦ Φαραὼ τὸ ἐνύπνιον[1]. Ἑπτὰ σάλπιγγας ἱερὰς ἐβάστασεν Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὁπηνίκα τῆς Ἱεριχῶ τὰ τείχη κατήνεγκεν[2]. Ἑβδόμῳ ἔτει τῆς δουλείας Ἑβραίους ἀπο[516]λύουσιν Ἰουδαῖοι. Ἀπὸ πεντεκαιδεκάτης ἕως πρώτης εἰκάδος, ἐν αἷς ἐπετελεῖτο τὸ Πάσχα τῶν Ἰουδαίων, ἑπτὰ τῆς ἑορτῆς ἡμέραι[3]. Ἑπτὰ δοῦλα τοῖς Ἰουδαίοις ἔθνη κατέγραψεν ὁ Θεός, τῶν Χαναναίων, τῶν Χετταίων, καὶ Φερεσταίων, τῶν Γεργεσαίων, τῶν Εὐαίων, τῶν Ἰεβουσαίων, τῶν Ἀβραίων[4]. Ἑπτὰ τῆς σκηνῆς πεποίηκεν (ἓξ) ἡμέρας ἡ ἀδελφὴ Μωϋσέως ἀφορισθεῖσα[5]. Ἑπτὰ κλήμασιν ἐδέθη Σαμψὼν καὶ διέκοψεν αὐτὰ ὡς σπαρτίον[6]. Ἑπτὰ βοστρύχους ἱεροὺς εἶχε τριχῶν[7]· ὧν ἡ κουρὰ τὴν ἰσχὺν αὐτῶν καὶ δύναμιν ἐφυγάδευσεν[8]. Ἑπτὰ ὀφθαλμοί εἰσιν οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν[9]. Ἑπτὰ ἐπαρυστρίδας, καὶ ἑπτὰ λύχνους (ἦν) ἑώρακε Ζαχαρίας, ὅτι ἑπτὰ πνεύματα παρὰ Θεοῦ[10]. Ἑπτὰ τοῦ ἁγίου Πνεύματος τὰ χαρίσματα[11]· πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα γνώσεως, πνεῦμα εὐσεβείας, πνεῦμα φόβου Θεοῦ[12]. Ἑπτὰ στύλους ὑπεστήρισε τῆς οἰκείας σκηνῆς ἡ σοφία[13]. Ἑπτὰ γυναῖκες παρὰ τῷ Ἠσαΐᾳ τὸν ἕνα Κύριον δυσωπήσουσι λέγουσαι· «Τὸν ἄρτον ἡμῶν φαγώμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλλώμεθα. Πλὴν τὸ ὄνομά σου κεκλήσθω ἐφ' ἡμᾶς· ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν»[14].

Ἑπτὰ γὰρ βίβλοι νομικαὶ τῷ Χριστῷ μαρτυροῦσιν, ὅτι τὸν ὀνειδισμὸν αὐτῶν σαρκωθεὶς αὐτὸς παρεῖλεν· Γένεσις, Ἔξοδος, Λευϊτικόν, Ἀριθμοί, Δευτερονόμιον, Ἰησοῦς, Κριταί. Εἰ μὴ γὰρ ἐνηνθρώπησεν, ὡς μυθικαὶ παρεγράφοντο. Τυθεὶς ἀθύτως, ὡς Ἰσαάκ[15], καὶ παθὼν ἀπαθῶς, καὶ τὸν οἰκεῖον βαστάσας ἐπ' ὤμων σταυρόν[16], τὰ ἐν τῇ βίβλῳ κείμενα τῆς Γενέσεως ἐβεβαίωσεν. Ἐν παρθενικῇ χωρήσας γαστρί[17], καὶ μὴ καταναλώσας τῷ πυρὶ τῆς θεότητος τὴν βαστάζουσαν, τὴν καιομένην, καὶ μὴ

**1.** Πρβλ. Γεν. 41,1-7. **2.** Πρβλ. Ἰησ. Ν. 6,1-21. **3.** Πρβλ. Λευϊτ. 23,5. Ἀριθ. 9,3. **4.** Πρβλ. Γεν. 27,29. **5.** Πρβλ. Δευτ. 7,1. **6.** Πρβλ. Κριτ. 16,12. **7.** Πρβλ. Κριτ. 16,14. **8.** Πρβλ. Κριτ. 16,19. **9.** Πρβλ. Ἀποκ. 5,6. **10.** Πρβλ. Ζαχ. 4,2. **11.** Πρβλ. Γαλ. 5,22. **12.** Πρβλ. Ἡσ. 11,2. **13.** Πρβλ. Ἐξ. 26,15. **14.** Ἡσ. 4,1. **15.** Πρβλ. Γεν. 22,13. **16.** Πρβλ. Ἰω. 19,17. **17.** Πρβλ. Λουκ. 1,31.

κατακαιομένην βάτον, τὴν ἐν τῇ βίβλῳ τῆς Ἐξόδου κειμένην, διέγραψεν[1]. Ἀρχιερεύσας, ὡς Ἀαρών[2], τὰ πρὸς Θεὸν μεσιτεύσας ἡμῖν, τὰ ἐν τῷ Λευϊτικῷ γεγραμμένα παρέστησε. Τῇ Παλαιᾷ τὴν Καινὴν Διαθήκην συνάψας, καὶ λέγων· «Ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἐμβλέπων γυναικὶ πρὸς τὸ μοιχεῦσαι αὐτήν, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ»[3]· καὶ πάλιν· «Ἐῤῥέθη τοῖς ἀρχαίοις· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ τοῦ ὀδόντος· ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»[4]· τὰ ἐν τῷ Δευτερονομίῳ παρέδωκεν δευτέρας, καὶ ἐπαναλαβὼν τὰ ὠφέλιμα. Εἰς τὴν ἀληθινὴν κατάπαυσιν εἰσαγαγὼν τὸ γένος ἡμῶν[5], καὶ διαφόρους μονὰς ἐν τοῖς οὐρανοῖς εὐτρεπίσας ἡμῖν[6], τὰ ἐν βίβλῳ τῶν Ἀριθμῶν ἀπεκάλυψεν. Εἰς τὸν Ἰορδάνην εἰσελθών, καὶ ἁγιάσας τὰ ὕδατα[7], καὶ ἐπὶ τοῦ σταυροῦ φυγόντα τὸν ἥλιον ἀνακαλεσάμενος[8], καὶ διπλῆν ἀνθ' ἁπλῆς ἡμέρας ἐργασάμενος, τὰ ἐν τῇ βίβλῳ Ἰησοῦ τοῦ Ναυῆ τοῖς μὴ παρέργως ἀναγινώσκουσιν ἐζωγράφησε. Τὴν ἠγαπημένην ψυ**[517]**χὴν αὐτοῦ ὑπὲρ ἡμῶν τεθεικὼς καὶ δώσει ἑαυτὸν λύτρον ἀντὶ πολλῶν[9], τὰ ἐν τῇ βίβλῳ τῶν Κριτῶν ἡρμήνευσεν· ὁλοκαυτώματα γὰρ καὶ ὁ Ἰεφθάε ὑπὲρ τοῦ λαοῦ τῷ Θεῷ τὴν θυγατέρα προσήνεγκεν[10]. Ἑπτὰ παίδων πατὴρ Ἰεσσέ[11]. Ἕβδομος ἀπὸ Ἀβραὰμ ὁ Μωυσῆς. Δι' ἑπτὰ γραμμάτων τὸ Ἰωάννου ὄνομα. Δι' ἑπτὰ γραμμάτων καὶ ἡ τοῦ Χριστοῦ προσηγορία. Ἑπτὰ διάκονοι παρὰ τῶν μαθητῶν εἰς διακονίαν τῶν Χριστιανῶν ἐξελέχθησαν· Στέφανος, Φίλιππος, Πρόχορος, Νικάνωρ, Τίμων, Παρμενᾶς, Νικόλαος[12]. Ἑπτὰ παῖδες τὴν Ἀντιόχου τυραννίδα κατήνεγκαν. Καὶ συντόμως εἶπον, οὗτός ἐστιν ἐπαινετὸς ὁ ἀριθμός, καὶ θαυμάσιος· ὅτι αὐτὸς ἄνωθεν ὁ Δεσπότης ἐγγράφως βοᾷ· Τίμα τὴν ἡμέραν τοῦ Σαββάτου, καὶ ἁγίασον αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὁ Θεὸς ὧν ἤρξατο ἀποποιῆσαι[13]. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**1.** Πρβλ. Ἐξ. 3,4. **2.** Πρβλ. Ἐξ. 40,13. Ἰησ. Ν. 22,13. **3.** Ματθ. 5,27-28. **4.** Ματθ. 5,38-39. **5.** Πρβλ. Ἑβρ. 4,3-5. **6.** Πρβλ. Ἰω. 14,2. **7.** Πρβλ. Ματθ. 3,13-17. Μάρκ. 1,9. Λουκ. 3,21. **8.** Πρβλ. Λουκ. 23,44-45. Ἰησ. Ν. 10,12. **9.** Πρβλ. Ματθ. 20,28. **10.** Πρβλ. Κριτ. 11,34-40. **11.** Πρβλ. Α' Βασ. 6,10. **12.** Πρβλ. Πράξ. 6,5. **13.** Πρβλ. Ἐξ. 20,8-10. 31,17.

# ΠΕΡΙ ΤΩΝ ΠΡΟΦΗΤΩΝ, ΠΩΣ ΕΚΟΙΜΗΘΗΣΑΝ ΚΑΙ ΠΟΥ ΚΕΙΝΤΑΙ*

**[393] 4** α'. Ναθὰν ὁ προφήτης ἐγένετο ἐν ἡμέραις Δαβὶδ ἐκ φυλῆς Θώχ. Οὗτος δὲ ἦν ἐκ Γαβάθ, καὶ αὐτός ἐστιν ὁ διδάξας τὸν Δαβὶδ τὸν νόμον τοῦ Κυρίου[1]. Καὶ ἔγνω Ναθάν, ὅτι ὁ βασιλεὺς Δαβὶδ ἐν τῇ Βηρσαβεὲ παρέβη[2]. Καὶ σπεύδοντα ἐλθεῖν ἐκ Γαβὰθ εἰς Ἱερουσαλὴμ καὶ κωλῦσαι τὸν Δαβὶδ ἀπὸ τῆς ἀνομίας ταύτης ἐκώλυσεν αὐτὸν ὁ Βελίαρ ὅτι κατὰ τὴν ὁδὸν εὗρε νεκρὸν κείμενον γυμνόν· καὶ ἐπέμεινε τοῦ θάψαι αὐτὸν ἐκεῖ, ἵνα μὴ ὑπὸ θηρίων ἀναλωθῇ. Καὶ τῇ νυκτὶ ἐκείνῃ ἔγνω, ὅτι ἐποίησε Δαβὶδ τὴν ἁμαρτίαν, καὶ ἐπέστρεψε πενθῶν εἰς Γαβάθ. Καὶ ὡς ἀνεῖλε Δαβὶδ Οὐρίαν τὸν ἄνδρα τῆς Βηρσαβεέ[3], ἀπέστειλεν ὁ Θεὸς τὸν Ναθὰν καὶ ἤλεγξε τὸν Δαβὶδ περὶ τῆς ἁμαρτίας αὐτοῦ[4]. Καὶ ἐφοβήθη Δαβὶδ τὸν Κύριον, ὅτι ἠλέγχθη ὃ ἐποίησε[5]· καὶ ἔγνω Δαβίδ, ὅτι Πνεῦμα Θεοῦ Ἅγιον ἐπὶ Ναθὰν τὸν προφήτην ἐστί· καὶ ἐτίμησεν αὐτὸν ὡς ὅσιον Θεοῦ· καὶ αὐτὸς πάνυ γηράσας ἀπέθανε· καὶ ἐτάφη ἐν Γαβὰθ ἐν τῇ γῇ αὐτοῦ.

β'. Ἀχίας δὲ ὁ Σηλωνίτης[6]· οὗτος ἦν ἀπὸ Σηλὼμ ἐκ **5** φυλῆς Ἰούδα, ὅπου ἦν ἡ σκηνὴ τῆς κιβωτοῦ τὸ παλαιόν· ἐκ πόλεως Ἀρμαθαὶμ Ἠλεὶ τοῦ ἱερέως[7]. Οὗτος ὁ προφήτης εἶπε περὶ Σολομῶν τοῦ υἱοῦ Δαβίδ, ὅτι προσκρούσει τῷ Θεῷ· οὗτος ἤλεγξε καὶ τὸν Ἱεροβοάμ, ὅτι ἐὰν βασιλεύσῃ, δόλῳ πορεύσεται μετὰ Κυρίου· εἶδε γὰρ ὀπτασίαν ζεῦγος βοῶν καταπατοῦν τὸν λαὸν καὶ κατὰ τῶν ἱερέων ἐπιτρέχον· καὶ προσεῖπε τῷ Σολο-

* Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae fabulosae, indices apostolorum discipulorumque domini Dorotheo, Epiphanio, Hippolyto aliisque vindicatae (Bibliotheca Teubneriana), Leipzig 1907, σσ. 4-25. (J. - P. Migne, PG 43, 393-413).

**1.** Πρβλ. Β' Βασ. 7,3. Σ. Σειρ. 47,1. **2.** Πρβλ. Β' Βασ. 11,1 ἑξ. Β' Βασ. 12,1 ἑξ. **3.** Πρβλ. Β' Βασ. 11,17. **4.** Πρβλ. Β' Βασ. 12,1 ἑξ. **5.** Πρβλ. Β' Βασ. 12,13. **6.** Πρβλ. Γ' Βασ. 11,29. 12,15. **7.** Πρβλ. Α' Βασ. 1,3-4.

μῶν, ὅτι γυναῖκες αὐτὸν ἐκστήσουσιν ἀπὸ τοῦ Κυρίου. Καὶ τῷ Ἱεροβοὰμ εἶπεν, ὅτι διὰ τῶν δύο δαμάλεών σου προσκρούσεις τῷ Κυρίῳ, καὶ εἰς δουλείαν ἔσται τὸ γένος σου[1]. Ἀπέθανε δὲ Ἀχίας καὶ ἐτάφη σύνεγγυς τῆς δρυὸς τῆς οὔσης ἐν Σηλώμ.

**[396]** γ'. Ἰωὰμ ὁ προφήτης ἐγεννήθη ἐν Σαμαρείᾳ· οὗτός ἐστιν ὃν ἐπάταξεν ὁ λέων ἐν τῇ ὁδῷ καὶ ἀπέθανεν[2], ὅτι ἤλεγξε τὸν Ἱεροβοὰμ ἐπὶ ταῖς χρυσαῖς δαμάλεσιν αὐτοῦ, ἃς ἐποίησεν, ὅτε καὶ κατηράσατο τὴν θυσίαν Ἱεροβοάμ[3], καὶ ἐξέτεινε τὴν χεῖρα τοῦ κακῶσαι αὐτόν, καὶ ἐξηράνθη ἡ χεὶρ τοῦ Ἱεροβοάμ[4]. Καὶ μετὰ ταῦτα ἠπατήθη ὑπὸ τοῦ ψευδοπροφήτου **6** καὶ ἐβιάσατο αὐτὸν φαγεῖν ἄρτον καὶ πιεῖν ὕδωρ[5]. Καὶ ἐξελθόντα αὐτὸν ἐπάταξεν ὁ λέων, καὶ τὴν ὄνον αὐτοῦ οὐκ ἠδίκησε[6]. Καὶ ἐτάφη ἐν Βεθὴρ σύνεγγυς τοῦ ψευδοπροφήτου. Καὶ ὕστερον ἀποθνήσκων ὁ ψευδοπροφήτης, ὥρκισε τοῖς ἱερεῦσιν, ὅτι μετὰ τοῦ Ἰωὰμ τοῦ προφήτου με θάψετε· ὅτι ἠπάτησα αὐτόν[7]. Καὶ ἐν τῇ ἀναστάσει δίκας εἰσπραξόμεθα. Καὶ ἀμφότεροι κεῖνται ἐν ἑνὶ μνημείῳ.

δ'. Ἀζαρίας ὁ προφήτης[8]· οὗτος ἦν ἐκ τῆς Συμβαθᾶ. Οὗτός ἐστιν ὁ ἀποστρέψας τὴν αἰχμαλωσίαν Ἰούδα εἰς Ἰσραὴλ διὰ προσευχῶν[9]. Πολλὰ δὲ προφητεύσας περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ· ἐκοιμήθη ἐν τῇ πατρίδι αὐτοῦ.

ε'. Ἠλίας ὁ προφήτης. Οὗτος ἦν ἐκ Θεσβῶν [ἐκ γῆς Ἀράβων], ἐκ φυλῆς Ἀαρών, οἰκῶν ἐν Γαλαάδ[10]· ὅτι ἡ Θέσβις δῶμα ἦν τοῖς ἱερεῦσι δεδομένη· καὶ ὅτε ἔτεκεν ἡ μήτηρ αὐτοῦ, εἶδε Σωβὰκ ὁ πατὴρ αὐτοῦ ὀπτασίαν· ὅτι ἄνδρες λευκοφανεῖς αὐτῷ προσηγόρευον· καὶ ὅτε ἐν πυρὶ αὐτὸν ἐσπαργάνουν· καὶ φλόγα πυρὸς ἐδίδουν αὐτῷ φαγεῖν. Καὶ ἐλθὼν εἰς Ἱερουσαλὴμ ἀνήγγειλε τοῖς ἱερεῦσι. Καὶ εἶπεν αὐτῷ ὁ χρηματισμός· μὴ δειλιάσῃς· ἔσται γὰρ ἡ οἴκησις τοῦ παιδός σου φῶς καὶ ὁ λόγος αὐτοῦ ἀπόφασις καὶ κρινεῖ **7** τὸν Ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ ἐν πυρί[11]. Οὗτός ἐστιν Ἠλίας ὁ τὸ πῦρ τρίτον ἐξ οὐρανοῦ κατε-

**1.** Πρβλ. Γ' Βασ. 12,28. **2.** Πρβλ. Γ' Βασ. 13,24. **3.** Πρβλ. Γ' Βασ. 12,28. **4.** Πρβλ. Γ' Βασ. 13,4. **5.** Πρβλ. Γ' Βασ. 13,15-20. **6.** Πρβλ. Γ' Βασ. 13,24. 28. **7.** Πρβλ. Γ' Βασ. 13,31. **8.** Πρβλ. Β' Παρλ. 15,1. **9.** Πρβλ. Β' Παρλ. 28,8-15. **10.** Πρβλ. Γ' Βασ. 17,1. Δ' Βασ. 1,3, 8. **11.** Πρβλ. Ἡσ. 66,16.



νέγκας[1], καὶ τὸν ὑετὸν τῇ ἰδίᾳ γλώττῃ βαστάσας[2] καὶ νεκροὺς ἐγείρας[3] καὶ εἰς οὐρανὸν ἀναληφθεὶς ἐν λαίλαπι πυρός[4].

ς'. Ἐλισσαῖος ὁ προφήτης. Οὗτος ἦν ἐξ Ἀβελμοὺθ ἐκ τῆς γῆς Ῥουβίμ[5]. Καὶ ἐπὶ τούτῳ γέγονε τεράστιον. Ὅτι ἡνίκα ἐτέχθη ἐν Γαλγάλοις, ἡ δάμαλις ἡ χρυσὴ ἡ ἐν Σηλὼμ ὀξὺ ἐβόησεν, ὥστε ἀκουσθῆναι ἐν Ἱερουσαλήμ[6]. Καὶ εἶπεν ὁ ἱερεὺς διὰ τῶν δήλων, ὅτι προφήτης ἐτέχθη σήμερον, ὃς καθελεῖ τὰ γλυπτὰ καὶ συνθλάσει τὰ χωνευτά. Πολλὰ δὲ **[397]** τεράστια ἐποίησεν ὁ Θεὸς διὰ χειρὸς Ἐλισσαίου· καὶ θανὼν ἐτάφη ἐν Σαμαρείᾳ ἐν Σεβαστοπόλει. Οὗτος ἐπροφήτευσε περὶ τῆς τοῦ Κυρίου παρουσίας. Καὶ τὰ ὕδατα Ἰεριχὼ ἄτεκνα ὄντα ἤγουν ἁλμυρὰ ἰάσατο εἰπών· τάδε λέγει Κύριος. Ἴαμαι τὰ ὕδατα ταῦτα. Καὶ ἰάθησαν ἕως τῆς σήμερον ἡμέρας[7]. Καὶ νεκροὺς ἤγειρε[8] καὶ λεπρὸν ὄντα Νεεμὰν τὸν Σύρον ἐκαθάρισε τῆς λέπρας[9], καὶ τὸν Γιεζῆ τὸν ὑπηρέτην αὐτοῦ λεπρὸν ἐποίησε γενέσθαι[10]. Καὶ νεκρὸς ὢν νεκρὸν ἤγειρεν[11].

**8** ζ'. Ἠσαΐας ὁ προφήτης· ἐγεννήθη μὲν ἐν Ἱερουσαλὴμ ἐκ φυλῆς Ἰούδα· θνήσκει δὲ ὑπὸ Μανασσῆ[12] τοῦ βασιλέως Ἰούδα πρισθεὶς εἰς δύο[13] καὶ ἐτέθη ὑποκάτω δρυὸς Ῥωγὴλ[14] ἐχόμενα τῆς διαβάσεως τῶν ὑδάτων, ὧν ἀπώλεσεν Ἐζεκίας ὁ βασιλεὺς χώσας αὐτά[15]. Ὁ δὲ Θεὸς τὸν Σιλωὰμ διὰ τὸν προφήτην ἐποίησεν[16], ὅτι πρὸ τοῦ θανεῖν ὀλιγωρήσας προσηύξατο πιεῖν ὕδωρ· καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ ζῶν ὕδωρ. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα Σιλωάμ, «ὃ ἑρμηνεύεται ἀπεσταλμένος»[17]. Καὶ ἐπὶ Ἐζεκίου τοῦ βασιλέως πρὸ τοῦ ποιῆσαι αὐτὸν τοὺς λάκκους καὶ τὰς κολυμβήθρας[18] ἐπὶ εὐχῇ τοῦ προφήτου Ἠσαΐου μικρὸν ὕδωρ ἐξελήλυθεν, ὅτι ἦν ὁ λαὸς ἐν συγκλεισμῷ τῶν ἀλλοφύλων καὶ ἵνα μὴ διαφθαρῇ ἡ πόλις ὡς μὴ ἔχουσα

**1.** Πρβλ. Γ' Βασ. 18,38. Σ. Σειρ. 48,3. **2.** Πρβλ. Γ' Βασ. 17,1. **3.** Πρβλ. Γ' Βασ. 17,17-23. **4.** Πρβλ. Δ' Βασ. 2,11. Σ. Σειρ. 48,9. Α' Μακκ. 2,58. **5.** Πρβλ. Γ' Βασ. 19,16. 19. **6.** Πρβλ. Γ' Βασ. 12,29. **7.** Πρβλ. Δ' Βασ. 2,19-22. **8.** Πρβλ. Δ' Βασ. 4,32-37. **9.** Πρβλ. Δ' Βασ. 5,1. 14. **10.** Πρβλ. Δ' Βασ. 5,20. 27. **11.** Πρβλ. Δ' Βασ. 13,21. Σ. Σειρ. 48,13. 14. **12.** Πρβλ. Δ' Βασ. 21,1 ἑξ. Β' Παρλ. 33,1 ἑξ. **13.** Πρβλ. Ἑβρ. 11,37. **14.** Πρβλ. Β' Βασ. 17,17. **15.** Πρβλ. Β' Παρλ. 32,3.30. Σ. Σειρ. 48,17. **16.** Πρβλ. Ἡσ. 8,6. **17.** Ἰω. 9,7. **18.** Πρβλ. Ἡσ. 22,9-11.

ὕδωρ. Ἠρώτων γὰρ οἱ πολέμιοι πόθεν πίνουσιν· οὐ γὰρ ᾔδεισαν. Ἔχοντες γὰρ τὴν πόλιν παρεκαθέζοντο τῷ Σιλωάμ· ὁπότε οὖν οἱ Ἰουδαῖοι ἤρχοντο, ἀντλεῖν ἐξήρχετο αὐτοῖς ὕδωρ καὶ ὑδρεύοντο, οἱ δὲ ἀλλόφυλοι οὐχ εὕρισκον. Ἔφευγε γὰρ τὸ ὕδωρ. Διὸ καὶ ἕως τῆς σήμερον αἰφνιδίως ἐξέρχεται, ἵνα δειχθῇ τὸ μυστήριον. Καὶ ἐπειδὴ διὰ τοῦ Ἡσαΐου τοῦτο γέγονε, μνήμης χάριν καὶ ὁ **9** λαὸς πλησίον αὐτὸν ἐπιμελῶς ἔθαψαν ἐνδόξως, ἵνα διὰ τῶν εὐχῶν ἕως τέλους ἔχουσι τὴν ἀπόλαυσιν τοῦ ὕδατος. Καὶ χρησμὸς γὰρ ἐδόθη αὐτοῖς περὶ αὐτοῦ. Ἔστι δὲ ὁ τάφος Ἡσαΐου τοῦ προφήτου ἐχόμενα τοῦ τάφου τῶν βασιλέων ὀπίσω τοῦ τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς νότον. Σολομῶν γὰρ οἰκοδομῶν τὴν Ἱερουσαλὴμ ἐποίησε τοὺς τάφους τῶν βασιλέων τοῦ Δαβὶδ διαγράψαντος αὐτούς· ἔστι δὲ κατ' ἀνατολὰς τῆς Σιών, ἥ τις ἔχει εἴσοδον ἀπὸ Γαβαὼθ μήκοθεν τῆς πόλεως σταδίους κ'. Καὶ ἐποίησε σκολιὰν συνθετὴν ἀνυπονόητον· καὶ ἔστιν ἕως σήμερον τοῖς πολλοῖς ἀγνοουμένη.

**[400]** η'. Ἱερεμίας ὁ προφήτης ἦν ἐξ Ἀναθὼθ[1] καὶ ἐν Τάφναις Αἰγύπτου λιθοβοληθεὶς ὑπὸ τοῦ λαοῦ ἐτελεύτησε[2]. Κεῖται δὲ ἐν τόπῳ τῆς οἰκήσεως Φαραώ, ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν αὐτὸν εὐεργετηθέντες ὑπ' αὐτοῦ. Ἀσπίδες γὰρ καὶ τῶν ὑδάτων οἱ θῆρες, οὓς καλοῦσιν οἱ Αἰγύπτιοι Νεφώθ, Ἕλληνες δὲ κροκοδίλους, οἳ ἦσαν αὐτοὺς θανατοῦντες· καὶ εὐξαμένου τοῦ προφήτου Ἱερεμίου[3] ἐκωλύθη ἐκ τῆς γῆς ἐκείνης ὁ θυμὸς τῶν ἀσπίδων καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως **10** τὸ ἔνεδρον τῶν θηρίων. Καὶ ὅσοι εἰσὶ πιστοὶ ἕως σήμερον εὔχονται ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ λαμβάνοντες τοῦ χοὸς δῆγμα ἀσπίδων θεραπεύουσιν καὶ αὐτὰ δὲ τὰ θηρία τοῦ ὕδατος φυγαδεύουσιν. Οὗτος ὁ προφήτης σημεῖον ἔδωκε τοῖς Αἰγύπτου ἱερεῦσιν λέγων, ὅτι δεῖ σεισθῆναι πάντα τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν τὰ χειροποίητα πάντα[4]· ὅταν ἐπιβῇ ἐν Αἰγύπτῳ Παρθένος λοχεύουσα σὺν βρέφει θεοειδεῖ, ὅπερ καὶ ἐγένετο αὐτοῖς[5].

Οὗτος ὁ προφήτης πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασεν τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ πάντα καὶ ἐποίησεν

**1.** Πρβλ. Ἱερ. 1,1. **2.** Πρβλ. Ματθ. 23,37. Λουκ. 13,34. Ἑβρ. 11,37. **3.** Πρβλ. Β' Μακκ. 15,14. **4.** Πρβλ. Ἡσ. 19,1. **5.** Πρβλ. Ματθ. 2,13-15.



αὐτὰ καταποθῆναι ἐν πέτρᾳ καὶ εἶπε τοῖς ἱερεῦσι τοῦ λαοῦ καὶ τοῖς πρεσβυτέροις παρεστῶσιν· ἀπεδήμησε Κύριος ἐκ Σινᾶ εἰς τοὺς οὐρανοὺς καὶ πάλιν ἐλεύσεται ἐν δυνάμει ἁγίᾳ. Καὶ τοῦτο σημεῖον ἔσται τῆς αὐτοῦ παρουσίας, ὅτε ξύλον πάντα τὰ ἔθνη προσκυνήσουσιν. Εἶπε δὲ αὐτοῖς, ὅτι τὴν κιβωτὸν ταύτην οὐδεὶς ἀναπτύξει ἔτι ἱερέων ἢ προφητῶν, εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς τοῦ Θεοῦ[1], καὶ τὰς ἐν αὐτῇ **11** πλάκας οὐδεὶς ἀναπλώσει εἰ μὴ Ἀαρών. Καὶ ἐν τῇ ἀναστάσει πρῶτον ἡ κιβωτὸς ἀναστήσεται, καὶ ἐξελεύσεται ἐκ τῆς πέτρας, καὶ τεθήσεται ἐν τῷ ὄρει Σινᾶ, καὶ πάντες οἱ ἅγιοι πρὸς αὐτὴν συναχθήσονται, ἐκεῖ ἐκδεχόμενοι τὸν Κύριον, καὶ τὸν ἐχθρὸν φεύγοντες ἀνελεῖν αὐτὸν θέλοντα. Καὶ ἐσφράγισε τὴν πέτραν ἐν τῷ δακτύλῳ τὸ ὄνομα Κυρίου· καὶ γέγονεν ὁ τύπος ὡς γλυφὴ σιδήρου. Καὶ νεφέλη ἐσκέπασε τὴν πέτραν καὶ οὐδεὶς νοεῖ τὸν τόπον ἐκεῖνον[2], ἀλλ' οὔτε ἀναγνῶναι ⟨δύναται⟩ τὸ ὄνομα ἕως τῆς ἡμέρας ταύτης καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος τούτου. Καὶ ἔστιν ἡ πέτρα ἐν τῇ ἐρήμῳ, ὅπου ἡ κιβωτὸς πρῶτον γέγονε, μεταξὺ τῶν ὀρέων, ἐν οἷς κεῖνται Μωυσῆς καὶ Ἀαρών· ἐν δὲ ταῖς νυξὶ νεφέλη[3] ὡς πῦρ γίνεται ἐν τῷ τόπῳ ἐκείνῳ κατὰ τὸν τύπον τὸν ἀρχαῖον, ὅτι οὐ μὴ παύσεται ἡ δόξα τοῦ Θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ.

**[401]** θ'. Ἰεζεκιὴλ ὁ προφήτης[4]· οὗτος ἦν ἐκ γῆς Σαρηρᾶ ἐκ τῶν υἱῶν τῶν ἀρχιερέων, ἀπέθανε δὲ ἐν τῇ γῇ τῶν Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας· πολλὰ προφητεύσας περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ· καὶ περὶ τῆς ἐπανόδου τῶν υἱῶν Ἰσραὴλ καὶ περὶ τῆς τοῦ Κυρίου παρουσίας [ἐπροφήτευσεν][5]. Ἀπέκτεινεν δὲ αὐτὸν ὁ ἡγούμενος τοῦ λαοῦ ἐν τῇ παροικίᾳ αὐτοῦ ἐν Βαβυλῶνι, ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασι. **12** Καὶ ἔθαψαν αὐτὸν ἐν ἀγρῷ Μαοὺρ ἐν τῷ τάφῳ Σὴμ καὶ Ἀρφαξὰδ πατέρων Ἀβραάμ[6]· καὶ ἔστιν ὁ τάφος ἕως σήμερον σπήλαιον διπλοῦν· καὶ γὰρ Ἀβραὰμ ἐν Χεβρὼν πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησεν τὸν τάφον Σάρρας τῆς γυναικὸς αὐτοῦ[7]· διπλοῦν λέγεται, ὅτι ὀρυκτόν ἐστι καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου καὶ ὑπερῷόν ἐστιν ἐπὶ γῆς πέτρᾳ κρεμάμενον.

**1.** Πρβλ. Β' Μακκ. 2,4-8. **2.** Πρβλ. Β' Μακκ. 2,7. **3.** Πρβλ. Β' Μακκ. 2,8. **4.** Πρβλ. Ἰεζ. 1,3. **5.** Πρβλ. Ἰεζ. 25,28. **6.** Πρβλ. Γεν. 11,11. **7.** Πρβλ. Γεν. 23,2.9.19.

Οὗτος οὖν ὁ προφήτης τέρας ἔδωκε τῷ λαῷ ὥστε προσέχειν τῷ ποταμῷ Χοβάρ[1], ὅτι ὅταν ἐκλείπῃ τὸ ὕδωρ αὐτοῦ, ἐλπίζειν τὸ δρέπανον τῆς ἐρημώσεως εἰς πέρας τῆς γῆς[2]· καὶ ὅταν πλημμυρήσῃ αὐτοῦ τὸ ὕδωρ[3], τὴν Ἱερουσαλὴμ ἐπάνοδον αὐτῆς σημαίνει· ὃ καὶ γέγονεν. Καὶ γὰρ εἰς γῆν τῶν Ἀσσυρίων κεῖται ὁ ὅσιος, καὶ πολλοὶ πρὸς τὸν τάφον αὐτοῦ συνεστρέφοντο ἐπὶ προσευχὴν καὶ ἱκεσίαν. Καί ποτε πλήθους τῶν Ἰουδαίων συνελθόντος ἐκεῖ ἐπὶ τὴν μνήμην αὐτοῦ δεδιότες οἱ Χαλδαῖοι μὴ ἀντάρωσιν· ἔμελλον δὲ ἐπελθεῖν αὐτοῖς καὶ ἀναιρεῖν αὐτούς· ἐποίησε δὲ ὁ προφήτης στῆναι τὸ ὕδωρ τοῦ ποταμοῦ, ἵνα ἐκφύγωσιν υἱοὶ Ἰσραὴλ εἰς τὸ πέραν γενόμενοι. Οἱ δὲ τολμήσαντες τὸν λαὸν ἐπιδιῶξαι ὀπίσω αὐτῶν κατεποντίσθησαν.

Οὗτος ὁ προφήτης διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλὴν τροφὴν ἰχθύων παρέσχετο[4], ὅτι λιμῷ διεφθείροντο· καὶ ἐκ τοῦ πλήθους τῶν ἰχθύων διετράφησαν· καὶ πολλοῖς ἐκλείπουσιν ζωὴν ἐλθεῖν ἐκ Θεοῦ παρεκάλεσεν. Οὗτος ὁ **13** προφήτης ἀπολλυμένου τοῦ λαοῦ ὑπὸ τῶν ἐχθρῶν προέστη τοῖς ἡγουμένοις αὐτῶν καὶ παρηνόχλησεν αὐτοῖς. Διὰ τεραστίων καὶ φοβηθέντες ἐπαύσαντο οἱ πολέμιοι. Τότε ἔλεγε τῷ λαῷ ὁ Ἰεζεκιήλ, ὅτι «διαπεφωνήκαμεν· ἀπώλετο ἡ ἐλπὶς ἡμῶν»[5]. Καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν ἔπεισεν αὐτούς, ὅτι ἐστιν ἐλπὶς τῷ Ἰσραὴλ καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Οὗτος ἐκεῖ ὢν ἐν τῇ χώρᾳ τῶν Χαλδαίων ἐμήνυσε τῷ λαῷ πάντα τὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ ναῷ γινόμενα. Οὗτος ὁ προφήτης ἡρπάγη ἀπὸ τῆς χώρας τῶν Χαλδαίων καὶ ἠνέχθη εἰς Ἱερουσαλὴμ εἰς ἔλεγχον τῶν ἀπίστων[6]. Οὗτος ὁ Ἰεζεκιὴλ εἶδε κατὰ τὸν Μωυσῆν τὸν τόπον τοῦ ναοῦ Κυρίου τὸ τεῖχός τε πλατύ[7], καθὼς εἶπε καὶ ὁ Δανιήλ, ὅτι κτισθήσεται[8]. Οὗτος ἐν Βαβυλῶνι ἔκρινε τὴν φυλὴν Δὰν καὶ Γάδ, ὅτι ἠσέβουν πρὸς τὸν Κύριον[9], διώκοντες τοὺς εἰς τὸν νόμον πιστεύοντας καὶ ἐποίησεν αὐτοῖς τέρας μέγα, ὅτι οἱ ὄφεις ἀνήλισκον τὰ βρέφη αὐτῶν καὶ πάντα τὰ κτήνη αὐτῶν. Καὶ προέλεγεν, ὅτι δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς Ἱερουσα-

**1.** Πρβλ. Ἰεζ. 1,3. **2.** Πρβλ. Ἰεζ. 36,8. **3.** Πρβλ. Ἰεζ. 47,1. **4.** Πρβλ. Ἰεζ. 47,9. **5.** Ἰεζ. 37,11. **6.** Πρβλ. Ἰεζ. 8,3. **7.** Πρβλ. Ἐξ. 25,9,40. Πράξ. 7,44. **8.** Πρβλ. Δαν. 9,25. Ἰεζ. 40,1 ἑξ. **9.** Πρβλ. Γεν. 49,16-19.



λήμ, ἀλλ' ἐν ἰδίᾳ ἔσον**14**ται ἕως συντελείας πλάνης αὐτῶν· ἐξ αὐτῶν γὰρ ἦν καὶ ὁ ἀνελὼν **[404]** αὐτόν. Ἀντέκειτο γὰρ αὐτῷ ἕως ἡμέρας τελευτῆς αὐτοῦ.

ι'. Δανιὴλ ὁ προφήτης. Οὗτος μὲν ἦν ἐκ φυλῆς Ἰούδα γένους τῶν ἐξόχων τῆς βασιλικῆς ὑπηρεσίας[1]· ἀλλ' ἔτι νήπιος ὢν ἤχθη εἰς Βαβυλῶνα ἐκ τῆς Ἰουδαίας[2]. Ἐγεννήθη δὲ ἐν Βεθεβορῷ τῇ ἀνωτέρᾳ πλησίον Ἱερουσαλήμ· καὶ ἦν ἀνὴρ σώφρων, ὥστε δοκεῖν τοῖς Ἰουδαίοις εἶναι αὐτὸν σπάδοντα[3]. Πολλὰ ἐπένθησεν οὗτος τὴν Ἱερουσαλὴμ καὶ ἐν νηστείαις ἤσκησεν ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς καὶ ἦν ἀνὴρ ξηρότατος τῇ ἰδέᾳ· ἀλλ' ὡραῖος ἐν χάριτι Θεοῦ[4]. Πολλὰ δὲ ηὔξατο οὗτος περὶ τοῦ Ναβουχοδονόσορ, ὅτι ἐγένετο θηρίον καὶ κτῆνος, ἵνα μὴ ἀπόληται[5]. Ἦν γὰρ τὰ ἐμπρόσθια αὐτοῦ ὡς βοῦς σὺν τῇ κεφαλῇ καὶ οἱ πόδες αὐτοῦ σὺν τοῖς ὀπισθίοις ὡς λέων. Ταῦτα γὰρ ἔχουσιν οἱ δυνάσται ἐν τῇ νεότητι αὐτῶν, τὸ ὡς βοῦς ὑπὸ ζυγὸν γινόμενοι τοῦ Βελίαρ διὰ τὰς φιληδονίας, ἐπὶ τέλει θῆρες γενόμενοι ἁρπάζοντες, ὀλοθρεύοντες, πατάσσοντες καὶ ἀναιροῦντες. Ἔγνω οὖν ὁ **15** ἅγιος οὗτος, ὅτι ὡς βοῦς ἤσθιεν χόρτον καὶ ἐγίνετο αὐτῷ ἀνθρωπίνης φύσεως τροφή[6]. Διὰ τοῦτο καὶ ὁ Ναβουχοδονόσορ μετὰ τὴν πέμψιν τῆς μάστιγος αὐτοῦ ἐν καρδίᾳ ἀνθρωπίνῃ γενόμενος ἔκλαιε καὶ ἠξίου τὸν Θεὸν πᾶσαν ἡμέραν καὶ νύκτα τεσσαρακοντάκις δεόμενος τοῦ Θεοῦ Βεημών, ὅ ἐστι τοῦ Θεοῦ Ἰσραήλ[7]. Ἐπεγίνετο γὰρ αὐτῷ πνεῦμα Σατὰν καὶ ἐλάνθανεν αὐτόν, ὅτι γέγονεν ἄνθρωπος. Ἡ γλῶσσα αὐτοῦ ἐδεσμεύετο λαλεῖν, καὶ φωνὴ ἐδίδετο αὐτῷ· καὶ διανεύων εὐθέως ἐδάκρυε, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐγίνοντο ὡς κρέας ἀπὸ τοῦ κλαίειν. Καὶ πολλοὶ δυνάσται καὶ πολῖται ἐξιόντες ἐκ τῆς πόλεως ἐθεώρουν αὐτόν. Δανιὴλ δὲ μόνος οὐκ ἠθέλησεν ἰδεῖν αὐτόν· ὅτι πάντα τὸν χρόνον τῆς ἀλλοιώσεως αὐτοῦ ἐν ταῖς προσευχαῖς ἦν περὶ αὐτοῦ, καὶ ἔλεγεν, ὅτι πάλιν ἄνθρωπος γενήσεται καὶ κρατήσει τῆς βασιλείας αὐτοῦ· καὶ ἠπίστουν αὐτῷ, τὰ ἑπτὰ ἔτη γενέσθαι ἑπτὰ μῆνας δεόμενος περὶ αὐτοῦ πρὸς Κύριον[8]. Τὸ

**1.** Πρβλ. Δαν. 1,3. **2.** Πρβλ. Δ' Βασ. 20,17-18. **3.** Πρβλ. Ἡσ. 39,7. **4.** Πρβλ. Δαν. 1,8. 13. **5.** Πρβλ. Δαν. 4,16. **6.** Πρβλ. Δαν. 4,32-33. **7.** Πρβλ. Δαν. 4,34. 37. **8.** Πρβλ. Δαν. 4,33.

μυστήριον τῶν ἑπτὰ καιρῶν ἐτελέσθη ἐπ' αὐτόν, ὅτι ἀπεκατέστησεν ἑπτὰ μεσίτης. Ἓξ οὖν ἔτη καὶ ἓξ μῆνας ὑπέπιπτεν Κυρίῳ τῷ Θεῷ καὶ ἐξομολογεῖτο τὴν ἀσέβειαν ἑαυτοῦ. Καὶ μετὰ τὴν ἄφεσιν τῆς ἀνομίας αὐτοῦ ἀπέδωκεν αὐτῷ πάλιν ὁ Θεὸς τὴν βασιλείαν[1]. Καὶ οὔτε κρέα ἔφαγεν οὔτε **16** οἶνον ἔπιεν ἐξομολογούμενος τῷ Θεῷ, ὅτι Δανιὴλ αὐτῷ προσέταξεν ἐν ὀσπρέοις ἢ χλωροῖς ἢ βρεκτοῖς ἐξιλεώσασθαι τὸν Κύριον. Διὰ τοῦτο καὶ ὁ Ναβουχοδονόσορ ἐκάλεσε τὸν Δανιὴλ Βαλτάσαρ κατὰ τὸ ὄνομα τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ[2]· καὶ ἠθέλησεν αὐτὸν συγκληρονόμον ἀποκαταστῆσαι τῶν τέκνων αὐτοῦ· ἀλλ' ὁ ὅσιος εἶπεν· ἵλεώς μοι, ἀφεῖναι κληρονομίαν πατέρων μου καὶ προσκολληθῆναι κληρονομίαν ἀπεριτμήτων.

Καὶ ἐν τοῖς βασιλεῦσι δὲ Περσῶν πολλὰ ἐποίησε τεράστια, ὅσα οὐκ ἐγράψαμεν ἐν τῇ βίβλῳ ταύτῃ· εἰσὶ δὲ γεγραμμένα ἐν τῇ βίβλῳ τοῦ Δανιήλ. Οὗτος ὁ προφήτης ἔδωκε τέρας ἐν τοῖς ὑψηλοῖς ὄρεσι Βαβυλῶνος λέγων· ὅτι ὅταν ἴδητε καπνι**[405]**ζόμενον τὸ ἐκ βορρᾶ ὄρος, ἥξει τὸ τέλος Βαβυλῶνος· ὅταν δὲ ἴδητε αὐτὸν ὡς ἐν πυρὶ καιόμενον, ἥξει τὸ τέλος πάσης τῆς γῆς· ἐὰν δὲ τὸ ἐν τῷ νότῳ ὄρος νεύσῃ ὕδατα, ἐπιστρέψει ὁ λαὸς ἐν τῇ γῇ αὐτοῦ· οἰκοδομήσεται Ἱερουσαλὴμ πλατεῖα καὶ εὐρύχωρος, ὥσπερ καὶ ἐγένετο διὰ Ἰησοῦ ἀρχιερέως καὶ Ζοροβάβελ τοῦ υἱοῦ Σαλαθιήλ. Ἐὰν δὲ αἷμα ῥεύσῃ τὸ ὄρος, φόνος ἔσται τοῦ Βελίαρ ἐν πάσῃ τῇ γῇ, ἥξει δὲ Κύριος ἐπὶ γῆς ἐνανθρωπήσας. Ἐκεῖ οὖν **17** ἐκοιμήθη ὁ ὅσιος ἐν Βαβυλῶνι ἐν εἰρήνῃ καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ τῷ βασιλικῷ ἐνδόξως· καὶ ἔστιν ὁ τάφος αὐτοῦ ἕως τῆς σήμερον ἡμέρας πᾶσι γνωστὸς ἐν Βαβυλῶνι.

ια'. Ὠσηὲ ὁ προφήτης· υἱὸς Βεηρεί[3]. Οὗτος ἐγεννήθη ἐν Βελομὼθ ἐκ τῆς φυλῆς Ἰσάχαρ. Οὗτος ἔδωκε τέρας ἥξειν τὸν Κύριον ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν· καὶ τοῦτο τὸ σημεῖον τῆς παρουσίας αὐτοῦ· ὅταν ἡ δρῦς ἡ ἐν Σηλὼμ μερισθῇ ἀφ' ἑαυτῆς εἰς δώδεκα μέρη καὶ γένωνται δρύες δώδεκα· οὕτως καὶ ἐγένετο. Πολλὰ δὲ προφητεύσας περὶ τῆς πορνείας τοῦ λαοῦ αὐτοῦ[4], ἀπέθανεν ἐν εἰρήνῃ καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

**1.** Πρβλ. Δαν. 4,34-36. **2.** Πρβλ. Δαν. 1,7. 5,22. Βαρ. 1,12. **3.** Πρβλ. Ὠσ. 1,1. **4.** Πρβλ. Ὠσ. 5,4.



ιβ'. Ἀμὼς δὲ ὁ προφήτης. Οὗτος ἐγεννήθη ἐν Θεκουὲ[1] ἐκ γῆς Ζαβουλών. Ἔστι δὲ πατὴρ Ἡσαΐου τοῦ προφήτου[2]. Ἀμασίας δὲ ὁ ἱερεὺς Βεθὴλ[3] συχνῶς αὐτὸν τυμπανίσας ἐνέδρᾳ αὐτὸν ἐλοιδόρει, εἰς τέλος δὲ ἀνεῖλεν αὐτὸν ὁ υἱὸς Ἀμασίου[4] ἐν ῥοπάλῳ πλήξας αὐτὸν κατὰ τοῦ κροτάφου, ὅτι ἤλεγχεν αὐτὸν περὶ τῆς ἐνέδρας τῶν δύο δαμάλεων τῶν χρυσῶν. Καὶ ἔτι **[408]** ἐμπνέων ἦλθεν εἰς τὴν γῆν αὐτοῦ· καὶ ἀπέθανε καὶ ἐτάφη ἐκεῖ μετὰ τῶν πατέρων αὐτοῦ.

ιγ'. Μιχαίας ὁ προφήτης. Οὗτος ἐγεννήθη ἐν Μοραθὶ[5] **18** ἐκ φυλῆς Ἐφραΐμ. Πολλὰ ἐποίησεν οὗτος τῷ Ἀχαὰβ βασιλεῖ Ἰούδα[6]· ὑπὸ δὲ Ἰωρὰμ τοῦ υἱοῦ αὐτοῦ ἀναιρεῖται κρημνωθείς, ὅτι ἤλεγχεν αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις αὐτοῦ καὶ τῶν πατέρων αὐτοῦ ὧν ἐποίησεν. Καὶ θανὼν ἐτάφη ἐν Μοραθὶ ἐν τῇ γῇ αὐτοῦ μονώτατος σύνεγγυς τοῦ πολυανδρίου· καὶ ἔστιν ὁ τάφος αὐτοῦ εὔγνωστος ἕως τῆς σήμερον ἡμέρας.

ιδ'. Ἰωὴλ δὲ ὁ προφήτης[7]. Οὗτος ἦν ἐξ ἀγροῦ Βηθὼμ ἐκ τῆς γῆς Ῥουβίμ· πολλὰ δὲ προεφήτευσε περὶ Ἱερουσαλὴμ καὶ τέλους ἐθνῶν. Ὁρῶν δὲ ἀπέθανεν ἐν εἰρήνῃ καὶ ἐτάφη Βηθὼμ ἐν τῇ γῇ αὐτοῦ ἐνδόξως[8].

ιε'. Ἀβδιοῦ ὁ προφήτης[9]. Οὗτος ἦν ἐκ τῆς Συχὲμ ἐξ ἀγροῦ Βηθθαχάμαρ. Οὗτος ἐστὶν ὁ τρίτος πεντηκόνταρχος, οὗ ἐφείσατο Ἠλίας ὁ Θεσβίτης, καὶ κατέβη καὶ ἦλθε πρὸς τὸν βασιλέα[10]. Μετὰ δὲ ταῦτα ἀπολιπὼν τὴν βασιλικὴν αὐτοῦ τάξιν, προσεκολλήθη τῷ προφήτῃ Ἠλίᾳ καὶ ἐγένετο αὐτοῦ μαθητής[11]· καὶ πολλὰ ὑπομείνας δι' αὐτὸν περιεσώζετο· καὶ θανὼν ἐτάφη ἐν ἀγρῷ Βηθθαχάμαρ μετὰ τῶν πατέρων αὐτοῦ.

ις'. Ἰωνᾶς ὁ προφήτης[12]. Οὗτος οὖν ἐκ γῆς Καριαθμαοὺμ **19** πλησίον Ἀζώτου πόλεως Ἑλλήνων κατὰ θάλασσαν. Ἦν τότε Ἠλίας ὁ προφήτης ἐλέγχων τὸν Ἀχαὰβ βασιλέα Σαμαρείας[13] καὶ καλέσας λιμὸν μεγάλην ἐπὶ τὴν γῆν ἔφυγεν ἐν τῇ

**1.** Πρβλ. Ἀμ. 1,1. **2.** Πρβλ. Ἠσ. 2,1. **3.** Πρβλ. Γ' Βασ. 12,29. 13, 1. **4.** Πρβλ. Ἀμ. 7,10. **5.** Πρβλ. Μιχ. 1,1. **6.** Πρβλ. Γ' Βασ. 22,8 ἑξ. **7.** Πρβλ. Ἰωὴλ 1,1. **8.** Πρβλ. Ἰωὴλ 3,1. 4,1 ἑξ. **9.** Πρβλ. Ὀβδ. 1,1. **10.** Πρβλ. Δ' Βασ. 1,13. **11.** Πρβλ. Γ' Βασ. 18,3 ἑξ. **12.** Πρβλ. Ἰων. 1,1. **13.** Πρβλ. Γ' Βασ. 17,1.

ἐρήμῳ[1]· καὶ ἐτρέφετο ἐκ τῶν κοράκων· καὶ ἔπινεν ὕδωρ ἐκ τοῦ χειμάῤῥου[2]. Καὶ ὅτε ἐξηράνθη ὁ χείμαῤῥος ἐπείνασε[3]. Καὶ ἦλθεν εἰς Σαρεφθὰ τῆς Σιδονίας πρὸς γυναῖκα χήραν πενιχράν[4], ἥτις ἦν μήτηρ τοῦ Ἰωνᾶ, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτῆς· καὶ ἐποίησεν αὐτῷ ὡς προσέταξεν αὐτῇ· καὶ ἔφαγε καὶ εὐλόγησεν αὐτῇ σίτῳ καὶ ἐλαίῳ καὶ ἔμεινε μετ' αὐτῆς[5]. Οὐ γὰρ ἠδύνατο μεῖναι μετ' ἀπεριτμήτων καὶ θανόντα τὸν υἱὸν αὐτῆς Ἰωνᾶν ἀνέστησεν ὁ Θεὸς διὰ τοῦ Ἠλία καὶ ἀπέδωκεν αὐτὸν ζῶντα τῇ μητρὶ αὐτοῦ[6] διὰ τὴν φιλοξενίαν. Καὶ γενόμενος ἡλικίας ὁ Ἰωνᾶς ἀπεστάλη εἰς Νινευῒν πρὸς τοὺς Ἀσσυρίους[7]. Καὶ ἐζήτησεν Ἰωνᾶς ἀποδρᾶσαι Κύριον[8] καὶ κατεπόθη ὑπὸ τοῦ κήτους[9] πορευθῆναι βουλόμενος εἰς Θαρσεῖς· ἐξελθὼν δὲ ἐκ τοῦ κήτους ἐκήρυξε τὴν ἀπώλειαν Νινευΐ[10]. Καὶ μετενόησαν οἱ Νινευῖται τῷ Θεῷ καὶ ἠλεήθησαν[11]. Καὶ ἐλυπήθη Ἰωνᾶς[12], καὶ ἀνακάμψας οὐκ ἔμεινεν εἰς τὴν γῆν αὐτοῦ, ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησε τὴν Σοὺρ χώραν τῶν ἀλλοφύλων. Ἔλεγε γάρ, ὅτι "οὕτως **[409]** ἀφῶμαι τὸν ὀνειδισμόν, ὅτι ἐψευσάμην προφητεύσας κατὰ **20** Νινευΐ"[13]. Καὶ κατοικήσας ἐν γῇ Σαὰρ ἐκεῖ ἀπέθανε καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ τοῦ Κενεζέου κριτοῦ. Ἐπροφήτευσε δὲ ὅτι ὅταν ἴδωσιν ἐν Ἱερουσαλὴμ ἔθνη πολλὰ ὑπὸ δυτικῶν, ἕως ἐδάφους ἀφανισθήσεται.

ιζ'. Ναοὺμ δὲ ὁ προφήτης[14]. Οὗτος ἦν ἀπὸ Ἐλκέσιν πέραν τοῦ Ἰορδάνου εἰς Βηγαβάρ· ἐκ φυλῆς Συμεών. Οὗτος μετὰ τὸν Ἰωνᾶν τέρας ἔδωκεν ἐπὶ Νινευΐ[15], ὅτι ὑπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ἐπιγείου ἀπολεῖται, ὃ καὶ γέγονεν[16]. Ἡ γὰρ περιέχουσα αὐτὴν λίμνη ἐν σεισμῷ καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθὸν πάντα τὰ ὑψηλότερα αὐτῆς ἐνέπρησεν μέρη[17]. Ἀπέθανε δὲ Ναοὺμ ἐν εἰρήνῃ, ἐτάφη δὲ ἐν τῇ γῇ αὐτοῦ Βηγαβάρ.

ιη'. «Ἀμβακοὺμ ὁ προφήτης»[18]. Οὗτος ἦν ἐξ ἀγροῦ Βυζζουχὰρ ἐκ φυλῆς Συμεών. Οὗτος εἶδε πρὸ τῆς αἰχμαλωσίας

**1.** Πρβλ. Γ' Βασ. 18,2. **2.** Πρβλ. Γ' Βασ. 17,4-6. **3.** Πρβλ. Γ' Βασ. 17,7. **4.** Πρβλ. Γ' Βασ. 17,9. **5.** Πρβλ. Γ' Βασ. 17,12,15. **6.** Πρβλ. Γ' Βασ. 17,17-23. **7.** Πρβλ. Ἰων. 1,2. **8.** Πρβλ. Ἰων. 1,3,10. **9.** Πρβλ. Ἰων. 2,1. **10.** Πρβλ. Ἰων. 3,2. **11.** Πρβλ. Ἰων. 3,10. **12.** Πρβλ. Ἰων. 4,1. **13.** Πρβλ. Ἰων. 4,1. **14.** Πρβλ. Ναούμ 1,1. **15.** Πρβλ. Ναούμ 2,8 ἑξ. **16.** Πρβλ. Ναούμ 1,8. **17.** Πρβλ. Ναούμ 3,15. **18.** Ἀββ. 1,1.



περὶ τῆς ἁλώσεως Ἱερουσαλήμ, καὶ ἐπένθησε σφόδρα ἐπὶ τῇ πόλει καὶ τῷ λαῷ. Καὶ ὅτε ἦλθεν Ναβουχοδονόσορ εἰς Ἱερουσαλὴμ τοῦ πορθῆναι αὐτήν, οὗτος ἔφυγεν εἰς Ὀστρακίνην· καὶ ἦν ἐκεῖ πάροικος εἰς γῆν Ἰσμαήλ. Ὡς δὲ ὑπέστρεψαν οἱ Χαλδαῖοι[1] ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς τὴν γῆν αὐτῶν, λάφυρον αὐτὴν ποιήσαντες, καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ **21** κατέβησαν εἰς Αἴγυπτον. Αὐτὸς δὲ ἀνῆλθεν εἰς τὴν γῆν αὐτοῦ. Ἐλειτούργει τοῖς θερισταῖς τοῦ ἀγροῦ ἑαυτοῦ. Ἔσπειρε γὰρ κριθόν. Ὡς δὲ ἧψεν αὐτοῖς ἐδέσματα[2], ἐπροφήτευσε τοῖς ἰδίοις εἰπών· "πορεύομαι ἐγὼ εἰς γῆν μακρὰν καὶ τάχιον ἐπανελεύσομαι. Ἐὰν δὲ βραδύνω, ἀπενέγκατε φαγεῖν τοῖς θερισταῖς". Καὶ γενόμενος ἐν Βαβυλῶνι καὶ δοὺς ἄριστον τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων[3], ὑποστρέψας παρέστη τοῖς θερισταῖς ἐσθίουσι· καὶ οὐδενὶ εἶπε τὸ γινόμενον. Συνῆκε δὲ ὁ προφήτης, ὅτι τάχιον ἐπιστρέψει ὁ λαὸς ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ. Ἔδωκε δὲ τέρας τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅτι ὄψονται ἐν τῷ ναῷ φῶς μέγα διαλάμψαν. Καὶ οὕτως ἴδωσι τὴν δόξαν τοῦ Θεοῦ. Καὶ περὶ τῆς συντελείας τοῦ ναοῦ προεῖπεν, ὅτι ὑπὸ ἔθνους δυτικοῦ γενήσεται ἡ πόρθησις τοῦ ναοῦ Ἱερουσαλήμ· τότε τὸ ἅπλωμα τοῦ Δαβεὶρ[4] εἰς δύο μέρη ῥαγήσεται· καὶ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθήσονται. Καὶ οὐδεὶς γνώσεται, ποῦ ἔσονται. Αὐτὰ δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται ὑπὸ ἀγγέλων, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου. Καὶ ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλει Κύριος, ὅτι φωτίσουσι τοῖς διωκομένοις ὑπὸ τοῦ ὄφεως ὥσπερ ἐξ ἀρχῆς καὶ διασώσει αὐτοὺς Κύριος ἐκ σκότους καὶ σκιᾶς θανάτου καὶ ἔσονται ἐν σκηνῇ ἁγίᾳ[5]. Οὗτος ὁ προφήτης περὶ τῆς ἐλεύσεως τοῦ Κυρίου πολλὰ προεφήτευσεν[6]· πρὸ δύο ἐτῶν περὶ τῆς ἐπιστροφῆς **22** τοῦ λαοῦ τῆς ἀπὸ Βαβυ**[412]**λῶνος ἀπέθανε· καὶ ἐτάφη ἐν τῷ ἰδίῳ αὐτοῦ ἀγρῷ ἐνδόξως.

ιθ'. Σοφονίας ὁ προφήτης[7]· οὗτος οὖν ἐκ φυλῆς Συμεὼν ἀπὸ ὄρους Σαραβαθᾶ ἐπροφήτευσε δὲ περὶ τῆς πόλεως Ἱερουσαλήμ, ὅτι οἰκοδομηθήσεται ἐπὶ κρεῖττον εἰς μῆκος καὶ πλάτος, καὶ περὶ τέλους ἐθνῶν καὶ αἰσχύνης ἀσεβῶν[8], καὶ περὶ τῆς τοῦ Κυρίου παρου-

**1.** Πρβλ. Ἀββ. 1,6. **2.** Πρβλ. Δαν. (Βὴλ) 33. **3.** Πρβλ. Δαν. (Βὴλ) 37. **4.** Πρβλ. Γ' Βασ. 6,22-23. **5.** Πρβλ. Ἀββ. 3,4 ἑξ. **6.** Πρβλ. Ἀββ. 3,2 ἑξ. **7.** Πρβλ. Σοφ. 1,1. **8.** Πρβλ. Ζαχ. 14,12,18. Σοφ. κεφ. 1.

σίας[1]. Ἀπέθανε δὲ ἐν ἀποκαλύψει Κυρίου, καὶ ἐτάφη ἐν τῷ ἀγρῷ αὐτοῦ μονώτατος.

κ΄. Ἀγγαῖος ὁ προφήτης. Ἔτι νέος ὢν ἐπανῆλθεν ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ ἐπροφήτευσε καὶ εἶδε τὴν οἰκοδομὴν τοῦ ναοῦ Ἱερουσαλὴμ[2] καὶ αὐτὸς ἔψαλλεν ἐκεῖ πρῶτος ἀλληλούϊα, ὃ ἑρμηνεύεται· αἰνέσωμεν τῷ ζῶντι Θεῷ· ἀμήν, ὅ ἐστι· γένοιτο, γένοιτο· ἐκεῖ οὖν ἀπέθανε καὶ ἐτάφη πλησίον τῶν ἱερέων ἐνδόξως· διὸ λέγομεν ἀλληλούϊα, ὅ ἐστιν ὕμνος Ἀγγαίου καὶ Ζαχαρίου.

κα΄. Ζαχαρίας ὁ προφήτης. Οὗτος ἦν υἱὸς Βαραχίου[3]. Οὗτος ἦλθεν ἀπὸ τῆς Χαλδαίων ἤδη προβεβηκὼς καὶ ἐκεῖ ὢν πολλὰ τῷ λαῷ προεφήτευσε καὶ τέρατα πολλὰ ἔδωκεν εἰς ἀπόδειξιν. Οὗτος εἶπε τῷ Ἰωσεδὲκ[4], ὅτι γεννήσει υἱὸν καὶ ἐν Ἱερουσαλὴμ ἱερατεύσει τῷ Κυρίῳ. Οὗτος καὶ τὸν Σαλαθιὴλ[5] εὐλόγησεν ἐπὶ υἱῷ λέγων· ὅτι γεννήσεις υἱὸν καὶ καλέσεις τὸ ὄνομα Ζοροβάβελ[6]. Καὶ ἐπὶ Κύρου τοῦ βασιλέως **23** Περσῶν τέρας ἔδωκεν εἰς νῖκος περὶ Κροίσου τοῦ Λυδίων βασιλέως καὶ περὶ Ἀστυάγους τοῦ τῶν Μήδων βασιλέως καὶ περὶ τῆς λειτουργίας αὐτοῦ ἐπροφήτευσεν, ἣν ποιήσει Κῦρος ἐπὶ Ἱερουσαλήμ. Καὶ εὐλόγησεν αὐτὸν σφόδρα. Τὰ δὲ τῆς προφητείας αὐτοῦ τῆς ἐν Ἱερουσαλὴμ καὶ περὶ τέλους ἐθνῶν[7] καὶ περὶ τῆς τοῦ ναοῦ Ἱερουσαλὴμ οἰκοδομῆς[8] καὶ ἀργίας προφητῶν καὶ ἱερέων καὶ διπλῆς κρίσεως ἐξέθετο[9]. Ἀπέθανε δὲ εἰς τὴν Ἰουδαίαν ἐν γήρει μακρῷ καὶ ἐτάφη σύνεγγυς Ἀγγαίου τοῦ προφήτου.

κβ΄. Μαλαχίας ὁ προφήτης ἦν ἐκ φυλῆς Ζαβουλών. Οὗτος μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ τὴν ἀπὸ Βαβυ**[413]**λῶνος τίκτεται ἐν Σοφᾷ ἐν γῇ Ζαβουλών. Καὶ ἔτι νέος ὢν καλὸν βίον ἔσχε, πολλὰ δὲ προεφήτευσε περὶ τῆς τοῦ Κυρίου ἐπιδημίας καὶ περὶ κρίσεως νεκρῶν· καὶ ὅτι τὰ ἔθη Μωυσέως πληρωθήσονται καὶ ἀλλαγήσονται[10]. Καὶ ἐπειδὴ πᾶς ὁ λαὸς ἐτίμα αὐτὸν ὡς ὅσιον καὶ πραῢν, ἐκάλεσεν αὐτὸν μαλαχί[11], ὃ ἑρμηνεύεται ἄγγελος.

**1.** Πρβλ. Σοφ. 2,11. 3,9. **2.** Πρβλ. Ἀγγ. 1,8. 2,9. **3.** Πρβλ. Ζαχ. 1,1. **4.** Πρβλ. Α΄ Παρλ. 5,40. 5,41. Α΄ Ἔσδρ. 5,5. κ.ἀ. **5.** Πρβλ. Α΄ Παρλ. 3,17. Β΄ Ἔσδρ. 3,2. κ.ἀ. **6.** Πρβλ. Α΄ Παρλ. 3,19. Β΄ Ἔσδρ. 2,2. 3,2. κ.ἀ. **7.** Πρβλ. Ζαχ. 14,12. **8.** Πρβλ. Ζαχ. 1,16. 4,9. 6,12-15. **9.** Πρβλ. Ζαχ. 13,2 ἑξ. **10.** Πρβλ. Μαλ. κεφ. 3. **11.** Πρβλ. Μαλ. 3,1.



Ἦν γὰρ καὶ τῷ εἴδει πάνυ εὐπρεπής, ἀλλὰ καὶ ὅσα εἶπεν αὐτὸς ἐν προφητείᾳ, αὐτῇ τῇ ἡμέρᾳ ἄγγελος ὀφθεὶς ἐπεδευτέρωσεν αὐτοῦ τὴν προφητείαν[1], ὥσπερ ἐγένετο ἐν ταῖς ἡμέραις τῆς ἀναρχίας, ὡς γέγραπται ἐν Σφαρφωθείμ, τουτέστιν ἐν βίβλῳ Κριτῶν[2]. Νέος δὲ ὢν ὁ προφήτης ἀπέθανε καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ἐν τῷ ἀγρῷ αὐτοῦ.

κγ΄. Ζαχαρίας ἄλλος προφήτης καὶ ἱερεύς. Οὗτος ἦν **24** υἱὸς Ἰωδαὲ ἱερέως[3], πατὴρ δὲ Ἰωάννου τοῦ βαπτιστοῦ[4]. Τοῦτον ἀπέκτεινεν Ἡρώδης ὁ βασιλεὺς ἐχόμενα τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου Κυρίου. Οὗτος δὲ ἦν ἐξ Ἱερουσαλὴμ ἐξ οἴκου Δαβίδ, ἀνὰ μέσον τοῦ Ἐλὰμ ἐξ οἴκου Κυρίου. Οὗτος ἐπροφήτευσε περὶ Χριστοῦ γενεᾶς. Ἐκεῖ οὖν αὐτὸν ἔθαψαν ἐν οἴκῳ Θεοῦ ἐχόμενα ναοῦ Κυρίου. Ἔκτοτε ἐγίνοντο τέρατα πολλὰ ἐν τῷ ναῷ καὶ φαντασίαι καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν οὐκέτι ὀπτασίαν ἀγγέλων· οὐδὲ δοῦναι χρησμοὺς τῷ λαῷ ἐν Δαβεὶρ οὔτε ἐρωτῆσαι ἐν τῷ Ἐφοὺδ οὔτε διὰ τῶν δήλων ἀποκριθῆναι, ἕως τὸ πρίν, ἕως τῆς ἡμέρας ἐκείνης.

κδ΄. Συμεὼν ὁ ἱερεύς[5]· οὗτος ἦν ἐκ φυλῆς Ἀαρών. Οὗτος ἐχρηματίσθη ὑπὸ Πνεύματος Ἁγίου τοῦ μὴ ἰδεῖν θάνατον ἕως ἂν ἴδη τὸν Χριστὸν ἐν σαρκί[6]. Οὗτος ἐβάστασε τὸν Κύριον εἰς τὰς ἰδίας ἀγκάλας[7]. Καὶ ἐδόξασε τὸν Θεὸν εἰπών· εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου. Νῦν ἀπολύεις τὸν δοῦλον σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ[8]. Ἀπέθανε δὲ καὶ ἐτάφη πλησίον τῶν ἱερέων πρεσβύτης πλήρης ἡμερῶν.

⟨κε΄.⟩ Ἰωάννης ὁ βαπτιστὴς υἱὸς Ζαχαρίου καὶ Ἐλι**25**σάβετ[9]. Οὗτος ἦν ἐκ φυλῆς Λευΐ. Οὗτος ἐδήλωσεν ἡμῖν τὸν ἀμνὸν τοῦ Θεοῦ τὸν Υἱὸν τοῦ Πατρὸς τὸν ἄραντα τοῦ κόσμου τὴν ἁμαρτίαν[10]. Οὗτος εἴσοδος ἡμῖν ἐγένετο τῆς τοῦ Θεοῦ βασιλείας. Οὐδεὶς γὰρ ἐν γεννητοῖς γυναικῶν μείζων ἐστὶν Ἰωάννου τοῦ Βαπτιστοῦ[11]. Ἀπέθανε δὲ τμηθεὶς τὴν κεφαλὴν παρὰ Ἡρῴδου, διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ[12].

Καὶ ἄλλοι δὲ προφῆται ἐγένοντο, ὧν τὰ ὀνόματα ἐγγέγραπται ἐν ταῖς αὐτῶν γενεαῖς, ἐν βίβλῳ ὀνομάτων Ἰσραήλ, ὧν οὐκ ἐμνημονεύσαμεν.

**1.** Πρβλ. Μαλ. 2,7 ἑξ. **2.** Πρβλ. Πρβλ. Κριτ. 2,1 ἑξ. **3.** Πρβλ. Β΄ Παρλ. 24,20. **4.** Πρβλ. Λουκ. 1,5,67. **5.** Πρβλ. Λουκ. 2,25. **6.** Πρβλ. Λουκ. 2,26. **7.** Πρβλ. Λουκ. 2,28. **8.** Πρβλ. Λουκ. 2,29-30. **9.** Πρβλ. Λουκ. 1,57-67. **10.** Πρβλ. Ἰω. 1,29. **11.** Πρβλ. Λουκ. 7,28. Ματθ. 11,11. **12.** Πρβλ. Μάρκ. 6,16-20. Ματθ. 14,2-5. Λουκ. 3,19.

# ΠΕΡΙ ΤΩΝ ΙϚ' ΠΡΟΦΗΤΩΝ ΠΟΘΕΝ ΗΣΑΝ ΚΑΙ ΠΟΥ ΕΤΕΛΕΙΩΘΗΣΑΝ*

**55 [415]** α'. Ὠσηὲ υἱὸς Βεηρὶ ἦν[1] ἐκ Βελεμὼθ φυλῆς Ἰσάχαρ καὶ θανὼν ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐν εἰρήνῃ. Καὶ ἔδωκεν τέρας **56** ἥξειν τὸν Κύριον ἐπὶ τῆς γῆς. Ἐάν φησιν ἡ δρῦς ἡ ἐν Σιλὼμ μερισθῇ εἰς ιβ' ἀφ' ἑαυτῆς καὶ γένωνται δρῦες ιβ'.

β'. Ἀμὼς ἦν ἐκ Θεκουὲ[2] καὶ ἀνῃρέθη ὑπὸ τοῦ υἱοῦ Ἀμασίου, πλήξας αὐτὸν ἐν ῥομφαίᾳ κατὰ τὸν κρόταφον. Καὶ ἔτι ἐμπνέων ἦλθεν εἰς τὴν γῆν αὐτοῦ καὶ μεθ' ἡμέρας γ' τελευτήσας ἐτάφη ἐκεῖ.

γ'. Μιχαίας υἱὸς Ἱεραμῶς ὁ Μωραθίτης[3] γέγονεν ἐκ φυλῆς Ἐφραΐμ, καὶ πολλὰ ποιήσας τῷ Ἀχαὰβ ὑπὸ Ἰωρὰμ τοῦ υἱοῦ αὐτοῦ ἀνῃρέθη κρημνῷ, ὅτι ἤλεγχεν αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

**[416]** δ'. Ἰωὴλ υἱὸς Βαθουὴλ[4] ἦν ἐκ φυλῆς Ῥουβὶμ ἐξ ἀγροῦ Θεβορῶν καὶ θανὼν ἐν εἰρήνῃ ἐτάφη ἐκεῖ.

ε'. Ἀβδιοῦ ἦν ἐκ γῆς Συχέμ, ὁ καὶ τρίτος πεντηκόνταρχος οὗ ἐφείσατο Ἠλίας[5]· καὶ κατέβη πρὸς Ὀχοζίαν. Μετὰ δὲ ταῦτα ἀπολείπων τὴν λειτουργίαν τοῦ βασιλέως προεφήτευσε· καὶ θανὼν ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ.

ϛ'. Ἰωνᾶς υἱὸς Ἀμαθῆ[6] ἦν ἐκ γῆς Καριαθαρὶμ πλησίον Ἀζώτου πόλεως κατὰ θάλασσαν· καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους καὶ ἀπελθὼν εἰς Νινευΐ, καὶ ἀνακάμψας οὐκ ἔμεινεν εἰς τὴν γῆν αὐτοῦ, ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησεν τὴν Σοὺρ χώραν τῶν ἀλλοφύλων. Ἔλεγεν γάρ, ὅτι· οὕτως ἀφελῶ ὄνειδός μου, ὅτι ἐψευσάμην προφητεύσας κατὰ Νινευΐ τῆς πόλεως[7]. Ἦν δὲ τότε ἐλέγχων Ἠλίας τὸν **57** Ἀχαὰβ καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν ἔφυγε. Καὶ ἐλθὼν εὗρε τὴν χήραν μετὰ τοῦ

* Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae... σσ. 55-67. (J. - P. Migne, PG 43, 415-428).

**1.** Πρβλ. Ὠσ. 1,1. **2.** Πρβλ. Ἀμ. 1,1. **3.** Πρβλ. Μιχ. 1,1. Γ' Βασ. 22,8. **4.** Πρβλ. Ἰωὴλ 1,1. **5.** Πρβλ. Δ' Βασ. 1,13. **6.** Πρβλ. Ἰων. 1,1. **7.** Πρβλ. Ἰων. 2,1-4,2.



υἱοῦ αὐτοῦ· οὐ γὰρ ἠδύνατο μένειν μετὰ ἀπεριτμήτων. Καὶ εὐλόγησεν αὐτὴν καὶ θανόντα τὸν υἱὸν αὐτῆς Ἰωνᾶν πάλιν ἐκ νεκρῶν ὁ Θεὸς διὰ τοῦ Ἠλία ἀνέστησεν[1]. Ἠθέλησεν γὰρ δεῖξαι αὐτῷ, ὅτι οὐ δύναται ἀποδρᾶσαι Θεόν. Καὶ μετὰ τὸν λιμὸν ἐλθὼν ἐν τῇ γῇ Ἰούδᾳ ἐν Σαάρ, καὶ θανὼν ἐτάφη ἐκεῖ. Καὶ ἔδωκε τέρας ἐπὶ Ἱερουσαλὴμ λέγων· ὅτε ἴδωσιν λίθον βοῶντα οἰκτρῶς[2], ἐγγίζει τὸ τέλος· ὅτε δὲ ἴδωσιν ἐν Ἱερουσαλὴμ πάντα τὰ ἔθνη, τότε ἡ πόλις ἐδαφισθήσεται.

**[417]** ζ'. Ναοὺμ υἱὸς Ἐλκεσαίου[3] ἦν ἀπὸ Ἰεσβῆ φυλῆς Συμεών· καὶ μετὰ τὸν Ἰωνᾶν τῇ Νινευΐ τέρας ἔδωκεν, ὅτι ὑπὸ ὑδάτων καὶ πυρὸς ὑπογείου ἀπολεῖται. Ὅπερ καὶ γέγονεν· ἡ γὰρ περιέχουσα αὐτὴν λίμνη κατέλυσεν ἐν σεισμῷ, καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐξῆλθεν καὶ τὸ ὑψηλότερον αὐτῆς ἐνεπύρησεν μέρος[4]. Καὶ θανὼν ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

η'. Ἀμβακοὺμ[5] ἦν ἐξ ἀγροῦ Βιδζουχάρ, φυλῆς Συμεών. Καὶ εἶδε πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως Ἱερουσαλήμ, καὶ ἐπένθησε σφόδρα[6]· καὶ ὅτε ἦλθε Ναβουχοδονόσορ ἐν Ἱερουσαλήμ, ἔφυγεν εἰς Ὀστρακίνην, καὶ ἦν πάροικος ἐν γῇ Ἰσμαήλ. Ὡς δὲ ἐπέστρεψαν οἱ Χαλδαῖοι, καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ κατέβησαν εἰς Αἴγυπτον, ἦν οὗτος παροικῶν τὴν γῆν αὐτοῦ καὶ λειτουργῶν θερισταῖς τοῦ λαοῦ **58** αὐτοῦ. Ὡς δὲ ἔλαβε τὸ ἔδεσμα ἀπενέγκαι τοῖς ἐργάταις, προεφήτευσε τοῖς ἰδίοις εἰπών· πορεύομαι εἰς γῆν μακράν, καὶ ταχέως ἐλεύσομαι. Ἐὰν δὲ βραδύνω, ἀπενέγκατε τοῖς θερισταῖς τὸ ἄριστον αὐτῶν. Καὶ γενόμενος ἐν Βαβυλῶνι καὶ δοὺς τὸ ἄριστον τῷ Δανιὴλ ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι, καὶ οὐδενὶ εἶπεν τὸ γεγονός[7]. Συνῆκε δὲ ἐκ τούτου, ὅτι τάχειον ἐπιστρέψει ὁ λαὸς ἐκ Βαβυλῶνος. Καὶ πρὸ δύο ἐτῶν τῆς ἐπιστροφῆς θανὼν **[418]** ἐτάφη ἐκεῖ ἐν ἀγρῷ. Ἔδωκε δὲ τέρας τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅτι ὄψονται ἐν τῷ ναῷ φῶς, καὶ οὕτως ἴδωσι τὴν δόξαν τοῦ ναοῦ. Καὶ περὶ τῆς συντελείας τοῦ ναοῦ προεῖπεν, ὅτι ὑπὸ ἔθνους δυτικοῦ γενήσεται, καὶ τότε τὸ ἅπλωμα, φησί, τοῦ Δαβὴρ εἰς μικρὰ διαῤῥα-

**1.** Πρβλ. Γ' Βασ. 17,1 ἑξ. **2.** Πρβλ. Ἀββ. 2,11. **3.** Πρβλ. Ναοὺμ 1,1. **4.** Πρβλ. Ναοὺμ 2,9 ἑξ. **5.** Πρβλ. Ἀββ. 1,1. **6.** Πρβλ. Ἀββ. 1,6 ἑξ. **7.** Πρβλ. Δαν (Βὴλ) 32 ἑξ.

γήσεται[1], καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθήσεται, καὶ οὐδεὶς γνώσεται ποῦ ἔσονται· ταῦτα δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται ὑπὸ ἀγγέλου, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ τοῖς ἐπὶ τέλει γνωσθήσεται Κύριος.

θʹ. Σοφονίας, υἱὸς Χουσῆ[2], ἦν ἐξ ἀγροῦ Σαβαραθᾶ, φυλῆς Συμεών· προεφήτευσε δὲ περὶ τῆς πόλεως καὶ περὶ τοῦ τέλους τῶν ἐθνῶν καὶ τῆς αἰσχύνης τῶν ἀσεβῶν[3]· καὶ τελευτήσας ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

ιʹ. Ἀγγαῖος[4] νέος ἦλθεν ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προεφήτευσε, καὶ εἶδε ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ[5]. Καὶ θανὼν ἐτάφη ἐνώπιον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως.

ιαʹ. Ζαχαρίας υἱὸς Βαραχίου[6] ἦλθεν ἀπὸ Χαλδαίων εἰς Ἱερουσαλήμ, ἤδη προβεβηκώς· κἀκεῖ τῷ λαῷ πολλὰ προεφή**59**τευσε, καὶ τέρατα ἔδωκεν εἰς ἀπόδειξιν. Ὃς καὶ τῷ Ἰωσεδὲκ εἶπεν, ὅτι γεννήσεις υἱόν, καὶ ἐν Ἱερουσαλὴμ ἱερατεύσει, καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ ηὐλόγησε, καὶ τὸ ὄνομα Ζοροβάβελ ἐπέθηκε· καὶ ἐπὶ Κυρίου τέρας ἔδωκεν εἰς νῖκος καὶ περὶ τῆς λει**[419]**τουργίας αὐτοῦ προηγόρευσεν, ἣν ποιήσει ἐν Ἱερουσαλήμ, καὶ ηὐλόγησεν αὐτόν· καὶ περὶ τέλους ἐθνῶν[7], καὶ Ἰσραήλ, καὶ τοῦ ναοῦ[8] καὶ ἀργίας προφητῶν[9] καὶ ἱερέων προεφήτευσεν. Ἀπέκτεινε δὲ αὐτὸν Ἰωὰς βασιλεὺς Ἰούδα μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου[10], παραινοῦντα αὐτῷ τε καὶ τῷ λαῷ ἀπέχεσθαι τῆς ἀσεβείας καὶ ἐπιστρέφειν πρὸς Θεόν, καὶ λαβόντες αὐτὸν οἱ ἱερεῖς ἔθαψαν μετὰ τοῦ πατρὸς αὐτοῦ[11]. Καὶ ἀπὸ τότε ἐγίνοντο τέρατά τε ἐν ναῷ πολλὰ φαντασιώδη. Καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν ὀπτασίαν ἀγγέλων Θεοῦ, οὔτε δοῦναι χρησμοὺς ἐκ τοῦ Δαβὴρ οὔτε διὰ τῶν δήλων ἀποκριθῆναι ἐν τῷ λαῷ ὡς τὸ πρίν.

ιβʹ. Μαλαχίας μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ τίκτεται ἐν Σοφᾷ, ὃς νέος ὢν βίον εἶχε καλὸν πάνυ. Καὶ ἐπειδὴ πᾶς ὁ λαὸς

**1.** Πρβλ. Γʹ Βασ. 6,22-23. **2.** Πρβλ. Σοφ. 1,1, **3.** Πρβλ. Σοφ. κεφ. 1. Ζαχ. 14,12,18. **4.** Πρβλ. Ἀγγ. 1,1. **5.** Πρβλ. Ἀγγ. 1,8. 2,9. **6.** Πρβλ. Ζαχ. 1,1. **7.** Πρβλ. Ζαχ. 14,12. **8.** Πρβλ. Ζαχ. 1,16. 4,9. 6,12. **9.** Πρβλ. Ζαχ. 13,4. **10.** Πρβλ. Ζαχ. 13,7. **11.** Πρβλ. Βʹ Παρλ. 24,20-21.



ἐτίμα αὐτὸν ὡς ἅγιον, ἐκάλεσαν αὐτὸν Μαλαχίαν, ὅ ἐστιν ἄγγελος. Ἦν γὰρ καὶ τῷ εἴδει εὐπρεπὴς καὶ τῷ λαῷ πληρωτής. Ὅσα γὰρ εἶπεν αὐτοῖς ἐν προφητείᾳ αὐτῇ **60** τῇ ἡμέρᾳ ὀφθεὶς ἄγγελος Κυρίου ἐβεβαίωσε. Καὶ ἔτι νέος ὢν ἐτελειώθη καὶ ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

ιγʹ. Ἡσαΐας υἱὸς Ἀμὼς ἦν ἀπὸ Ἱερουσαλήμ· ἀναιρεθεὶς δὲ ὑπὸ Μανασσῆ[1], πρισθεὶς εἰς δύο[2] ἐτάφη ὑποκάτω δρυὸς Ῥωγήλ[3], πλησίον τῆς διαβάσεως τῶν ὑδάτων ὧν ἀπώλεσεν Ἐζεκίας χώσας αὐτά[4]. Καὶ ὁ Θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ διὰ τὸν προφήτην ἐποίησεν[5], ὅτι πρὸ τοῦ θανεῖν ὀλιγωρήσας ηὔξατο πιεῖν ὕδωρ, καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ. Καὶ διὰ τοῦτο ἐπεκλήθη Σιλωάμ, ὅ ἐστιν ἀπεσταλμένος[6]. Καὶ Ἐζεκίας ἐπὶ τῶν εὐχῶν τούτου ἐποίησε τοὺς λάκκους καὶ τὰς κολυμβήθρας[7]. Μικρὸν γὰρ ἦν ὕδωρ ἐξεληλυθός, ὅτε ἦν ὁ λαὸς ἐν συγκλεισμῷ ἀλλοφύλων· καὶ ἵνα μὴ διαφθαρῇ ἡ πόλις ὡς μὴ ἔχουσα ὕδωρ, ἐποίησε τοῦτο. Καὶ ὅταν οὖν ἤρχοντο οἱ πολέμιοι ἀντλῆσαι, οὐκ ἤρχετο ὕδωρ· ὅταν δὲ Ἰουδαῖοι ἤρχοντο, **[420]** ἤρχετο καὶ τὸ ὕδωρ. Ὅθεν ἕως τοῦ νῦν αἰφνίδιον ἐξέρχεται τὸ ὕδωρ, ἵνα δειχθῇ τὸ μυστήριον τοῦ Θεοῦ. Καὶ ἐπειδὴ διὰ τοῦ Ἡσαΐου τοῦτο γέγονε, μνήμης χάριν καὶ ὁ λαὸς πλησίον αὐτὸν ἔθαψεν ἐνδόξως, ἵνα διὰ τῶν εὐχῶν αὐτοῦ ὡσαύτως ἔχωσιν τὴν ἀπόλαυσιν τοῦ ὕδατος, ὅτι χρησμὸς ἐδόθη αὐτοῖς περὶ τούτου. Ἔστιν δὲ ὁ τάφος ἐχόμενα τοῦ τάφου τῶν βασιλέων, ὄπισθεν τοῦ τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς νότον. Σολομὼν **61** γὰρ ἐποίησε τοὺς τάφους τοῦ Δαβὶδ διαγράψατος κατὰ ἀνατολὰς τῆς Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαώ, μήκοθεν τῆς πόλεως σταδίους κʹ καὶ ἐποίησε σκολιὰν σύνθεσιν ἀνυπονόητον, καὶ ἔστιν ἕως τοῦ νῦν τοῖς πολλοῖς ἀγνοουμένη. Ἐκεῖ εἶχεν ὁ βασιλεὺς τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα[8]. Καὶ ἐπειδὴ Ἐζεκίας ἔδειξε τοῖς ἔθνεσι τὸ μυστήριον Δαβὶδ καὶ Σολομῶντος, καὶ ἐμίανεν ὀστᾶ **[421]** πατέρων αὐτοῦ, διὰ τοῦτο ὁ Θεὸς ἐπηράσα-

**1.** Πρβλ. Δʹ Βασ. 21,1 ἑξ. Βʹ Παρλ. 33,1, ἑξ. **2.** Πρβλ. Ἑβρ. 11,37. **3.** Πρβλ. Βʹ Βασ. 17,17. **4.** Πρβλ. Βʹ Παρλ. 32,3,30. Σ. Σειρ. 48,17. **5.** Πρβλ. Ἡσ. 8,6. **6.** Πρβλ. Ἰω. 9,7. **7.** Πρβλ. Ἡσ. 22,9-11. **8.** Πρβλ. Δʹ Βασ. 20,13. Βʹ Παρλ. 32,27.

το εἰς δουλείαν τὸ σπέρμα αὐτοῦ τοῖς ἐχθροῖς αὐτοῦ[1], καὶ ἄκαρπον ἐποίησεν ὁ Θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης.

ιδʹ. Ἱερεμίας ἦν ἐξ Ἀναθὼθ[2] καὶ ἐν Τάφναις τῆς Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ ἀποθνήσκει[3]. Κεῖται δὲ πλησίον τῆς οἰκίας Φαραώ, ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν αὐτὸν εὐεργετηθέντες δι᾽ αὐτοῦ· ηὔξατο γάρ, καὶ αἱ ἀσπίδες αὐτοὺς ἔασαν καὶ τῶν ὑδάτων οἱ θῆρες, οὓς καλοῦσιν οἱ Αἰγύπτιοι μὲν Ἐφώθ, Ἕλληνες δὲ κροκοδείλους, οἳ ἦσαν αὐτοὺς θανατοῦντες, καὶ εὐξαμένου τοῦ προφήτου ἐκωλύθησαν ἐκ τῆς γῆς ἐκείνης τὸ γένος τῶν ἀσπίδων καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως τὸ ἔνεδρον τῶν θηρίων. Καὶ ὅσοι εἰσὶ πιστοὶ Θεοῦ, ἕως τοῦ νῦν εὔχονται ἐν τῷ τόπῳ ὅπου κεῖται, καὶ λαμβάνοντες τοῦ χοὸς τοῦ τόπου δήγματα ἀσπίδων θεραπεύουσιν, καὶ τὰ θηρία τοῦ ὕδατος φυγαδεύουσιν. Ἡμεῖς δὲ ἠκούσαμεν ἐκ τῶν παίδων Ἀντιγόνου καὶ Πτολεμαίου γε**62**ρόντων τινῶν, ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν ἐπιστὰς τῷ τάφῳ τοῦ προφήτου, καὶ ἐπιγνοὺς τὰ εἰς αὐτὸν μυστήρια εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λείψανα, περιστείλας αὐτὰ ἐνδόξως· καὶ ἐκωλύθη ἐκ τῆς γῆς τὸ γένος τῶν ἀσπίδων, καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως τὰ θηρία.

Οὗτος ὁ προφήτης σημεῖον δέδωκε τοῖς ἱερεῦσιν Αἰγύπτου, ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν τὰ χειροποίητα αὐτῶν[4], ὅταν ἐπιβῇ ἐν Αἰγύπτῳ Παρθένος λοχεύουσα βρέφος θεοειδές[5]. Διὸ καὶ ἕως νῦν τιμῶσι Παρθένον λοχοῦν καὶ βρέφος ἐν φάτνῃ τιθέντες προσκυνοῦσι. Καὶ Πτολεμαίῳ τῷ βασιλεῖ πυνθανομένῳ τὴν αἰτίαν ἔλεγον, ὅτι· πατροπαράδοτον ἡμῖν ἐστι μυστήριον ὑπὸ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παραδοθέν, καὶ ἐκδεχόμεθα τὸ πέρας τοῦ μυστηρίου ἡμῶν.

Οὗτος δὲ πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασε τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ[6], καὶ ἐποίησεν αὐτὰ καταποθῆναι ἐν πέτρᾳ λέγων τοῖς παρεστῶσιν· ἀπεδήμησε Κύριος ἐκ Σιὼν εἰς οὐρανόν, καὶ πάλιν ἐλεύσεται ἐν δυνάμει. Καὶ σημεῖον ὑμῖν ἔστω τῆς παρουσίας αὐτοῦ, ὅτε ξύλον πάντα τὰ ἔθνη προσκυνήσουσι. Τὴν δὲ κιβωτὸν ταύτην οὐδεὶς ἐκβάλλει εἰ μὴ Ἀαρών·

1. Πρβλ. Δʹ Βασ. 20,18-19. 2. Ἱερ. 1,1. 43,8. 3. Πρβλ. Ἑβρ. 11,37. 4. Πρβλ. Ἡσ. 19,1. 5. Πρβλ. Ματθ. 2,13-15. 6. Πρβλ. Βʹ Μακκ. 2,4-8.



καὶ τὰς ἐν αὐτῇ πλάκας οὐδεὶς ἀναπτύσσει ἱερέων ἢ προφητῶν εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς τοῦ Θεοῦ. Καὶ ἐν τῇ ἀναστάσει πρῶτον ἡ κιβωτὸς τοῦ Θεοῦ ἀναστήσεται καὶ ἐξελεύσεται ἐκ τῆς πέτρας, καὶ τεθήσεται ἐν ὄρει Σινᾷ, καὶ τότε πάντες οἱ ἅγιοι συναχθήσονται ἐκεῖ, ἐκδεχόμενοι τὸν Χριστόν. Ἐν δὲ τῇ πέτρᾳ ἐσφράγισε **63** τῷ δακτύλῳ αὐτοῦ τὸ ὄνομα τοῦ Θεοῦ, καὶ γέγονεν ὁ τύπος ὡς γλυφὴ σιδήρου, καὶ νεφέλη ἐσκέπασε τὸ ὄνομα, καὶ οὐδεὶς νοεῖ τὸν τόπον ἕως τῆς συντελείας. Καὶ ἔστιν ἡ πέτρα ἐν τῇ ἐρήμῳ ὅπου πρῶτον ἡ κιβωτὸς γέγονε μεταξὺ τῶν δύο ὀρέων, ἐν οἷς κεῖται Μωυσῆς καὶ Ἀαρών· καὶ ἐν νυκτὶ νεφέλη ὡς πῦρ γίνεται κατὰ τὸν τύπον τὸν ἀρχαῖον[1], ὅτι οὐ μὴ παύσηται ἡ δόξα τοῦ Θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ. Καὶ ἔδωκεν ὁ Θεὸς τῷ Ἱερεμίᾳ χάριν, ἵνα τὸ τέλος τοῦ μυστηρίου αὐτοῦ αὐτὸς ποιήσῃ, ὅπως γένηται κοινωνὸς Μωυσέως.

**[422]** ιεʹ. Ἰεζεκιὴλ υἱὸς Βουζῆ[2] ἦν ἐν Σαριρᾷ, ἐκ τῶν ἱερέων· καὶ ἀποκτείνας αὐτὸν ἡγούμενος τοῦ Ἰσραὴλ ἐν τῇ γῇ τῶν Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας ἐλεγχόμενος ὑπ᾽ αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασιν· ἔθαψαν αὐτὸν ἐκεῖ ἐν ἀγρῷ Μαούρ, ἐν τῷ τάφῳ Σὴμ καὶ Ἀρφαξάθ, πολλὰ προφητεύσαντα τοῖς ἐν τῇ Ἰουδαίᾳ. Καὶ ἔστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι καὶ ὁ Ἀβραὰμ εἰς Χεβρὼν πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησε τὸν τάφον Σάῤῥας[3]. Διπλοῦν δὲ λέγεται[4], ὅτι ἑλικοειδές ἐστιν καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου ὑπερῷον.

Ἔδωκε δὲ τέρας τῷ λαῷ ὥστε προσέχειν τῇ ποταμῷ Χοβάρ[5], καὶ ὅτε ἐκλείποι, ἐλπίζειν τὸ δρέπανον τῆς ἐρημώσεως εἰς πέρας τῆς γῆς[6], καὶ ὅτε πλημμυρήσοι, τὴν Ἱερουσαλὴμ ἐπάνοδον[7]. Καὶ γὰρ ἐκεῖ κατῴκει ὁ ὅσιος, καὶ πολλοὶ πρὸς αὐτὸν συνήρχοντο, ὥστε φοβεῖσθαι τοὺς Χαλδαίους μὴ ἀντάρωσι. Διὸ καὶ ἐπῆλθεν αὐτοῖς εἰς ἀναίρεσιν· καὶ ἐποίησε στῆναι **[423]** τὸ ὕδωρ, ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν· καὶ οἱ τολ**64**μήσαντες τῶν ἐχθρῶν ἐπιδιῶξαι κατεποντίσθησαν. Οὗτος διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλῆ τροφὴν ἰχθύων παρέσχετο, καὶ πολλοῖς

1. Πρβλ. Βʹ Μακκ. 2,8. 2. Πρβλ. Ἰεζ. 1,3. 3. Πρβλ. Γεν. 23,2. 4. Πρβλ. Γεν. 23,9,19. 5. Πρβλ. Ἰεζ. 1,3. 6. Πρβλ. Ἰεζ. 36,8. 7. Πρβλ. Ἰεζ. 47,1.

ἐκλιποῦσι ζωὴν ἐχαρίσατο[1]. Οὗτος ἀπολλυμένου τοῦ λαοῦ ὑπὸ τῶν ἐχθρῶν προσῆλθε τοῖς ἡγουμένοις, καὶ διὰ τεραστίων φοβηθέντες ἐπαύσαντο. Τότε ἔλεγεν αὐτοῖς ὅτι· «διαπεφωνήκαμεν· ἀπώλετο ἡ ἐλπὶς ἡμῶν»[2], καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν, ὅτι ἔσται ἐλπὶς τῷ Ἰσραήλ, καὶ ἐνταῦθα καὶ ἐπὶ τοῦ μέλλοντος. Οὗτος ἐκεῖ ὢν ἐκεῖ ἐδείκνυε τῷ λαῷ Ἰσραὴλ τὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ ναῷ γινόμενα. Οὗτος ἡρπάγη ἐκεῖθεν εἰς Ἱερουσαλὴμ εἰς ἔλεγχον τῶν ἀπίστων[3]. Οὗτος κατὰ τὸν Μωυσῆν εἶδε τὸν τύπον τοῦ ναοῦ[4], οὗ τὸ τεῖχος καὶ τὸ περίτειχος πλατύ, καθὼς εἶπε Δανιήλ, ὅτι κτισθήσεται[5]. Οὗτος ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν τοῦ Γάδ, ὅτι ἠσέβουν εἰς Κύριον[6] διώκοντες τοὺς τὸν νόμον φυλάσσοντας, καὶ ἐποίησεν τοὺς ὄφεις ἀναλίσκειν τὰ βρέφη καὶ πάντα τὰ κτήνη αὐτῶν λέγων, ὅτι· δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ. Ἐξ ὧν καὶ ἀνηρέθη.

**[424]** ις'. Δανιὴλ ἦν ἐκ Βεθόρων τῆς ἀνωτέρας φυλῆς Ἰούδα· γένους τῶν ἐξοχωτάτων τῆς βασιλικῆς ὑπηρεσίας[7], καὶ ἔτι νήπιος ὢν ἀπῆλθεν εἰς γῆν Χαλδαίων[8]. Ἦν δὲ ἀνὴρ σώφρων, ὥστε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα[9]. Πολλὰ δὲ ἐπένθησεν ἐπὶ τὴν πόλιν καὶ ἐν νηστείᾳ ἤσκησεν **65** ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς[10]. Καὶ ὑπὲρ τοῦ Ναβουχοδονόσορ πολλὰ ηὔξατο· παρακαλοῦντος αὐτὸν Βαλτάσαρ τοῦ υἱοῦ αὐτοῦ ὅτε γέγονεν θηρίον καὶ κτῆνος, ἵνα μὴ ἀπώληται. Ἦν γὰρ τὰ ἐμπρόσθια αὐτοῦ ὡς βοῦς σὺν τῇ κεφαλῇ, καὶ οἱ πόδες σὺν τοῖς ὀπισθίοις ὡς λέων. Ἀπεκαλύφθη δὲ τῷ ἁγίῳ περὶ τοῦ μυστηρίου τούτου, ὅτι θηρίον μὲν γέγονε διὰ τὸ φιλήδονον αὐτοῦ καὶ σκληροτράχηλον, κτῆνος δὲ ὅτι ὑπὸ ζυγὸν ἦν τοῦ Βελίαρ καὶ ὑπήκοος· καὶ ὡς μὲν βοῦς ἤσθιε χόρτον[11] ἐγίνετο δὲ αὐτῷ ἀνθρωπίνης φύσεως τροφή. Ἐκρατήθη δὲ ἡ γλῶσσα αὐτοῦ τοῦ μὴ λαλεῖν· καὶ νοῶν εὐθέως ἐδάκρυε, καὶ παρεκάλει τὸν Θεὸν κατὰ νοῦν πᾶσαν ἡμέραν καὶ ὥραν· οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ γεγόνασι

---

**1.** Πρβλ. Ἰεζ. 47,9. **2.** Ἰεζ. 37,11. **3.** Πρβλ. Ἰεζ. 8,3. **4.** Πρβλ. Ἐξ. 25,9,40. Πράξ. 7,44. **5.** Πρβλ. Δαν. 9,25. **6.** Πρβλ. Γεν. 49,19. **7.** Πρβλ. Δαν. 1,3. **8.** Πρβλ. Δ' Βασ. 20,17-18. **9.** Πρβλ. Ἠσ. 39,7. **10.** Πρβλ. Δαν. 1,8,13. **11.** Πρβλ. Δαν. 4,32-33.



κρεώδεις ἐκ πολλῶν δακρύων. Καὶ πολλοὶ τῆς πόλεως ἑώρων αὐτὸν καὶ ἐθαύμαζον. Ὁ δὲ Δανιὴλ μόνος οὐκ ἠθέλησεν ἰδεῖν αὐτόν. Ἀλλὰ πάντα τὸν χρόνον τῆς ἀλλοιώσεως αὐτοῦ ἐν προσευχῇ ἦν περὶ αὐτοῦ, δεόμενος τοῦ Θεοῦ. Ἔλεγε γάρ· ὅτι πάλιν ἄνθρωπος γενήσεται καὶ ἠπίστουν αὐτῷ. Ὁ δὲ Δανιὴλ τὰ ἑπτὰ ἔτη ἃ εἶπεν ἑπτὰ καιροὺς ἐποίησε γενέσθαι ἑπτὰ μῆνας καὶ τὸ μυστήριον τῶν ζ' καιρῶν ἐτελειώθη ἐπ' αὐτὸν μετὰ τὴν ἄφεσιν τῆς ἀνομίας αὐτοῦ[1]. Καὶ ἀπέδωκεν πάλιν αὐτῷ ὁ Θεὸς τὴν βασιλείαν αὐτοῦ[2], οὔτε δὲ ἄρτον ἢ κρέας ἔφαγεν, οὔτε οἶνον ἔπιεν ἐξομολογούμενος τῷ Θεῷ, ὅτι Δανιὴλ αὐτῷ προσέταξεν ὀσπρέοις βρεκτοῖς καὶ χλόαις ἐξιλεώσασθαι τὸν **66** Θεόν· διὰ τοῦτο ἐκάλεσεν αὐτὸν Βαλτάσαρ[3], ὅτι ἠθέλησεν αὐτὸν συγκληρονόμον καταστῆσαι τῶν τέκνων αὐτοῦ· ἀλλ' εἶπεν ὁ ὅσιος· ἵλεώς μοι ἀφεῖναι κληρονομίαν πατέρων μου, καὶ κολληθῆναι κληρονομίᾳ ἀπεριτμήτων. Καὶ τοῖς μετέπειτα δὲ βασιλεῦσι Περσῶν πολλὰ ἐποίησε τεράστια, ὅσα οὐκ ἔγραψα· δεύτερον δὲ ἐβλήθησαν τῷ λάκκῳ τῶν λεόντων ὑπὲρ εὐσεβείας καὶ ἀγάπης Θεοῦ. Τὸ μὲν γὰρ πρῶτον, ἐπειδὴ τῶν Βαβυλωνίων προσευχομένων Δαρείῳ τῷ βασιλεῖ μόνος αὐτὸς τῷ Θεῷ προσηύχετο[4]. Τὸ δὲ δεύτερον, διότι «τὸν Βὴλ κατέστρεψε καὶ τὸν δράκοντα ἐφόνευσεν»[5] ἐπὶ Κύρου τοῦ βασιλέως, καὶ αὐτὸς μὲν διεσώθη, καὶ ἀβλαβὴς ἀπὸ τῶν λεόντων ἀνῆλθεν ἐκ τοῦ λάκκου. Οἱ δὲ ἐπιβουλεύσαντες αὐτῷ ἐβλήθησαν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ εὐθὺς κατεβρώθησαν ὑπ' αὐτῶν[6]· μετὰ δὲ ταῦτα γηράσας καὶ τελευτήσας ἐν εἰρήνῃ, ἐτάφη ἐκεῖ ἐν τῷ σπηλαίῳ τῷ βασιλικῷ μόνος ἐνδόξως. Ἔδωκε δὲ τέρας ἐν ὄρεσι τοῖς ὑπεράνω τῆς Βαβυλῶνος λέγων· ὅτε καπνισθήσεται τὰ ἐκ βορρᾶ, ἥξει τὸ τέλος Βαβυλῶνος, ὅτε δὲ ὡς πυρὶ καίεται, τὸ τέλος πάσης τῆς γῆς. Ἐὰν δὲ τὰ ἐν τῷ νότῳ ὄρη ῥεύσωσιν ὕδατα, ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτῶν· καὶ ἐὰν αἷμα ῥεύσωσιν, φόνος ἔσται τοῦ Βελίαρ ἐν πάσῃ τῇ γῇ.

**[426]** α'. Ἠλίας ὁ Θεσβίτης[7] ἦν ἐκ γῆς Ἀράβων φυλῆς Ἀαρών, οἰκῶν ἐν Γαλαάδ, ὅτι ἡ Θεσβὶς δῶμα ἦν τοῖς ἱερεῦσιν.

---

**1.** Πρβλ. Δαν. 4,34. **2.** Πρβλ. Δαν. 4,36. **3.** Πρβλ. Δαν. 1,7. **4.** Πρβλ. Δαν. (Βὴλ) 4. **5.** Δαν. (Βὴλ) 22. **6.** Πρβλ. Δαν. (Βὴλ) 42. **7.** Πρβλ. Δ' Βασ. 17,1.

Ὅτε δὲ ἔμελλε τίκτεσθαι, εἶδε Σοβαχὰ ἡ μήτηρ αὐτοῦ, ὅτι ἄνδρες λευκοφανεῖς αὐτὸν προσηγόρευον, καὶ ἐν πυρὶ αὐτὸν **67** ἐσπαργάνουν, καὶ φλόγα πυρὸς ἐδίδουν αὐτῷ φαγεῖν, καὶ ἐλθὼν ὁ πατὴρ αὐτοῦ Ἀσὼμ ἀνήγγειλεν ἐν Ἱερουσαλὴμ καὶ εἶπεν αὐτῷ ὁ χρησμός· θάρσει· ἔσται γὰρ ἡ οἴκησις αὐτοῦ φῶς καὶ ὁ λόγος αὐτοῦ ἀπόφασις, καὶ κρινεῖ τὸν Ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ πυρί. Καὶ γὰρ ζηλωτὴς καὶ φύλαξ τῶν τοῦ Θεοῦ ἐντολῶν ἀκριβὴς γεγονὼς καὶ μεγίστων μυστηρίων καὶ χαρισμάτων θείων ἀξιωθεὶς ἀνελήφθη ἐν ἅρματι πυρίνῳ[1], ὃς πάλιν ἐλεύσεται πρὸ τῆς συντελείας, ὥς φησιν ὁ Θεὸς διὰ Μαλαχίου· «ἰδοὺ ἐξαποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστασήσει καρδίαν πατρὸς πρὸς υἱόν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ· μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην»[2].

β΄. Ὁ δὲ τούτου φοιτητὴς Ἐλισσαῖος ἦν ἐξ Ἀβελμουὴλ[3] γῆς τοῦ Ῥουβὶμ φυλῆς Λευΐ· υἱὸς Ἰωσαφάτ· καὶ οὗτος δὲ ἡνίκα ἐτέχθη ἐν Γαλγάλοις ἡ χρυσῆ δάμαλις ὀξὺν ἐβόησεν, ὥστε ἀκουσθῆναι ἐν Ἱερουσαλήμ, καὶ εἶπεν ὁ ἱερεὺς διὰ τῶν δήλων, ὅτι προφήτης ἐτέχθη ἐν Ἱερουσαλήμ, ὃς καθελεῖ τὰ γλυπτὰ αὐτῶν καὶ τὰ χωνευτά[4]. Καὶ γὰρ ἐπαναπαυσάμενον ἐπ' αὐτὸν τὸ πνεῦμα διπλοῦν γέγονεν ἐν αὐτῷ διπλᾶ ἐν πνεύματι καὶ τὰ χαρίσματα καὶ τὰ ἐνεργήματα· ὅθεν οὐ μόνον ἐν τῇ ζωῇ αὐτοῦ ἐθαυματούργει, ἀλλὰ καὶ θανὼν καὶ ταφεὶς ἐν Σαμαρείᾳ, ἐῤῥίφη νεκρὸς μονόζωος ἐν τῷ τάφῳ αὐτοῦ. Καὶ εὐθὺς ἀνέζησεν ὁ νεκρός[5].

**1.** Πρβλ. Δ' Βασ. 2,11. Α' Μακκ. 2,58. **2.** Μαλαχ. 3,22-23. **3.** Πρβλ. Γ' Βασ. 19,16. **4.** Πρβλ. Ἡσ. 48,5. **5.** Πρβλ. Δ' Βασ. 13,21.

## ΠΕΡΙ ΤΩΝ ΟΒ΄ ΠΡΟΦΗΤΩΝ ΚΑΙ ΠΡΟΦΗΤΙΔΩΝ*

**1** α΄. Ἀδάμ. β΄. Ἐνώχ. γ΄. Νῶε. δ΄. Ἀβραάμ. ε΄. Ἰσαάκ. ϛ΄. Ἰακώβ. ζ΄. Μωυσῆς. η΄. Ἀαρών. θ΄. Ἰησοῦς. ι΄. Ἐλδάμ. ια΄. Μωδάδ. ιβ΄. Ἰώβ. ιγ΄. Σαμουήλ. ιδ΄. Ναθάν. ιε΄. Δαβίδ. **2** ιϛ΄. Γάδ. ιζ΄. Ἰδιθούμ. ιη΄. Ἀσάφ. ιθ΄. Αἰμάν. κ΄. Αἰθάμ. κα΄. Σολομών. κβ΄. Ἀχιάς. κγ΄. Σαμέας. κδ΄. Ὁ ἄνθρωπος τοῦ Θεοῦ, ὁ Σήθ. κε΄. Ἠλί, ὁ καὶ Σιλώμ. κϛ΄. Ἰωάδ. κζ΄. Ἀδδῶ. κη΄. Ἀζαρίας. κθ΄. Ἀνανί, ὁ καὶ Ἀνανίας. λ΄. Ἰηοῦ. λα΄. Μιχαίας. λβ΄. Ἠλίας. λγ΄. Ὀζιήλ. λδ΄. Ἐλιάδ. λε΄. Ἰησοῦς υἱὸς Ἀνανίου. λϛ΄. Ἐλισσαῖος. λζ΄. Ἰωναθάμ. λη΄. Ζαχαρίας, ὁ καὶ Ἀζαρίας. λθ΄. Ζαχαρίας ἄλλος μ΄. Ὠσηέ. μα΄. Ἰωήλ. μβ΄. Ἀμώς. μγ΄. Ἀβδιοῦ. μδ΄. Ἰωνᾶς. με΄. Ἡσαΐας. μϛ΄. Μιχαίας. μζ΄ Ναούμ. μη΄ Ἀμβακούμ. μθ΄ Ὠβήδ. ν΄. Ἀβδαδών. να΄. Ἱερεμίας. νβ΄. Βαρούχ. νγ΄. Σοφονίας. νδ΄. Οὐρίας. νε΄. Ἰεζεκιήλ. νϛ΄. Δανιήλ. νζ΄ Ἔσδρας. νη΄. Ἀγγαῖος. νθ΄. Ζαχαρίας. ξ΄ Μαλαχίας. ξα΄. Ζαχαρίας ὁ πατὴρ Ἰωάννου. ξβ΄ Συμεών. ξγ΄. Ἰωάννης ὁ βαπτιστής.

Ἔτι δὲ ἄλλους εὑρεθέντας ἔγνωμεν μέρος ἐλάχιστον προφητείας ἔχοντας ἢ καὶ προφάσει προφητικῇ, τοὺς δὲ καὶ περιττότερόν τι προφητεύσαντας, τοὺς μὲν ἀπὸ τοῦ Ἀδάμ, τοὺς δὲ ἀπὸ τῶν καθεξῆς χρόνων, οὓς δεῖν ᾠήθην μὴ παραλεῖψαι αὖθις μετὰ τὸν ξγ΄ ἀριθμόν, ἀλλὰ συνάψαι τῇ τῆς ἀνακεφαλαιώσεως ἀκολουθίᾳ, οἷον καί εἰσιν οἵδε. ξδ΄ Ἐνώς. ξε΄. Μαθουσάλα. ξϛ΄. Λάμεχ. ξζ΄. Βαλαάμ. ξη΄. Σαούλ **3** ξθ΄. Ἀβιμέλεχ ὁ καὶ Ἀχιμέλεχ. ο΄. Ἀμασέ. οα΄. Σαδώκ. οβ΄. Ὁ γέρων ὁ ἐν Βεθήλ. Ἄγαβος ὁ ἐν ταῖς Πράξεσιν.

### ΚΑΙ ΟΣΑΙ ΠΡΟΦΗΤΙΔΕΣ

α΄. Σάῤῥα. β΄. Ῥεβέκκα, γ΄. Μαρία ἡ τοῦ Μωυσέως ἀδελφή. δ΄. Δεββόρα. ε΄. Ὀλδά. ϛ΄. Ἄννα ἡ μήτηρ Σαμουήλ. ζ΄ Ἰουδίθ. η΄. Ἐλισάβετ, ἡ μήτηρ Ἰωάννου. θ΄. Ἄννα ἡ θυγάτηρ Φανουήλ. ι΄. Μαρία ἡ Θεοτόκος.

* Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae fabulosae, indices apostolorum discipulorumque domini Dorotheo, Epiphanio, Hippolyto aliisque vindicatae (Bibliotheca Teubneriana), Leipzig 1907, σσ. 1-3.

# ΤΑ ΟΝΟΜΑΤΑ ΤΩΝ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ ΠΟΥ ΕΚΗΡΥΞΑΝ ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΚΑΙ ΠΩΣ ΕΤΕΛΕΙΩΘΗΣΑΝ*

**107** α΄. Σίμων Πέτρος[1] ὁ τῶν Ἀποστόλων κορυφαῖος, ὡς διὰ τῶν ἐπιστολῶν αὐτοῦ φαίνεται δηλῶν ἐν Πόντῳ καὶ **108** Γαλατίᾳ καὶ Καππαδοκίᾳ καὶ Βιθυνίᾳ[2] καὶ ἐν Ἰταλίᾳ, [Ἀσίᾳ καὶ ἐν τῷ Ἰλλυρικῷ] ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὕστερον δὲ ἐν Ῥώμῃ ἐπὶ Νέρωνος βασιλέως σταυροῦται κατὰ κεφαλῆς[3], αὐτοῦ οὕτως παθεῖν ἀξιώσαντος, θάπτεται δὲ ἐν αὐτῇ τῇ Ῥώμῃ πρὸ τριῶν Καλανδῶν Ἰουλίων, ὅ ἐστιν Ἐπιφὶ ε΄.

β΄. Ἀνδρέας δὲ ὁ ἀδελφὸς αὐτοῦ[4], ὡς οἱ πρὸ ἡμῶν παραδεδώκασιν, ἐκήρυξε Σκύθαις καὶ Σογδιανοῖς καὶ Γορσίνοις καὶ ἐν Σεβαστοπόλει τῇ μεγάλῃ, ὅπου ἐστιν ἡ παρεμβολὴ Ἄψαρος καὶ Ὕσσου λιμὴν καὶ Φάσις ποταμός, ἔνθα οἰκοῦσιν **109** Αἰθίοπες, θάπτεται δὲ ἐν Πάτραις τῆς Ἀχαΐας σταυρῷ προσδεθεὶς ὑπὸ Αἰγέα τοῦ βασιλέως Πατρῶν.

γ΄. Ἰάκωβος δὲ ὁ τοῦ Ζεβεδαίου[5], ἀδελφὸς δὲ Ἰωάννου[6] τοῦ Εὐαγγελιστοῦ, ταῖς δώδεκα φυλαῖς τῆς διασπορᾶς[7] ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ὑπὸ δὲ Ἡρώδου τοῦ τετράρχου τῶν Ἰουδαίων ἀνῃρέθη μαχαίρᾳ καὶ ἐκεῖ ἐτάφη ἐν τῇ Ἰουδαίᾳ[8].

δ΄. Ἰωάννης δὲ ὁ ἀδελφὸς αὐτοῦ[9], ἐν μὲν τῇ Ἀσίᾳ ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ὑπὸ δὲ Τραϊανοῦ τοῦ βασιλέως τῶν Ῥωμαίων ἐξορισθεὶς ὑπ' αὐτοῦ ἐν Πάτμῳ τῇ νήσῳ, διὰ τοῦ λόγου τοῦ Κυρίου, ἐκεῖ ὢν συνέγραψε τὸ Εὐαγγέλιον τὸ κατὰ Ἰωάννην, καὶ ἐξέδοτο αὐτὸ διὰ Γαΐου **110** τοῦ ξενοδόχου, μετὰ δὲ τὴν Τραϊανοῦ τελευτὴν ἐπάνεισιν ἀπὸ τῆς νήσου εἰς τὴν

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae... σσ. 107- 117.

**1.** Πρβλ. Ματθ. 10,2. Ἰω. 6,68. **2.** Πρβλ. Α' Πέτρ. 1,1. **3.** Πρβλ. Ἰω. 21,18. **4.** Πρβλ. Ἰω. 1,40. **5.** Πρβλ. Ματθ. 4,21. **6.** Πρβλ. Μάρκ. 1,19. **7.** Πρβλ. Ἰακ. 1,1. **8.** Πρβλ. Πράξ. 12, 1-2. **9.** Πρβλ. Ματθ. 4,21. 10,2. Μάρκ. 10,35. Λουκ. 5,10.



Ἔφεσον καὶ ἐκεῖ ζῶντα ἑαυτὸν ἔθαψεν, ὢν ἐτῶν ρκ΄ τῇ τοῦ Θεοῦ βουλήσει.

ε΄. Φίλιππος[1] δὲ ὁ ἀπόστολος· οὗτος ἦν ἀπὸ Βηθσαιδὰ ἐκ τῆς κώμης Πέτρου καὶ Ἀνδρέου, ἐν δὲ τῇ ἄνω Φρυγίᾳ ἐκήρυξε τὸ Εὐαγγέλιον, θνήσκει δὲ ἐν Ἱεραπόλει καὶ ἐκεῖ θάπτεται ἐνδόξως μετὰ τῶν αὐτοῦ.

ϛ΄. Βαρθολομαῖος[2] δὲ ὁ ἀπόστολος Ἰνδοῖς τοῖς καλουμένοις Εὐδαίμοσιν ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ καὶ τὸ κατὰ Ματθαῖον ἅγιον Εὐαγγέλιον αὐτοῖς τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν συγγράψας ἐκοιμήθη δὲ ἐν Ἀλβανίᾳ πόλει τῆς μεγάλης Ἀρμενίας καὶ ἐκεῖ ἐτάφη.

**111** ζ΄. Θωμᾶς[3] δὲ ὁ ἀπόστολος, καθὼς ἡ παράδοσις περιέχει, ἦν μὲν ἀπὸ τῆς Πανιάδος πόλεως τῆς Γαλιλαίας, Πάρθοις δὲ καὶ Μήδοις ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου, καὶ Πέρσαις δὲ καὶ Γερμανοῖς καὶ Ὑρκανοῖς καὶ Ἰνδοῖς καὶ Βάκτροις καὶ Μάγοις, ἐκοιμήθη ἐν πόλει Καλαμηνῇ τῆς Ἰνδικῆς.

η΄. Ματθαῖος[4] δὲ ὁ Εὐαγγελιστὴς ἦν ἀπὸ Ἱερουσαλὴμ καὶ ἐκεῖ συνέγραψε τὸ Εὐαγγέλιον τοῦ Κυρίου τῇ ἑβραΐδι διαλέκτῳ, καὶ ἐξέδωκεν αὐτὸ τοῖς ἁγίοις Ἀποστόλοις καὶ ἑρμηνεύων αὐτὸ Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου, ἐκοιμήθη δὲ ἐν Ἱεραπόλει τῆς Παρθίας καὶ θάπτεται ἐκεῖ.

**112** θ΄. Ἰάκωβος [ὁ ἐπικληθεὶς Θαδδαῖος], ἀδελφὸς τοῦ Κυρίου[5] γενόμενος τὸ κατὰ σάρκα, ὃς καὶ πρῶτος ἐν Ἱεροσολύμοις κατεστάθη ἐπίσκοπος ὑπὸ τῶν Ἀποστόλων· προφάσεως δὲ γενομένης ζητημάτων τοῖς Ἰουδαίοις λίθοις ὑπ' αὐτῶν βληθεὶς ἐκοιμήθη ἐν Ἱερουσαλὴμ καὶ ἐκεῖ ἐτάφη πλησίον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως.

Σίμων ὁ ζηλωτὴς[6] πᾶσαν τὴν Μαυριτανίαν καὶ τὴν τῶν Ἀφρῶν χώραν διελθὼν καὶ κηρύξας τὸν Χριστόν, ὕστερον δὲ ἐν Βρεττανίᾳ ὑπ' αὐτῶν σταυρωθεὶς καὶ τελειωθεὶς θάπτεται ἐκεῖ.

ι΄. Θαδδαῖος[7] δὲ ὁ καὶ Λεββαῖος, ὁ ἀδελφὸς αὐτοῦ, ὁ ἐπικληθεὶς Ἰούδας Ἰακώβου[8] Ἐδεσσηνοῖς καὶ πάσῃ τῇ Μεσοποτα-

---

**1.** Πρβλ. Ἰω. 1,44. **2.** Πρβλ. Ματθ. 10,3. Πράξ. 1,13. **3.** Πρβλ. Ματθ. 10,3. **4.** Ἔνθ' ἀν. **5.** Πρβλ. Μάρκ. 6,3. Ματθ. 13,55. Γαλ. 1,19. **6.** Πρβλ. Ματθ. 10,4. **7.** Πρβλ. Ματθ. 10,3. **8.** Πρβλ. Λουκ. 6,16.

μιᾳ ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου καὶ ἐπὶ Αὐγάρου τοῦ βασιλέως Ἐδεσσηνῶν, ἐτελεύτησε δὲ ἐν Βηρυτῷ καὶ ἐκεῖ ἐτάφη ἐνδόξως.

**113** ια΄. Ἰούδας ὁ ἀδελφὸς τοῦ Κυρίου[1] μετὰ Ἰάκωβον τὸν ἑαυτοῦ ἀδελφὸν[2] καὶ Συμεὼν ἐξάδελφον τοῦ Κυρίου, λιπὼν δὲ αὐτὸν ἐπίσκοπον ἐν Ἱεροσολύμοις ἔτη ζ΄, ἐκήρυξε δὲ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, ἐποίησε δὲ καὶ καθολικὴν ἐπιστολήν, καὶ πρώην ἔσχε δύο υἱοὺς Ἰάκωβον καὶ Ζωκήρ, ἀπέθανε δὲ ἐν Ἱερουσαλὴμ ἐνδόξως.

[ια΄. Σίμων ὁ ἐπικληθεὶς Ἰούδας, ὁ καὶ ἐπίσκοπος γενόμενος μετὰ τελευτὴν Ἰακώβου ἐν Ἱερουσαλὴμ ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως σταυρῷ προσδεθεὶς ἐτελειώθη ἐν Ὀστρακίνῃ τῆς Αἰγύπτου ζήσας ἔτη ρκ΄.]

[ια΄. Σίμων[3] ὁ Καναναῖος ὁ τοῦ Κλωπᾶ, ὁ καὶ Ἰούδας μετὰ Ἰάκωβον τὸν δίκαιον ἐπίσκοπος γέγονεν ἐν Ἱεροσολύμοις καὶ ζήσας ρκ΄ ἔτη σταυρῷ παραδοθεὶς ἐμαρτύρησεν ἐπὶ Τραϊανοῦ βασιλέως.]

ιβ΄. Ματθίας[4] δὲ εἷς ὢν τῶν ο΄ μαθητῶν ὃν ἀνέδειξεν **114** ὁ Κύριος ἡμῶν μετὰ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν, ὃς καὶ συγκατεριτμήθη μετὰ τῶν ἕνδεκα Ἀποστόλων ἀντὶ Ἰούδα τοῦ Ἰσκαριώτου, ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου ἡμῶν ἐν τῇ ἔξω Αἰθιοπίᾳ καὶ ἐκεῖ ἐμαρτύρησεν ὑπὸ τῶν Αἰθιόπων ἐπὶ Ἴσσου λιμένα.

ιγ΄. Παῦλος δὲ ὁ ἀπόστολος[5] μετὰ τὴν εἰς οὐρανοὺς τοῦ Κυρίου ἀνάληψιν ἤρξατο κηρύσσειν τὸ Εὐαγγέλιον τοῦ Κυρίου ἀρξάμενος ἀπὸ Ἱεροσολύμων προῆλθεν ἕως τοῦ Ἰλλυρικοῦ καὶ τῆς Ἰταλίας καὶ Ἱσπανίας, οὗ καὶ ἐπιστολαὶ μετὰ σοφίας παρ᾽ ἡμῖν φέρονται. Ἐπὶ δὲ Νέρωνος υἱοῦ Κλαυδίου βα**115**σιλέως ἐν πόλει Ῥώμῃ τὴν κεφαλὴν ἀπετμήθη, ἐμαρτύρησεν Ἐπιφὶ ε΄, πρὸ γ΄ Καλανδῶν Ἰουλίων· καὶ ἐκεῖ ἐτάφη πλησίον τοῦ ἁγίου ἀποστόλου Πέτρου[6], ἐκεῖ εἰσιν ἕως σήμερον ἐν Χριστῷ.

[Μαρτύριον Παύλου τοῦ ἀποστόλου[7]. Ἐπὶ Νέρωνος τοῦ

1. Πρβλ. Ματθ. 13,55. Μάρκ. 6,3. 2. Ἐνθ᾽ ἀν. 3. Πρβλ. Ματθ. 10,4. Μάρκ. 3,18. Λουκ. 6,15. 4. Πρβλ. Πράξ. 1,23. 5. Πρβλ. Α΄ Κορ. 1,1. Γαλ. 1,1. Κολ. 1,23. 6. Πρβλ. Α΄ Πέτρ. 1,1. 7. Πρβλ. Α΄ Κορ. 1,1.



Καίσαρος Ῥωμαίων ἐμαρτύρησεν αὐτόθι Παῦλος ὁ ἀπόστολος ξίφει τὴν κεφαλὴν ἀποτμηθεὶς ἐν τῷ τριακοστῷ καὶ ἕκτῳ ἔτει τοῦ σωτηρίου πάθους, τὸν καλὸν ἀγῶνα ἀγωνισάμενος ἐν Ῥώμῃ πέμπτῃ ἡμέρᾳ κατὰ Συρομακεδόνας Πανέμου μηνός, ὅστις λέγεται παρ᾽ Αἰγυπτίοις Ἐπιφί, παρὰ δὲ Ῥωμαίοις πρὸ τριῶν Καλανδῶν Ἰουλίων μηνὶ Ἰουνίῳ, καθ᾽ ἣν ἐτελειώθη ὁ ἅγιος ἀπόστολος τῷ κατ᾽ αὐτὸν μαρτυρίῳ ἑξηκοστῷ καὶ ἐνάτῳ ἔτει τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας. Ἔστιν οὖν ὁ πᾶς χρόνος, ἐξ οὗ ἐμαρτύρησε τριακόσια τριάκοντα ἔτη μέχρι τῆς παρούσης ταύτης ὑπατείας, τετάρτης μὲν Ἀρκαδίου, τρίτης δὲ Ὀνωρίου τῶν δύο ἀδελφῶν αὐτοκρατόρων Αὐγούστων, ἐνάτης ἰνδικτιῶνος τῆς πεντεκαιδεκαετηρικῆς περιόδου μηνὸς Ἰουνίου εἰκοστῆς ἐνάτης ἡμέρας].

ιδ΄. Μάρκος[1] ὁ Εὐαγγελιστὴς ἦν μὲν Κυρηναῖος τῆς Λιβύης, ἐκήρυξε δὲ τὸ Εὐαγγέλιον Ἀλεξανδρεῦσι καὶ πάσῃ τῇ περιχώρῳ αὐτῶν ἕως Πενταπόλεως καὶ ἐν πάσῃ τῇ Αἰγύπτῳ ἐκδοθὲν ὑπὸ Πέτρου τοῦ ἀποστόλου μετέδωκε τὸ τῆς εὐσε**116**βείας μυστήριον ἐν τῇ μεγαλοπόλει Ἀλεξανδρείᾳ συρθεὶς ἐν σχοινίοις ἐτελεύτησε καὶ τεφρωθεὶς ὑπὸ τῶν εἰδωλομανῶν Ἑλλήνων ἐν τοῖς Βουκόλου τόποις κατετέθη καί ἐστιν ἕως σήμερον, ἐστὶ δὲ ἡ ἡμέρα τῆς κοιμήσεως αὐτοῦ Φαρμουθὶ Κ[ύριε], ὅ ἐστιν Ἀπρίλλιος.

Μάρκος[2] ὁ Εὐαγγελιστὴς καὶ πρῶτος Ἀλεξανδρείας ἐπίσκοπος Ἀλεξανδρεῦσι καὶ πάσῃ τῇ περιχώρᾳ αὐτῆς ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου, ἀπὸ Αἰγύπτου καὶ μέχρι Πενταπόλεως· ἐπὶ δὲ τῆς βασιλείας Τραϊανοῦ ἐν Ἀλεξανδρείᾳ ⟨Βου⟩κόλων λαβὼν κατὰ τοῦ τραχήλου καὶ συρεὶς ἀπὸ τῶν καλουμένων Βουκόλου τόπων ἕως τῶν καλουμένων Ἀγγέλων, ἐκεῖ ἐκάη πυρὶ ἀπὸ τῶν εἰδωλομανῶν μηνὶ Φαρμουθὶ λ΄ καὶ ἐκεῖ ἐτάφη ἐν τοῖς Βουκόλου.

Μάρκος[3] ὁ Εὐαγγελιστὴς Ἀλεξανδρεῦσι καὶ πάσῃ τῇ περιχώρῳ αὐτῆς ἕως τῆς Πενταπόλεως κηρύξας τὸ Εὐαγγέλιον τοῦ Κυρίου, θάπτεται ἐν Ἀλεξανδρείᾳ ἐν τοῖς Βουκόλων μετὰ Ἴκταρος τοῦ ἐν τῇ Λύκῳ πρωτομάρτυρος, ὃν Ἀλέξανδρος κατήνεγκε καὶ ἔθηκεν, ἔνθα πάντες οἱ ἐπίσκοποι κεῖνται.

1. Πρβλ. Πράξ. 12,12. 2. Πρβλ. Πράξ. 12,12. 3. Ἐνθ᾽ ἀν.

ιε΄. Λουκᾶς[1] δὲ ὁ Εὐαγγελιστής, ἰατρὸς μὲν τὴν τέχνην, αὐτὸς δὲ συνέγραψε τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον, κατ᾽ ἐπιτροπὴν Παύλου[2] τοῦ ἀποστόλου. Ἐκηρύχθη δὲ ἐν Ἑλλάδι καὶ ἐν Ῥώμῃ καὶ ἐν Ἰταλίᾳ, ἔγραψε δὲ καὶ τὰς Πράξεις τῶν Ἀποστόλων κατ᾽ ἐπιτροπὴν Παύλου[3] τοῦ ἀποστόλου, συναπεδήμει **117** γὰρ τοῖς Ἀποστόλοις, μάλιστα τῷ ἁγίῳ Παύλῳ, ὃς καὶ μνημονεύων ὁ μακάριος Παῦλος ἐν Ἐπιστολαῖς γράφει· ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ἐν Κυρίῳ[4], ἐπίσκοπος Θηβῶν ἐκεῖ ἀπέθανεν καὶ ἐτάφη.

Λουκᾶς[5] ὁ Εὐαγγελιστὴς Ἀντιοχεὺς μὲν τὸ γένος ἦν, ἰατρὸς δὲ τὴν τέχνην, συνεγράψατο δὲ τὸ μὲν Εὐαγγέλιον κατ᾽ ἐπιτροπὴν Πέτρου[6] τοῦ ἀποστόλου, τὰς δὲ Πράξεις τῶν Ἀποστόλων κατ᾽ ἐπιτροπὴν Παύλου[7] τοῦ ἀποστόλου· συναπεδήμησε γὰρ τοῖς Ἀποστόλοις καὶ μάλιστα τῷ Παύλῳ[8], οὗ καὶ μνημονεύσας ὁ Παῦλος ἔγραψεν ἐν ἐπιστολῇ· ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς ἐν Κυρίῳ[9]. Ἀπέθανε δὲ ἐν Ἐφέσῳ καὶ ἐτάφη ἐκεῖ, μετετέθη δὲ ὕστερον ἐν Κωνσταντινουπόλει μετὰ καὶ Ἀνδρέου καὶ Τιμοθέου[10] τῶν Ἀποστόλων· κατὰ τοὺ⟨ς⟩ καιροὺς Κωνσταντίου τοῦ βασιλέως υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου.

Ἔστιν ὁ διηγούμενος τὰς Πράξεις τῶν ἀποστόλων Λουκᾶς ὁ Εὐαγγελιστής[11]. Ἀντιοχεὺς γὰρ οὗτος ὑπάρχων τὸ γένος, ἰατρὸς δὲ τὴν ἐπιστήμην[12], συναπεδήμει τοῖς Ἀποστόλοις καὶ μάλιστα τῷ Παύλῳ, καὶ εἰδὼς ἀκριβῶς γράφει· διηγεῖται δέ· ὡς ἀγγέλων ὑπολαβόντων ἀνελήφθη ὁ Κύριος[13] καὶ τὴν τοῦ Ἁγίου Πνεύματος ἔκχυσιν γενομένην ἐν τῇ Πεντηκοστῇ ἐπί τε τοῖς Ἀποστόλοις καὶ πάντας τοὺς τότε παρόντας[14], τήν τε κατάστασιν τοῦ Ματθία ἀντὶ Ἰούδα τοῦ προδότου[15] καὶ τὴν κατάστασιν τῶν ἑπτὰ διακόνων[16] καὶ τὴν ἐκλογὴν τοῦ Παύλου[17] καὶ ὅσα ἔπαθεν, καὶ ὅσα οἱ Ἀπόστολοι διὰ προσευχῆς καὶ τῆς εἰς αὐτὸν τὸν Χριστὸν πίστεως ἐθαυματούργησαν.

---

**1.** Πρβλ. Κολ. 4,14. **2.** Πρβλ. Ρωμ. 1,1. **3.** Ἔνθ᾽ ἀν. **4.** Πρβλ. Κολ. 4,14. **5.** Ἔνθ᾽ ἀν. **6.** Πρβλ. Α΄ Πέτρ. 1,1. **7.** Πρβλ. Ρωμ. 1,1. **8.** Ἔνθ᾽ ἀν. **9.** Πρβλ. Κολ. 4,14. **10.** Πρβλ. Ματθ. 4,18. Πράξ. 16,1. **11.** Πρβλ. Β΄ Τιμ. 4,11. **12.** Πρβλ. Κολ. 4,14. **13.** Πρβλ. Λουκ. 9,51. **14.** Πρβλ. Πράξ. 2,1. **15.** Πρβλ. Πράξ. 1,23. **16.** Πρβλ. Πράξ. 6,3. **17.** Πρβλ. Α΄ Κορ. 1,1.

## ΠΕΡΙ ΤΩΝ Ο΄ ΑΠΟΣΤΟΛΩΝ*

**118** α΄. Ἰάκωβος[1] ὁ ἀδελφὸς τοῦ Κυρίου τὸ κατὰ σάρκα, ὁ καὶ ἐπικληθεὶς δίκαιος καὶ πρῶτος ἐπίσκοπος Ἱεροσολύμων χειροτονηθείς, λίθοις βληθεὶς ὑπὸ τῶν Ἰουδαίων ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ ἐκοιμήθη καὶ ἐκεῖ ἐτάφη ἐν τῷ ναῷ πλησίον τῶν ἱερέων.

β΄. Τιμόθεος[2] ὁ ὑπὸ Παύλου ἐπίσκοπος γενόμενος Ἐφέσου ἐν τῷ Ἰλλυρικῷ καὶ ἐν ἁπάσῃ τῇ Ἑλλάδι ἀρξάμενος ἀπὸ Ἐφέσου, ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· ἐκεῖ οὖν ἀπέθανε καὶ ἐκεῖ ἐτάφη ἐνδόξως.

γ΄. Τίτος[3] ὁ ἐπίσκοπος Κρήτης αὐτῇ τῇ Κρήτῃ, ταῖς τε πέριξ νήσοις ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, κἀκεῖσε ἀποθανὼν ἐτάφη ἐνδόξως.

δ΄. Βαρνάβας[4] ὁ μετὰ Παύλου τῷ λόγῳ διακονήσας πρῶτος ἐν Ῥώμῃ τὸν Χριστὸν ἐκήρυξε· μετέπειτα δὲ Μεδιολάνων ἐπίσκοπος ἐγένετο.

ε΄. Ἀνανίας[5] ὁ βαπτίσας τὸν Ἅγιον Παῦλον Δαμασκοῦ ἐπίσκοπος ἐγένετο.

ς΄. Στέφανος[6] ὁ πρωτομάρτυς, ὁ εἷς τῶν ἑπτὰ διακόνων, λιθοβληθεὶς ἐτελειώθη ὑπὸ τῶν Ἰουδαίων ἐν Ἱερουσαλήμ, ὡς Λουκᾶς μαρτυρεῖ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων.

**119** ζ΄. Φίλιππος[7] ὁ καὶ αὐτὸς εἷς τῶν ἑπτά, ὁ καὶ Σίμωνα[8] ⟨καὶ⟩ τὸν εὐνοῦχον[9] βαπτίσας ἐν Τράλλεσι τῆς Ἀσίας ἐπίσκοπος γέγονεν.

η΄. Πρόχωρος[10] ὁ καὶ αὐτὸς εἷς τῶν ἑπτά, Νικομηδείας τῆς κατὰ Βιθυνίαν ἐπίσκοπος γέγονεν.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Prophetarum vitae... σσ. 118-127.

**1.** Πρβλ. Γαλ. 1,19. **2.** Πράξ. 16,1-3. Α΄ Κορ. 4,17. 16,10. Κολ. 1,2. Φιλιπ. 1,1. Α΄ Θεσ. 1,1. Α΄ Τιμ. 1,2. **3.** Πρβλ. Τιτ. 1,4-5. **4.** Πρβλ. Πράξ. 9,27. 11, 22-26. **5.** Πρβλ. Πράξ. 9,10. **6.** Πρβλ. Πράξ. 6,5 ἑξ. 7,1 ἑξ. **7.** Πρβλ. Πράξ. 6,5. **8.** Πρβλ. Πράξ. 8, 12-13. **9.** Πρβλ. Πράξ. 8, 26-39. **10.** Πρβλ. Πράξ. 6,5.

θ'. Νικάνωρ[1] ὁ καὶ αὐτὸς εἷς τῶν ἑπτά, κατ' αὐτὴν τὴν ἡμέραν καὶ αὐτὸς τὸν βίον ἐξετέλεσε, καθ' ἣν καὶ ὁ συνδιάκονος αὐτοῦ καὶ πρωτομάρτυς Στέφανος[2] σὺν δισχιλίοις ἄλλοις τῶν ἠλπικότων εἰς Χριστόν.

ι'. Σίμων[3] ὁ καὶ αὐτὸς εἷς τῶν ἑπτά, ὁ καὶ ἐπίσκοπος Βόστρων Ἀράβων γενόμενος· ἐκαύθη ὑπὸ τῶν Ἑλλήνων.

ια'. Παρμενᾶς[4] ὁ καὶ αὐτὸς εἷς τῶν ἑπτά, οὗτος ἐπ' ὄψεσι τῶν Ἀποστόλων ἀπέθανεν ἐν τῇ διακονίᾳ αὐτοῦ.

ιβ'. Νικόλαος[5] ὁ καὶ αὐτὸς εἷς τῶν ἑπτά, οὗτος γέγονε μὲν Σαμαρείας ἐπίσκοπος· ἑτεροδοξήσας δὲ ἅμα τῷ Σίμωνι ἀπέστη.

ιγ'. Κλεόπας[6] ὁ καὶ Συμεὼν ὁ ἀνεψιὸς τοῦ Κυρίου, ὃς καὶ εἶδεν αὐτὸν καὶ ὡμίλησεν ἅμα καὶ τῷ Λουκᾷ συνοδεύσας μετὰ τὸ ἀναστῆναι τοῦτον ἐκ τῶν νεκρῶν[7], ὡς ἐν τῷ **120** Εὐαγγελίῳ γέγραπται· οὗτος ἐπίσκοπος Ἱεροσολύμων ἐγένετο δεύτερος.

ιδ'. Σίλας[8] ὁ μετὰ Παύλου τῷ λόγῳ διακονήσας ἐν Κορίνθῳ ἐπίσκοπος γέγονεν.

ιε'. Κρήσκης[9], οὗ μέμνηται ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ ἐπιστολῇ, ὁ καὶ ἐπίσκοπος Χαλκηδόνος τῶν ἐν Γαλλίαις γενόμενος ἐκεῖ ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ· ἐπὶ δὲ Τραϊανοῦ βασιλέως καὶ ἐμαρτύρησε καὶ ἐτάφη ἐκεῖ.

ις'. Ἐπαινετός[10], οὗ ὁ ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐπίσκοπος Καρθαγένης ἐγένετο.

ιζ'. Ἀνδρόνικος[11], οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ μέμνηται, ἐπίσκοπος Παννονίας ἐγένετο.

ιη'. Ἀμπλίας[12], οὗ καὶ αὐτοῦ μέμνηται ὁ Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐπίσκοπος Ὀδυσσοῦ ἐγένετο.

ιθ'. Οὐρβανός[13], οὗ καὶ αὐτοῦ μέμνηται ὁ Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐπίσκοπος Μακεδονίας ἐγένετο.

κ'. Στάχυς[14], οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ μέμνηται

---

**1.** Πρβλ. Πράξ. 6,5. **2.** Πρβλ. Πράξ. 7, 50-60. **3.** Πρβλ. Πράξ. 6,5. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Πρβλ. Ἰω. 19,25. **7.** Πρβλ. Λουκ. 24,18. **8.** Πρβλ. Πράξ. 15,22. **9.** Πρβλ. Β' Τιμ. 4,10. **10.** Πρβλ. Ρωμ. 16,5. **11.** Πρβλ. Ρωμ. 16,7. **12.** Πρβλ. Ρωμ. 16,8. **13.** Πρβλ. Ρωμ. 16,9. **14.** Ἔνθ' ἀν.



ὁ Παῦλος, ἐπίσκοπος πρῶτος Βυζαντίου κατέστη ὑπὸ Ἀνδρέου τοῦ Ἀποστόλου ἐν Ἀργυρουπόλει τῆς Θράκης.

κα'. Ἀπελλῆς[1], οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ **121** Παῦλος μέμνηται, ἐπίσκοπος Σμύρνης ἐγένετο πρὸ τοῦ ἁγίου Πολυκάρπου.

κβ'. Ἀριστόβουλος[2], οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Βρεττανίας ἐγένετο.

κγ'. Νάρκισσος[3], οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ αὐτὸς μέμνηται, ἐπίσκοπος Ἀθηνῶν ἐγένετο.

κδ'. Ἡρωδίων[4], οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ αὐτὸς μέμνηται, ἐπίσκοπος Πατρῶν ἐγένετο.

κε'. Ῥοῦφος[5], οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ, ὁ αὐτὸς μέμνηται, ἐπίσκοπος Θηβῶν ἐγένετο.

κς'. Ἀσύγκριτος[6] οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ αὐτὸς μέμνηται, ἐπίσκοπος ⟨Ὑρκανίας γέγονεν.⟩

κζ'. Φλέγων[7], οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ αὐτὸς μέμνηται, ἐπίσκοπος Μαραθῶνος γέγονεν.

κη'. Ἑρμῆς[8], ⟨οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ αὐτὸς μέμνηται Ἀπόστολος, ἐπίσκοπος Δαλματίας ἐγένετο.

κθ'. Ἑρμᾶς[9], οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ αὐτὸς μέμνηται ἀπόστολος⟩, ἐπίσκοπος Φιλίππων πόλεως ἐγένετο.

**122** λ'. Πατρόβας[10], οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος Παῦλος μέμνηται, ἐπίσκοπος ἐν [Νε] Ποτιόλοις ἐγένετο.

λα'. Ἄγαβος[11], ὁ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων μνημονευόμενος, οὗτος καὶ προφητικοῦ ἠξιώθη χαρίσματος.

λβ'. Λῖνος[12], οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος Παῦλος μέμνηται, πρῶτος ἐπίσκοπος Ῥώμης μετὰ Πέτρον τὸν κορυφαῖον ἐγένετο.

λγ'. Γάϊος[13], οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος Παῦλος μέμνηται, ἐπίσκοπος Ἐφέσου μετὰ Τιμόθεον γέγονεν.

λδ'. Φιλόλογος[14], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Σινώπης ὑπὸ Ἀνδρέου ἐγένετο.

---

**1.** Πρβλ. Ρωμ. 16,10. **2.** Πρβλ. Ρωμ. 16,10. **3.** Πρβλ. Ρωμ. 16,11. **4.** Πρβλ. Ρωμ. 16,10. **5.** Πρβλ. Ρωμ. 16,13. **6.** Πρβλ. Ρωμ. 16,14. **7.** Ἔνθ' ἀν. **8.** Ἔνθ' ἀν. **9.** Ἔνθ' ἀν. **10.** Πρβλ. Ρωμ. 16,14. **11.** Πρβλ. Πράξ. 11,28. **12.** Πρβλ. Β' Τιμ. 4,21. **13.** Πρβλ. Ρωμ. 16,23. Πράξ. 19,29. **14.** Πρβλ. Ρωμ. 16,15.

λε΄. Ὀλυμπᾶς[1], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, οὗτος ἐν Ῥώμῃ ἅμα Πέτρῳ τῷ κορυφαίῳ ἐμαρτύρησε τὴν κεφαλὴν ἀποτμηθείς.

λς΄. Ῥωδίων[2], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, καὶ αὐτὸς ὁμοίως ἐν Ῥώμῃ μετὰ Πέτρου καὶ Ὀλυμπᾶ τῷ μαρτυρίῳ ἐτελειώθη τὴν κεφαλὴν καὶ αὐτὸς ἀποτμηθείς.

λη΄. Ἰάσων[3], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Ταρσοῦ ἐγένετο.

**123** λθ΄. Σωσίπατρος[4], οὗ καὶ αὐτοῦ ὁμοίως ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Ἰκονίου ἐγένετο.

μ΄. Λούκιος[5], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος ἐν Λαοδικείᾳ τῆς Συρίας ἐγένετο.

μα΄. Τέρτιος[6] ὁ κατ' αὐτὴν τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου γράψας ἐπίσκοπος δεύτερος Ἰκονίου ἐγένετο.

μβ΄. Ἔραστος[7], οὗ καὶ αὐτοῦ μέμνηται Παῦλος ἐν τῇ αὐτῇ ἐπιστολῇ, οἰκονόμος τῆς ἐν Ἱεροσολύμοις Ἐκκλησίας ἐγένετο, ἔπειτα ἐπίσκοπος Πανεάδος ἐγένετο.

μγ΄. Φύγελος[8], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται ὡς ἑτεροδοξήσαντος καὶ τὰ Σίμωνος φρονήσαντος, ἐπίσκοπος Ἐφέσου γέγονεν.

μδ΄. Ἑρμογένης[9], οὗ καὶ αὐτοῦ ὁ Παῦλος ὁμοίως ὡς ἑτεροδοξήσαντος μέμνηται, ἐπίσκοπος ἐν Μεγάροις ἐγένετο.

με΄. Δημᾶς[10], οὗ καὶ αὐτοῦ ὁμοίως ὁ ἀπόστολος Παῦλος μέμνηται ὡς ἀποστήσαντος· δηλοῖ γὰρ περὶ τῶν τριῶν ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ αὐτοῦ ἐπιστολῇ, ὅτι ἑτεροδοξήσαντες Φύγελος καὶ Ἑρμογένης ἀντέστησαν τῇ διδασκαλίᾳ αὐτοῦ[11]. Ὁ δὲ Δημᾶς «ἀγαπήσας τὸν νῦν αἰῶνα»[12] κατέλιπε τὸν εὐαγγελικὸν λόγον, καὶ ἐν Θεσσαλονίκῃ ἱερεὺς τῶν εἰδώλων ἐγένετο. Περὶ τούτων καὶ Ἰωάννης ὁ ἀπόστολος ἔγραψεν· «ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν»[13].

μς΄. Κουᾶρτος[14], οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Βηρυτοῦ ἐγένετο.

**1.** Πρβλ. Ρωμ. 16,15. **2.** Πρβλ. Ρωμ. 16,11. **3.** Πρβλ. Ρωμ. 16,21. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Πρβλ. Ρωμ. 16,22. **7.** Πρβλ. Ρωμ. 16,23. **8.** Πρβλ. Β΄ Τιμ. 1,15. **9.** Ἔνθ' ἀν. **10.** Πρβλ. Β΄ Τιμ. 4,10. **11.** Πρβλ. Β΄ Τιμ. 1,15. **12.** Β΄ Τιμ. 4,10. **13.** Α΄ Ἰω. 2,19. **14.** Πρβλ. Ρωμ. 16,23.



**124** μζ΄. Ἀπολλώς[1], οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Καισαρείας ἐγένετο.

μη΄. Κηφᾶς[2], ὃν ὁ ἀπόστολος Παῦλος ἐν Ἀντιοχείᾳ ἤλεγξε διαλεχθεὶς ὁμωνυμοῦντα τῷ Πέτρῳ, ἐπίσκοπος Κονίας ἐγένετο.

μθ΄. Σωσθένης[3], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Κολοφωνιάδος ἐγένετο.

ν΄. Ἐπαφρόδιτος[4], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Ἀδριακῆς ἐγένετο.

να΄. Καῖσαρ[5], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Δυῤῥαχίου ἐγένετο.

νβ΄. Μάρκος[6] ὁ ἀνεψιὸς Βαρνάβα, οὗ καὶ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Ἀπολλωνιάδος ἐγένετο.

νγ΄. Ἰωσὴφ ὁ λεγόμενος καὶ Ἰοῦστος[7] καὶ Βαρσαββᾶς[8], οὗ μέμνηται Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων ὡς συγκληρωθέντος τῷ Ματθίᾳ[9], ἐπίσκοπος Ἐλευθεροπόλεως γέγονε.

νδ΄. Ἀρτεμᾶς[10], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος ἐν Λύστρα ἐγένετο.

νε΄. Κλήμης[11], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, λέγων· «μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου»[12], ὃς καὶ πρῶ**125**τος ἐξ ἐθνῶν καὶ Ἑλλήνων ἐπίστευσεν εἰς Χριστόν, ἐπίσκοπος Σαρδικῆς ἐγένετο.

νς΄. Ὀνησιφόρος[13], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Κορωνείας ἐγένετο.

νζ΄. Τυχικός[14], οὗ καὶ αὐτοῦ μέμνηται ὁ Παῦλος, πρῶτος ἐπίσκοπος Χαλκηδόνος τῆς ἐν Βιθυνίᾳ ἐγένετο.

νη΄. Κάρπος[15], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Βεῤῥοίας τῆς Θράκης ἐγένετο.

νθ΄. Εὔοδος[16], [οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται], πρῶτος ἐπίσκοπος Ἀντιοχείας μετὰ Πέτρον τὸν κορυφαῖον ἐγένετο.

**1.** Πρβλ. Α΄ Κορ. 1,12. 3,4-6, 22. **2.** Πρβλ. Α΄ Κορ. 1,12. **3.** Πρβλ. Α΄ Κορ. 1,1. **4.** Πρβλ. Φιλιπ. 2,25. **5.** Πρβλ. Φιλιπ. 4,22. **6.** Πρβλ. Κολ. 4,10. **7.** Πρβλ. Κολ. 4,11. **8.** Πρβλ. Πράξ. 1,23. **9.** Πρβλ. Πράξ. 1,26. **10.** Πρβλ. Τίτ. 3,12. **11.** Πρβλ. Φιλιπ. 4,3. **12.** Ἔνθ' ἀν. **13.** Πρβλ. Β΄ Τιμ. 1,16. 4,19. **14.** Πρβλ. Ἐφ. 6,21. Κολ. 4,7. Β΄ Τιμ. 4,12. **15.** Β΄ Τιμ. 4,13. **16.** Ρωμ. 16,10.

ξ'. Φιλήμων, πρὸς ὃν ἐπιστολὴν ἰδίαν ὁ Παῦλος ἔγραψεν, ἐπίσκοπος Γάζης ἐγένετο.

ξα'. Ζηνᾶς[1] ὁ νομικός, οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Διοσπόλεως γέγονεν.

ξβ'. Ἀκύλας[2], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Ἡρακλείας ἐγένετο.

ξγ'. Πρίσκας[3], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Κολοφῶνος ἐγένετο.

ξδ'. Ἰουνίας[4], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται, ἐπίσκοπος Ἀπαμείας τῆς Συρίας ἐγένετο.

**126** ξε'. Μάρκος ὁ καὶ Ἰωάννης καλούμενος, οὗ μέμνηται ὁ Λουκᾶς[5] ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, ἐπίσκοπος Βίβλου ἐγένετο.

ξς'. Ἀρίσταρχος[6], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται.

ξζ'. Πούδης[7], οὗ καὶ αὐτοῦ ὁ Παῦλος μέμνηται.

ξη'. Τρόφιμος[8], οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος Παῦλος μέμνηται. Οὗτοι οἱ τρεῖς ἐν πᾶσι τοῖς διωγμοῖς τοῦ ἀποστόλου Παύλου συγκακοπαθήσαντες[9] αὐτῷ, τελευταῖοι καὶ διὰ μαρτυρίου σὺν ἐκείνῳ ἐτελειώθησαν ὑπὸ Νέρωνος τὰς κεφαλὰς σὺν ἐκείνῳ ἀποτμηθέντες.

Τούτοις συναριθμουμένων καὶ Μάρκου καὶ Λουκᾶ τοῦ Εὐαγγελιστοῦ ὁμοῦ ο'.

## ΠΑΡΑΡΤΗΜΑ
## ΠΕΡΙ ΤΙΜΟΘΕΟΥ, ΤΙΤΟΥ...

Τιμόθεος[10] ὁ ἐπίσκοπος Ἐφέσου κατασταθεὶς ὑπὸ τοῦ μακαρίου Παύλου ἐξ ἐθνῶν ἦν, οὐκ ἐκ περιτομῆς, ᾧ καὶ πολλὰ μαρτυρεῖ Παῦλος νουθετῶν τὴν καλὴν ὁμολογίαν τοῦ δοθέντος αὐτῷ χαρίσματος φυλάξαι, ὃς καὶ ἐνδόξως ἐκεῖ ἐμαρτύρησεν.

**127** Τίτος[11] ἐπίσκοπος Κρήτης αὐτοῖς τοῖς Κρησὶ καὶ ταῖς

**1.** Πρβλ. Τίτ. 3,13. **2.** Πρβλ. Ρωμ. 16,3. Α' Κορ. 16,19. Β' Τιμ. 4,19. **3.** Πρβλ. Ρωμ. 16,3. Α' Κορ. 16,19. Β' Τιμ. 4,19. **4.** Πρβλ. Ρωμ. 16,7. **5.** Πρβλ. Πράξ. 12,12,25. 15,37. **6.** Πρβλ. Κολ. 4,10. **7.** Πρβλ. Β' Τιμ. 4,21. **8.** Πρβλ. Β' Τιμ. 4,20. Πράξ. 20,4. 21,29. **9.** Πρβλ. Β' Τιμ. 1,8. **10.** Πρβλ. Α' Τιμ. 1, 1-3. **11.** Πρβλ. Τίτ. 1, 1-5.



πέριξ νήσοις ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου κἀκεῖ θανὼν ἐτάφη.

Κρήσκης[1] ἐν Γαλλίαις ἐκήρυξε τὸ Εὐαγγέλιόν τοῦ Κυρίου κἀκεῖ θάπτεται.

Ὁ εὐνοῦχος Κανδάκης[2] τῆς βασιλίσσης Αἰθιόπων ἐν Ἀραβίᾳ τῇ εὐδαίμονι καὶ ἐν Ταπροβάνῃ νήσῳ καὶ ἐν ὅλῃ τῇ ἐρυθρᾷ ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, λόγος δὲ ἔχει καὶ μεμαρτυρηκέναι αὐτὸν ἐνδόξως καὶ ταφῆναι ἐκεῖ· καί ἐστιν αὐτοῦ τὸ κοιμητήριον ὅπλον ἀκαταμάχητον τοῖς πιστοῖς ἀλιτηρίων βαρβάρων, φυγαδευτήριον νόσους ἀπελαῦνον καὶ ἰάματα ἐνεργοῦν ἕως καὶ σήμερον.

**1.** Πρβλ. Β' Τιμ. 4,10. **2.** Πρβλ. Πράξ. 8,27.

## ΤΑ ΟΝΟΜΑΤΑ ΤΩΝ ΙΒ' ΑΠΟΣΤΟΛΩΝ*

**232** Ταῦτα τὰ ὀνόματα τῶν ιβ' Ἀποστόλων.

α'. Πέτρος, οὗτος ἐλέγετο καὶ Σίμων καὶ Κηφᾶς καὶ Συμεών. β'. Ἀνδρέας ἀδελφὸς αὐτοῦ. γ'. Ἰάκωβος. δ'. Ἰωάννης, οὗτοι βοανεργὲς ἐκαλοῦντο, ὅ ἑρμηνεύεται υἱοὶ βροντῆς. ε'. Φίλιππος. ς'. Βαρθολομαῖος. ζ'. Ματθαῖος ὁ τελώνης. η'. Θωμᾶς, οὗτος καὶ Δίδυμος ἐκαλεῖτο. θ'. Ἰάκωβος Ἀλφαίου. ι'. Θαδδαῖος, οὗτος παρὰ μὲν τῷ Ματθαίῳ Λεββαῖος καλεῖται[1], παρὰ δὲ τῷ Λουκᾷ Ἰούδας Ἰακώβου[2], παρὰ δὲ τῷ Μάρκῳ Λευΐς[3] καθήμενος παρὰ τὸ τελώνιον. ια'. Σίμων ὁ Κανανίτης. ιβ'. Ἰούδας Ἰσκαριώτης, καὶ ἀντὶ τούτου Ματθίας εἰσῆλθεν.

Ἀδελφοὶ δὲ Πέτρος καὶ Ἀνδρέας, υἱοὶ Ἀννᾶς, καὶ Ἰάκωβος καὶ Ἰωάννης, υἱοὶ Ζεβεδαίου, Ἰάκωβος καὶ Ἰούδας, υἱοὶ Ἀλφαίου, ἁλιεῖς. Πέτρος καὶ Ἀνδρέας, Ἰάκωβος καὶ Ἰωάννης. Ἰάκωβος ὁ καλούμενος ἀδελφὸς τοῦ κυρίου, ποῖος ἦν ὁ γενόμενος ἐπίσκοπος Ἱερουσαλήμ, ὁ ἐπονομαζόμενος δίκαιος, ὁ εἷς ἦν υἱὸς Ζεβεδαίου καὶ ὁ ἕτερος Ἀλφαίου, καὶ ὁ ἄλλος τοῦ Ἰωσὴφ τοῦ μνήστορος, ὡς ἔλεγον Ἰουδαῖοι. Σίμωνα καὶ Ἰούδα, Ἰωσὴ τὸν ἀδελφόν, Ματθαῖος λέγει αὐτοὺς καλεῖσθαι τελῶνας[4], Λουκᾶς δὲ καὶ Λευΐν κεκλῆσθαι τελῶνα[5]. Ἰωνᾶς δὲ ἑρμηνεύεται περιστερά.

* Κατὰ τὴν ἔκδοσιν τοῦ Th. Schermann, Propheten- und Apostellegenden nebst Jüngerkatalogen (TU 31,3), Leipzig 1907, σ. 232.

**1.** Ματθ. 10,3. **2.** Λουκ. 6,16. **3.** Μάρκ. 2,14. **4.** Ματθ. 10,3. **5.** Λουκ. 5,27.

## ΜΑΡΤΥΡΙΑΙ*

τῶν θεοπνεύστων Γραφῶν καὶ ἁγίων
περὶ τῆς ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς μονογενοῦς
Θεοῦ Λόγου παρουσίας, καὶ τῶν δι' αὐτοῦ
γενομένων θαυμάτων
καὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως καὶ τῆς
δευτέρας καὶ μελλούσης ἐπιφανείας.

**10** α'

Ὅτι πρὸ αἰώνων ὁ Υἱὸς γεγέννηται.

Δαβὶδ ὁ μέγας πρῶτος λέγει ἐν τῷ ρθ' ψαλμῷ· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε»[1]. Καὶ ἡ Σοφία δὲ ὁμοίως λέγει· «Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι· καὶ πρὸ τοῦ τὰς ἀβύσσους· καὶ πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, καὶ πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με»[2]. Καὶ Δαβὶδ αὖθις λέγει ἐν οα' ψαλμῷ· «Συμπαραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν»[3].

β'

Ὅτι συνῆν τῷ Πατρί.

Μωυσῆς λέγει ἐν τῇ κτίσει τοῦ κόσμου· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»[4].

**12** γ'

Ὅτι συγκτίστης.

Ἡ Σοφία λέγει· «Ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ· καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον· καὶ ἡνίκα ἐπ' ἀνέμων ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη· καὶ ὡς ἀσφαλεῖς ἐπιτίθει πηγὰς τῆς ὑπ' οὐρανόν· καὶ ἡνίκα ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς

* Κατὰ τὴν ἔκδοσιν τοῦ S. A. Morcelli, Opusculum Sancti Epiphanii De Divina Inhumanatione, Mutinae 1828, σσ. 10-85.

**1.** Ψαλ. 109,3. **2.** Παρμ. 8, 23-25. **3.** Ψαλ. 71,5. **4.** Γεν. 1,26.

γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα»[1]. Καὶ Δαβὶδ ἐν τῷ λβ' ψαλμῷ λέγει· «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτοῦ»[2]. Καὶ πάλιν ἡ Σοφία λέγει· «Εἶδα τὰ ἔργα σου παροῦσα, ὅτε ἐποίεις τὸν κόσμον»[3].

δ'

Ὅτι ἀπεστάλη.

Ἡσαΐας λέγει· «Κύριος ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανόν, καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνοὴν τοῖς πατοῦσιν αὐτήν· ἐγὼ Κύριος ὁ Θεὸς ὁ καλέσας σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ' οἴκου φυλακῆς, καὶ καθημένους ἐν σκότει»[4]. Καὶ Μαλαχίας λέγει· «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, καὶ ἐπιβλέψεται ὁδόν»[5]· καὶ πάλιν· «Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με»[6]· καὶ ὁ Δαβὶδ ἐν τῷ ρς' ψαλμῷ λέγει· «Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς»[7].

**14** ε'

Ὅτι ἥξει.

Ἰακὼβ λέγει· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ· ἕως οὗ ἔλθῃ τὰ ἀποκείμενα· καὶ αὐτὸς προσδοκία ἐθνῶν»[8]. Μωυσῆς λέγει· «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν αὐτοῦ ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε πάντες, καὶ ἔσται»[9]· «ὃς ἂν μὴ ἀκούσῃ τοῦ Προφήτου ἐκείνου, ἐξολοθρευθήσεται εἰς τὸν αἰῶνα»[10]. Καὶ Ὠσηὲ λέγει· «Ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν· καὶ ἥξει ὡς ὑετὸς πρώϊμος καὶ ὄψιμος τῇ γῇ»[11]. Καὶ Ἀμὼς λέγει· «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσει τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσει τὰ πεπτωκότα αὐτῆς»[12]. Μιχαίας λέγει· «Ἐπὶ τὰς

**1.** Παρμ. 8, 27-30. **2.** Ψαλ. 32,6. **3.** Σ. Σολ. 9,9. **4.** Ἡσ. 42, 5-7. **5.** Μαλ. 3,1. **6.** Ἡσ. 61,1. **7.** Ψαλ. 106,20. **8.** Γεν. 49,10. **9.** Δευτ. 18,15. **10.** Δευτ. 18,19. **11.** Ὠσ. 6,3. **12.** Ἀμὼς 9,11.



κορυφὰς τῶν ὀρέων»[1] «ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ»[2]. Καὶ Ἰωὴλ λέγει· «Ἐκ Σιὼν ἀνακεκράξεται, καὶ ἐξ Ἱερουσαλὴμ δώσει φωνὴν αὐτοῦ»[3]· καὶ πάλιν· «Γνώσεσθε, ὅτι Κύριος ὁ Θεὸς ἡμῶν, καὶ κατασκηνώσει ἐν ὄρει ἁγίῳ αὐτοῦ»[4]· καὶ πάλιν· «Κύριος κατασκηνώσει ἐν Σιών»[5]· Ἀβδιοὺ λέγει· «Ἐν τῷ ὄρει Σιὼν ἔσται σωτηρία»[6]· «ἐγγὺς γὰρ ἡμέρα Κυρίου ἐπὶ πάντα τὰ ἔθνη»[7]. Ὁ δὲ Ἰωνᾶς ἀρκέσει τὸν τύπον τοῦ θανάτου δηλῶν. Καὶ Ναοὺμ λέγει· «Χρηστὸς ὁ Κύριος τοῖς **16** ὑπομένουσιν αὐτόν»[8], «ἰδοὺ γὰρ ἐγὼ ἐπὶ σέ, λέγει Κύριος παντοκράτωρ»[9].

Καὶ Ἀβακούμ· «Ἀνατέλει εἰς πέρας καὶ εἰς καιρόν· καὶ ἐὰν ὑστερήσει, ὑπόμεινον αὐτόν· Ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ χρονίσῃ»[10]. Καὶ πάλιν. «Ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσει»[11]· καὶ ὅτι «ὁ Θεὸς ἐκ Θεμὰν ἥξει»[12]· καὶ Σοφονίας λέγει· «Χαῖρε σφόδρα θύγατερ Σιών, κήρυττε θύγατερ Ἱερουσαλήμ· εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου· περιεῖλε Κύριος τὰ ἀνομήματά σου· λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου. Βασιλεὺς Κύριος ἐν μέσῳ σου, οὐκ ὄψῃ κακὰ οὐκέτι»[13]. Καὶ πάλιν· «Θάρσει Σιών, μὴ παρείσθωσαν αἱ χεῖρές σου· Κύριος ὁ Θεὸς δυνατὸς ἐν σοὶ σῶσαι σε»[14]. Καὶ Ἀγγαῖος λέγει· «Ἐγώ εἰμὶ μεθ' ὑμῶν, λέγει Κύριος, καὶ τὸ πνεῦμα μου ἐφέστηκεν ἐφ' ὑμᾶς»[15]. Καὶ Ζαχαρίας λέγει· «Χαῖρε σφόδρα θύγατερ Σιών, ὅτι ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος»[16]· καὶ πάλιν· «Ἰδοὺ ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατέλει»[17]· καὶ πάλιν· «Τάδε λέγει Κύριος παντοκράτωρ, ἐπιστρέψω ἐπὶ Σιών, καὶ κατασκηνώσω ἐν μέσῳ Ἱερουσαλήμ, καὶ κληθήσεται Ἱερουσαλὴμ πόλις ἀληθινή»[18]. Καὶ Μαλαχίας λέγει· «Βασιλεὺς μέγας ἐγώ εἰμί, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἔσται ἐν τοῖς ἔθ**18**νεσι»[19]· Καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ, λέγει Κύριος ὁ Θεός, ὃν ὑμεῖς θέλετε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν

**1.** Μιχ. 4,1. **2.** Μιχ. 4,2. **3.** Ἰωὴλ 4,16. **4.** Ἰωὴλ 4,17. **5.** Ἐνθ. ἀν. **6.** Ἀβδ. 17. **7.** Ἀβδ. 15. **8.** Ναούμ 1,7. **9.** Ναούμ 3,5. **10.** Ἀβ. 2,3. **11.** Ἀβ. 3,2. **12.** Ἀβ. 3,3. **13.** Σοφ. 3, 14-15. **14.** Σοφ. 3, 16-17. **15.** Ἀγγ. 2, 4-5. **16.** Ζαχ. 2,14. **17.** Ζαχ. 6,12. **18.** Ζαχ. 8,3. **19.** Μαλ. 1,14.

ὑμεῖς ζητεῖτε· ἰδοὺ ἔρχεται, λέγει Κύριος»[1]. «Ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις αὐτόν· ὄνομα αὐτοῦ ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ»[2].

Ἡσαΐας λέγει· «Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκείναις ἐμφανὲς ἔσται τὸ ὄρος Κυρίου· καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρου τῶν ὀρέων»[3]. «Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ»[4]. «Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ»[5]. Καὶ πάλιν· «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς μετὰ δόξης ἐπὶ τῆς γῆς»[6]. «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπὶ αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· καὶ ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ»[7]· καὶ πάλιν· «Βασιλέα μετὰ δόξης ὄψεσθε»[8]. «Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν»[9]. «Ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται»[10]· καὶ πάλιν· «Εἴπατε τῇ θυγατρὶ Σιών, ἰδοὺ ὁ Σωτήρ μου παραγίνεται ἔχων τὸν ἑαυτοῦ μισθόν»[11]· καὶ πάλιν· «Γνωσθήσεται ἡ χεὶρ Κυρίου τοῖς φοβουμένοις αὐτόν»· καὶ πάλιν[12]· «Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος **20** ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι»[13]· καὶ πάλιν· «Ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστί, καὶ ἐροῦσι, οὐκ ἔστι πλήν σου Θεός· σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ἤδειμεν»[14].

Καὶ Ἱερεμίας λέγει· «Πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς Κύριος»[15]· καὶ πάλιν· «Μνήσθητί μου Κύριε, καὶ ἐπίσκεψαί με· καὶ ἀθώωσόν με ἐκ τῶν καταδιωκόντων με»[16]· καὶ πάλιν· «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, ἔρχονται, καὶ ἀναστήσω τῷ Δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεύς, καὶ συνήσει, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς· ἐν ταῖς ἡμέραις αὐτοῦ σωθήσεται Ἰούδας, καὶ Ἱερουσαλὴμ κατασκηνώσει πεποιθὼς ἐπ' αὐτόν· καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ

**1.** Μαλ. 3,1. **2.** Μαλ. 3,20. **3.** Ἡσ. 2,2. **4.** Ἡσ. 2,3. **5.** Ἡσ. 3,14. **6.** Ἡσ. 4,2. **7.** Ἡσ. 11, 1-2. **8.** Ἡσ. 33,17. **9.** Ἡσ. 40,3. **10.** Ἡσ. 40,10. **11.** Ἡσ. 62,11. **12.** Ἡσ. 66,14. **13.** Ἡσ. 11,10. **14.** Ἡσ. 45,14-15. **15.** Θρ. Ἱερ. 4,20. **16.** Ἱερ. 15,15.



καλέσει αὐτὸν Ἰωσεδὲκ καὶ αὐτὸς ἐν τοῖς προφήταις»[1]· καὶ πάλιν· «Γνώσονται τὸν Προφήτην, ὃν ἀπέστειλεν αὐτοῖς Κύριος ἐν πίστει»[2]· καὶ πάλιν· «Προσεύξεσθε πρός με, καὶ εἰσακούσομαι ὑμῶν, ἐκζητήσετέ με, καὶ εὑρήσετέ με, ἐὰν ἐκζητήσετέ με ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐπιφανοῦμαι ὑμῖν»[3]· καὶ πάλιν. «Ἐρχόμενος Κύριος ἐπ' ὄρος δίκαιον, τὸ ἅγιον αὐτοῦ»[4].

Καὶ Ἰεζεκιὴλ λέγει· «Ἡ ὁμοίωσις τῶν προσώπων αὐτῶν τῶν τεσσάρων, πρόσωπον ἀνθρώπου, καὶ πρόσωπον λέοντος, καὶ πρόσωπον μόσχου, καὶ πρόσωπον ἀετοῦ τοῖς τέσσαρσι»[5]· καὶ πάλιν «Μνησθήσομαι ἐγὼ τῆς διαθήκης μου τῆς μετὰ σοῦ ἐν ἡμέραις νηπιότητός σου, καὶ ἀναστήσω σοι διαθήκην **22** αἰώνιον· καὶ μνησθήσῃ τὴν ὁδόν σου»[6]. Καὶ πάλιν· «Ἐξ ὄρους τοῦ ἁγίου μου, ἐπ' ὄρους ὑψηλοῦ, λέγει Κύριος, ἐκεῖ δουλεύσωσί μοι πᾶς οἶκος Ἰσραὴλ εἰς τέλος»[7]. Καὶ πάλιν· «Τάδε λέγει Κύριος, ἰδοὺ ἐγὼ ἐκζητήσω τὰ πρόβατά μου, καὶ ἐπισκέψομαι αὐτά, ὥσπερ ζητεῖ ὁ ποιμὴν τὸ ποίμνιον»[8]. Καὶ πάλιν· «Γνώσονται ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν, ἐν τῷ ἐπιφανῆναι με αὐτοῖς ἐν τοῖς ἔθνεσι»[9].

Καὶ Βαλαὰμ λέγει· «Ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος Ἰσραήλ, καὶ κυριεύσει ἐθνῶν πολλῶν»[10]. Καὶ πάλιν· «Ἀνατέλει ἄστρον ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἱερουσαλήμ, καὶ θραύσει τοὺς δυνατοὺς Μωάβ»[11]. Καὶ Δανιὴλ λέγει· «Ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτά, καὶ ἑβδομάδες ἑξήκοντα δύο»[12]. Καὶ Δαβὶδ λέγει· «Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ»[13]. Καὶ πάλιν· «Ὁ αὐτὸς ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ· καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ· ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν, ἀπ' ἄκρου τοῦ οὐρανοῦ»[14]. Καὶ πάλιν· «Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου»[15]. Καὶ πάλιν· «Ἔκλινεν οὐρανούς, καὶ κατέβη»[16].

**1.** Ἱερ. 23,5-6. **2.** Ἱερ. 35,9. **3.** Ἱερ. 36,12-14. **4.** Ἱερ. 38,23. **5.** Ἰεζ. 1,10. **6.** Ἰεζ. 16,60. **7.** Ἰεζ. 20,40. **8.** Ἰεζ. 34,11. **9.** Ἰεζ. 39,28. **10.** Ἀριθ. 24,7. **11.** Ἀριθ. 24,17. **12.** Δαν. 9,25. **13.** Ψαλ. 13,7. **14.** Ψαλ. 18,5-7. **15.** Ψαλ. 30,17. **16.** Ψαλ. 17,10.

Καὶ πάλιν· «Ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών»[1]. Καὶ πάλιν· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, **24** Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν»[2]. Καὶ πάλιν· «Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς»[3]. Καὶ πάλιν· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον»[4]. Καὶ πάλιν· «Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ»[5]. Καὶ πάλιν· «Ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεῆσαι ἡμᾶς»[6]. Καὶ πάλιν· «Εἴδοσάν σε πάντες λαοί, τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν»[7]. Σολομὼν λέγει· «Εἰ ἀληθῶς κατοικήσει ὁ Θεὸς μετὰ ἀνθρώπων»[8].

ϛ'

Ὅτι ὤφθη, καὶ Θεὸς ὤν, γέγονεν ἄνθρωπος.

Ἱερεμίας λέγει· «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ δέδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ»[9]. Καὶ πάλιν· «Ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν;»[10] καὶ πάλιν· «Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη»[11]. Καὶ Δαβὶδ λέγει· «Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε»[12]. Καὶ πάλιν· «Καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος»[13]. Ὠσηὲ λέγει· «Σάρξ μου ἐξ αὐτῶν· τί σε διαθῶ Ἐφραΐμ; ὑπερασπίσω Ἰσραήλ, διότι Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος»[14]. Ἡσαΐας λέγει· «Μεθ' ἡμῶν ὁ Θεός, γνῶτε ἔθνη, καὶ ἡττᾶσθε»[15]. Καὶ πάλιν· «Ἐμφανὴς ἐγε**26**νόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν»[16]. Καὶ πάλιν· «Ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ· σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν»[17].

ζ'

Ὅτι ἐκ σπέρματος Δαβὶδ ὁ Κύριος.

Δαβὶδ ἐν τῷ πη' ψαλμῷ λέγει· «Ἅπαξ ὤμοσα ἐν τῷ

**1.** Ψαλ. 83,8. **2.** Ψαλ. 117,26-27. **3.** Ψαλ. 33,8. **4.** Ψαλ. 71,6. **5.** Ψαλ. 33,19. **6.** Ψαλ. 66,2. **7.** Ψαλ. 97,3. **8.** Γ' Βασ. 8,27. **9.** Βαρ. 3,36-37. **10.** Ἱερ. 17,9. **11.** Βαρ. 3,38. **12.** Ψαλ. 84,12. **13.** Ψαλ. 86,5. **14.** Ὠσ. 9,13. **15.** Ἡσ. 8,8-9. **16.** Ἡσ. 65,1. **17.** Ἡσ. 45,14-15.



ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι, τὸ σπέρμα αὐτοῦ μενεῖ εἰς τὸν αἰῶνα»[1]. Καὶ πάλιν· «Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου»[2]. Καὶ πάλιν· «Θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ, ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ»[3]. Καὶ Ἡσαΐας λέγει· «Θήσω τὴν βασιλείαν αὐτοῦ ἐπὶ τὸν θρόνον Δαβίδ, τοῦ κατορθῶσαι αὐτήν, καὶ ἀντιλαβέσθαι ἐν δικαιοσύνῃ καὶ κρίματι»[4]. Καὶ Ἱερεμίας· «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τῷ Δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς καὶ συνήσει, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς· ἐν ταῖς ἡμέραις αὐτοῦ σωθήσεται Ἰσραήλ, καὶ Ἰούδας κατασκηνώσει ἐπὶ αὐτόν»[5].

η'

Ὅτι ἐκ Παρθένου.

Ἡσαΐας ὁ μέγας καὶ ἔνδοξος πρῶτος βοᾷ λέγων· «Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει· καὶ τέξεται υἱόν· καὶ καλέ**28**σουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός»[6].

θ'

Ὅτι μετὰ τὸ γεννηθῆναι φυλάξει τὴν τεκοῦσαν παρθένον.

Ἰεζεκιὴλ λέγει· Εἶπε Κύριος πρός με· υἱὲ ἀνθρώπου, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται· οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, ἀλλὰ Κύριος ὁ Θεὸς μόνος, καὶ εἰσελεύσεται καὶ καθιεῖται· ὅτι αὐτός ἐστιν ὁ ἡγούμενος, καὶ ἐξελεύσεται καὶ κλείσει τὰς θύρας ὄπισθεν αὐτοῦ, καὶ ἔσται ἡ πύλη κεκλεισμένη εἰς τὸν αἰῶνα τοῦ αἰῶνος[7].

ι'

Ὅτι ἡ μήτρα πύλη.

Ἰὼβ λέγει· «Διὰ τί οὐ συνέκλεισάς μοι πύλας γαστρὸς μητρός μου;»[8].

**1.** Ψαλ. 88,36-37. **2.** Ψαλ. 131,11. **3.** Ψαλ. 88,30. **4.** Ἡσ. 9,6. **5.** Ἱερ. 23,5-6. **6.** Ἡσ. 7,14. **7.** Πρβλ. Ἰεζ. 44,2-4. **8.** Ἰὼβ 3,10.

ια΄

Ὅτι ἀνωδίνως ἡ Παρθένος γεννήσει.

Ἠσαΐας βοᾷ λέγων· «Πρὶν τὴν ὠδίνουσαν τεκεῖν· πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν»[1].

ιβ΄

Ὅτι ἐχρίσθη.

Δαβὶδ λέγει ἐν τῷ μδ΄ ψαλμῷ· «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»[2]. Καὶ Ἠσαΐας λέγει· «Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με»[3].

**30** ιγ΄

Ὅτι χωρὶς Πατρὸς ἐπὶ γῆς καὶ μίξει.

Ἱερεμίας λέγει· «Οἴμοι ἐγὼ μῆτερ· ὡς τίνα με ἔτεκες ἄνδρα δικαζόμενον καὶ διακρινόμενον πάσῃ τῇ γῇ»[4]. Καὶ Δαβὶδ ἐν τῷ κα΄ ψαλμῷ· «Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός· ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· ἐπὶ σὲ ἐπεῤῥίφην ἐκ μήτρας· ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ»[5]. Καὶ Δανιήλ· «Ἐθεώρεις ἕως οὗ ἀπεσχίσθη λίθος ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα»[6]. Καὶ ὅτι λίθος, Ἠσαΐας λέγει· Ἰδοὺ τίθημι λίθον προσκόμματος ἐν Σιών, καὶ πέτραν σκανδάλου. Καὶ ὁ πιστεύων ἐπ᾽ αὐτῷ, οὐ καταισχυνθήσεται[7]. Καὶ Ζαχαρίας λέγει· «Ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν, ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν»[8].

ιδ΄

Ὅτι παιδίον.

Ἠσαΐας μαρτυρεῖ λέγων· «Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν· οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος»[9]. Καὶ πάλιν αὐτὸς λέγει· «Πρὶν γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα

1. Ἠσ. 66,7. 2. Ψαλ. 44,8. 3. Ἠσ. 61,1. 4. Ἱερ. 15,10. 5. Ψαλ. 21,2,10. 6. Δαν. 2,34. 7. Πρβλ. Ἠσ. 8,14. 8. Ζαχ. 3,9. 4,10. 9. Ἠσ. 9,5.



αὐτοῦ, ἔλαβε τὴν δύναμιν Δαμασκοῦ»[1]. Καὶ πάλιν· «Παιδίον μικρὸν γράψει αὐτούς»[2].

**32** ιε΄

Ὅτι ἐν Βηθλεὲμ τεχθήσεται.

Ἠσαΐας λέγει· «Οἰκήσει ἐν ὑψηλῷ τόπῳ ἐπὶ πέτρας ὠχρᾶς»[3].

ις΄

Ὅτι προσκυνήσουσιν οἱ Μάγοι.

Δαβὶδ ἐν τῷ οα΄ ψαλμῷ λέγει· «Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς»[4]. Καὶ Ἠσαΐας λέγει· «Ἥξουσι ἐκ Σαβὰ φέροντες χρυσίον καὶ λίβανον καὶ σμύρναν· καὶ εὐαγγελιοῦνται τὸ σωτήριον Κυρίου»[5].

ιζ΄

Ὅτι ἀνατέλει ὁ ἀστήρ.

Βαλαὰμ λέγει· «Ἀνατελεῖ ἀστὴρ ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ, καὶ ὑψωθήσεται ἡ βασιλεία αὐτοῦ»[6].

ιη΄

Ὅτι τὰ βρέφη ἀναιρεθήσονται.

Ἱερεμίας οὕτω θρηνεῖ λέγων· «Οὕτως εἶπε Κύριος, φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ οὐαί, καὶ κλαυθμὸς καὶ ὀδυρμός· Ῥαχὴλ ἀποκλαιομένη οὐκ ἠθέλησε παύσασθαι ἐπὶ τῶν υἱῶν· ὅτι οὐκ εἰσίν. οὕτως εἶπε Κύριος, διαλειπέτω ἡ φωνή σου ἀπὸ κλαυθμοῦ, καὶ οἱ ὀφθαλμοί σου ἀπὸ δακρύων σου ὅτι ὁ μισθὸς τοῖς σοῖς ἔργοις, καὶ ἐπιστρέψουσιν ἐκ γῆς ἐχθρῶν, μονίμοις τοῖς σοῖς τέκνοις»[7].

1. Ἠσ. 8,4. 2. Ἠσ. 10,19. 3. Ἠσ. 33,16. 4. Ψαλ. 71,10-11. 5. Ἠσ. 60,6. 6. Ἀριθ. 24,17, 7. 7. Ἱερ. 38,15-17.

**34** ιθ′

Ὅτι ταραχθήσεται Ἡρώδης καὶ οἱ μετ᾽ αὐτοῦ πάντες.

Ἱερεμίας λέγει· «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, ἀπολεῖται ἡ καρδία τοῦ βασιλέως, καὶ ἡ καρδία τῶν ἀρχόντων. Καὶ οἱ ἱερεῖς ἐκστήσονται, καὶ οἱ προφῆται θαυμάσονται»[1].

κ′

Ὅτι ὑποκρίσει ζητήσει προσκυνῆσαι.

Δαβὶδ λέγει ἐν τῷ ξε′ ψαλμῷ· «Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονται οἱ ἐχθροί σου»[2].

κα′

Ὅτι θυμωθήσεται ἀπατηθείς.

Δαβὶδ ἐν τῷ ρια′ ψαλμῷ λέγει· «Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται· τοὺς ὀδόντας αὐτοῦ βρύξει, καὶ τακήσεται»[3].

κβ′

Ὅτι ἐρευνήσει καὶ ἀναζητήσει.

Δαβὶδ λέγει ἐν τῷ ξγ′ ψαλμῷ· «Τίς ὄψεται αὐτούς, ἢ διηγήσεται τοῦ κρύψαι παγίδας; ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις»[4].

κγ′

Ὅτι ἀνελεῖ τὰ βρέφη.

Ἐῤῥήθη ἐν τῷ ιη′ κεφαλαίῳ.

**36** κδ′

Ὅτι οὐκ ἀνελεῖ τὸν Χριστόν.

Δαβὶδ λέγει ἐν τῷ λς′ ψαλμῷ· «Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον τοῦ ἀπολέσαι αὐτόν· ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλείπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ»[5]. Καὶ πάλιν ἐν τῷ ρια′ ψαλμῷ· «Ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται»[6].

---

**1.** Ἱερ. 4,9. **2.** Ψαλ. 65,3. **3.** Ψαλ. 111,10. **4.** Ψαλ. 63,6,7. **5.** Ψαλ. 36,32-33. **6.** Ψαλ. 111,10.



κε′

Ὅτι εἰς Αἴγυπτον καταβήσεται ὁ Χριστός.

Ἡσαΐας λέγει· «Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης· καὶ ἥξει εἰς Αἴγυπτον· καὶ σεισθήσονται πάντα τὰ χειροποίητα Αἰγύπτου»[1]. Καὶ πάλιν· Γνωσθήσεται Κύριος τοῖς Αἰγυπτίοις, καὶ φοβηθήσονται οἱ Αἰγύπτιοι τὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ[2].

κς′

Ὅτι ἐξ Αἰγύπτου κληθήσεται.

Ἰωὴλ λέγει· «Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου»[3]. Καὶ Βαλαὰμ λέγει· «Ὁ Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξαν μονοκέρωτος αὐτοῦ»[4].

κζ′

Ὅτι βαπτιζόμενος ἁγιάσει τὰ ὕδατα.

Ἰεζεκιὴλ λέγει ἰδών· «Ἰδοὺ ὕδωρ καταφερόμενον ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ. Καὶ ἐγένετο καθὼς ἔξοδος ἀνδρὸς **38** ἡ ἔξοδος αὐτοῦ. Καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ ἀφέσεως»[5]. «Καὶ εἶπε Κύριος πρός με· υἱὲ ἀνθρώπου, τοῦτο τὸ ὕδωρ πορευόμενον ἐπὶ γῆς Γαλιλαίας ἁγιάσει τὰ ὕδατα, καὶ ἔσται, πᾶσα ψυχὴ ἐφ᾽ ὃ ἂν ἀπέλθῃ τὸ ὕδωρ τοῦτο, ζήσεται καὶ ἰαθήσεται»[6].

κη′

Ὅτι ἐνδόξως ἀπὸ τοῦ βαπτίσματος ἀναβήσεται.

Ἱερεμίας λέγει· «Ἰδοὺ ὡς λέων ἀναβήσεται ἐκ μέσου τοῦ Ἰορδάνου»[7].

κθ′

Ὅτι ἐπὶ θαλάσσης περιπατήσει.

Ἰὼβ λέγει· «Ὁ τανύσας τὸν οὐρανὸν μόνος· ὁ περιπατῶν ἐπὶ θαλάσσης, ὡς ἐπὶ ἐδάφους»[8].

---

**1.** Ἡσ. 19,1. **2.** Πρβλ. Ἡσ. 19,21. **3.** Ματθ. 2,15. Πρβλ. Ὠσ. 11,1. **4.** Ἀριθ. 24,8. Πρβλ. Ἀριθ. 23,22. **5.** Ἰεζ. 47,2-3. **6.** Ἰεζ. 47,8-9. **7.** Ἱερ. 27,44. **8.** Ἰὼβ 9,8.

λ'

Ὅτι τὸ κράσπεδον τοῦ ἱματίου αὐτοῦ θεραπεύσει.

Μαλαχίας λέγει· «Ἀνατελεῖ τοῖς φοβουμένοις τὸ ὄνομα αὐτοῦ ἥλιος δικαιοσύνης ἔχων ἴασιν ἐν ταῖς πτέρυξιν»[1].

λα'

Ὅτι ξηρανεῖ τὴν συκῆν.

Ἀββακοὺμ λέγει· «Διότι συκῆ οὐ καρποφορήσει»[2]. Καὶ Ἰεζεκιὴλ λέγει· «Ἐγὼ ὁ ξηραίνων ξύλον χλωρόν»[3].

**40** λβ'

Ὅτι πειρασθήσεται ὑπὸ τοῦ Διαβόλου.

Ζαχαρίας λέγει· «Καὶ ἔδειξέ μοι Κύριος Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου Κυρίου· καὶ ὁ Διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ. Καὶ εἶπεν αὐτῷ ὁ Κύριος· ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ»[4]. Καὶ αὐτὸς δὲ ὁ Κύριος περὶ ἑαυτοῦ λέγων εἶπε πρὸς Ἰώβ· «Οὐχ ἑώρακας αὐτόν, οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας; οὐ δέδοικας, ὅτι ἡτοίμασταί μοι; τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς, ἢ τίς ἀντιστήσεταί με, καὶ ὑπομενεῖ;»[5].

λγ'

Ὅτι θεραπεύσει πολλούς.

Ἡσαΐας λέγει· «Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα· παρακαλέσατε ὀλιγόψυχοι τῇ διανοίᾳ· μὴ φοβηθεῖτε»[6]. Καὶ πάλιν· «Ὁ Θεὸς τότε ἥξει, τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων»[7].

λδ'

Ὅτι ἀναστήσει νεκρούς.

Ἡσαΐας λέγει· «Κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου»[8].

**1.** Μαλ. 3,20. **2.** Ἀβ. 3,17. **3.** Ἰεζ. 17,24. **4.** Ζαχ. 3,1-2. **5.** Ἰὼβ 41,1-3. **6.** Ἠσ. 35,3-4. **7.** Ἠσ. 35,4-6. **8.** Ἠσ. 25,8.



**42** λε'

Ὅτι ἀπιστήσουσιν οἱ Ἰουδαῖοι.

Ἡσαΐας λέγει· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;»[1] «Ὄψονται οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσιν»[2].

λϛ'

Ὅτι ἀπὸ ε' ἄρτων θρέψει πολλούς.

Ἡσαΐας λέγει· «Ἐροῦσιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἐφ' ᾧ ἠλπίζομεν, καὶ ἠγαλλιώμεθα ἐπὶ τῷ σωτηρίῳ ἡμῶν, ὅτι ἀνάπαυσιν δώσει ὁ Θεὸς ἐπὶ τὸ ὄρος τοῦτο»[3].

λζ'

Ὅτι ἐπὶ ὄνου εἰς τὴν Σιὼν ἐπελεύσεται.

Ζαχαρίας λέγει· «Χαῖρε σφόδρα θύγατερ Σιών, κήρυσσε θύγατερ Ἱερουσαλήμ, ὅτι ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον»[4]. Καὶ Ἰακὼβ λέγει· «Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ»[5]. Καὶ Μαλαχίας λέγει· «Ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς θέλετε, καὶ ὁ ἄγγελος τῆς διαθήκης»[6].

**44** λη'

Ὅτι τὰ βρέφη προδράμουσι κράζοντα
τὸ «Εὐλογημένος ὁ ἐρχόμενος».

Δαβὶδ ἐν τῷ η' ψαλμῷ λέγει· «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον»[7].

λθ'

Ὅτι ἐλέγξει τὸν λαόν.

Μαλαχίας λέγει· «Προσάξω πρὸς ὑμᾶς ἐν κρίσει, καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τοὺς φαρμακοὺς καὶ ἐπὶ τὰς μοιχαλίδας, καὶ ἐπὶ τοὺς ὀμνύοντας ἐπὶ ψεύμασι»[8]. Καὶ Ἱερεμίας λέγει·

**1.** Ἠσ. 53,1. **2.** Ἠσ. 52,15. **3.** Ἠσ. 25,9-10. **4.** Ζαχ. 9,9. **5.** Γεν. 49,11. **6.** Μαλ. 3,1. **7.** Ψαλ. 8,3. **8.** Μαλ. 3,5.

«Μὴ σπήλαιον λῃστῶν ὁ οἶκός μου ἐστί, καὶ ἐπικεκλῆσθαι τὸ ὄνομά μου ἐπ' αὐτοῖς;»[1]

μ'

Ὅτι ἐπιχυθήσεται αὐτῷ νάρδος.

Ἐν τοῖς Ἄσμασι λέγει· «Ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ, νάρδος ἔδωκεν ὀσμὴν αὐτοῦ»[2].

μα'

Ὅτι συναχθήσονται κατ' αὐτοῦ.

Δαβὶδ ἐν τῷ β' ψαλμῷ λέγει· «Ἵνα τί ἐφρύαξαν, ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά»[3]; Καὶ πάλιν ἐν τῷ γ' ψαλμῷ λέγει· «Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ· πολλοὶ λέγουσι τῇ ψυχῇ μου, οὐκ ἔστι σωτηρία αὐτοῦ ἐν τῷ Θεῷ αὐτοῦ»[4]. Καὶ Ἱερεμίας λέγει· «Πνεῦμα προσώπου ἡμῶν Χριστὸς Κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν, οὗ εἴπαμεν, ἐν τῇ σκιᾷ **46** αὐτοῦ ζησόμεθα»[5]. Καὶ πάλιν· «Ὅτι ἐνεχείρησαν λόγους εἰς σύλληψίν μου, καὶ παγίδας ἔκρυψάν μοι· καὶ σὺ Κύριε ἔγνως πᾶσαν αὐτῶν τὴν βουλὴν ἐπ' ἐμὲ εἰς θάνατον· μὴ ἀθωώσῃς τὰς ἀδικίας αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀπὸ προσώπου μὴ ἐξαλείψῃς»[6].

μβ'

Ὅτι καταψευδομαρτυρήσουσι.

Δαβὶδ ἐν τῷ λδ' ψαλμῷ λέγει· «Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἠρώτων με, ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν»[7]. Καὶ πάλιν ἐν τῷ νη' ψαλμῷ λέγει· «Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με· ῥῦσαι με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσον με»[8].

μγ'

Ὅτι Ἰούδας προδώσει.

Δαβὶδ ἐν τῷ μ' ψαλμῷ λέγει· «Οἱ ἐχθροί μου εἶπον κακά

**1.** Ἱερ. 7,11. **2.** Ἆσμ. 1,12. **3.** Ψαλ. 2,1. **4.** Ψαλ. 3,2-3. **5.** Θρ. Ἱερ. 4,20. **6.** Ἱερ. 18,22-23. **7.** Ψαλ. 34,11-12. **8.** Ψαλ. 58,2-3.



μοι, πότε ἀποθανεῖ καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει, ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ· ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό· κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι· λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ»[1]. Καὶ πάλιν· «Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν»[2]. Καὶ πάλιν ἐν τῷ να' ψαλμῷ λέγει· «Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν ὅλην τὴν ἡμέραν; ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον· ἠγάπησας κακίαν ὑπὲρ **48** ἀγαθοσύνην»[3]. Καὶ πάλιν ἐν τῷ λζ' ψαλμῷ λέγει· «Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν»[4].

μδ'

Ὅτι ἐρεῖ ὁ Ἰούδας, Χαῖρε Ραββί.

Δαβὶδ ἐν τῷ νδ' ψαλμῷ λέγει· «Ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοὶ εἰσὶ βολίδες· ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτὸς σὲ διαθρέψει»[5]. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ ρη' ψαλμῷ λέγει. «Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη»[6].

με'

Ὅτι ἀργυρίου πραθήσεται.

Ζαχαρίας λέγει· «Ἐρῶ πρὸς αὐτούς, εἰ καλὸν ἐνώπιον ὑμῶν, δότε τὸν μισθόν μου τριάκοντα ἀργύρια»[7]. Καὶ Ἱερεμίας λέγει. «Ἔδωκαν τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως»[8].

μς'

Ὅτι δήσουσιν αὐτόν.

Ἡσαΐας λέγει. «Οὐαὶ τῇ ψυχῇ ὑμῶν, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν καθ' ἑαυτῶν εἰπόντες· ὅτι δήσωμεν ἄνδρα δί-

**1.** Ψαλ. 40,6-9. **2.** Ψαλ. 40,10. **3.** Ψαλ. 51,3-5. **4.** Ψαλ. 37,12. **5.** Ψαλ. 54,22-23. **6.** Ψαλ. 108,1-2. **7.** Ζαχ. 11,12. **8.** Πρβλ. Ματθ. 27,9.

καιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, βαρὺς ἡμῖν ἐστι καὶ βλεπόμενος»[1].

**50** μζ'

Ὅτι κρίνουσιν αὐτόν.

Δαβὶδ ἐν τῷ ξη' ψαλμῷ λέγει· «Σῶσόν με ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις»[2]. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ ο' ψαλμῷ λέγει· «Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαι με, καὶ ἐξελοῦ με»[3]. Καὶ τὰ ἑξῆς. Καὶ Ἡσαΐας λέγει· «Ἐπὶ τίνα ἀνοίξατε τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν»[4]. «Ἀλλ' ἢ επὶ τὸν πρᾶον καὶ ταπεινὸν καὶ ἡσύχιον»[5]. Καὶ πάλιν· «Ἐγενήθη ἡ κληρονομία μου ἐμοί, ὡς λέων ἐν δρυμῷ ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς· διὰ τοῦτο ἐμίσησα αὐτήν· οὐκ ἐγὼ παραιτησάμην, ἀλλ' αὐτοὶ παρῃτήσαντό με»[6]. «Διὰ τοῦτο ἐγκαταλέλιπα τὸν οἶκόν μου»[7].

μη'

Ὅτι ῥαπίσουσιν αὐτὸν καὶ ἐξουθενήσουσι.

Μιχαίας λέγει· Πατάξουσιν ἐπὶ σιαγόνα τὸν κριτὴν τοῦ Ἰσραήλ[8]. Καὶ «Βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν, τῶν δούλων τῶν ἀρχόντων· βασιλεῖς ὄψονται αὐτόν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτόν»[9]. Καὶ ἀλλαχοῦ λέγει· «Ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Τὸν νῶτον μου ἔδωκα εἰς μάστιγας· τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπεστράφη ἀπὸ αἰσχύνης ἐμπτυσμάτων»[10].

**52** μθ'

Ὅτι φεύξονται οἱ Ἀπόστολοι.

Δαβὶδ ἐν τῷ πζ' ψαλμῷ λέγει· «Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ»[11]. Καὶ «Ἐζήτησα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον»[12].

---

**1.** Ἡσ. 3,9-10. **2.** Ψαλ. 68,2-3. **3.** Ψαλ. 70,1-2. **4.** Ἡσ. 57,4. **5.** Ἡσ. 66,2. **6.** Ἱερ. 12,8. **7.** Ἱερ. 12,7. **8.** Πρβλ. Μιχ. 4,14. **9.** Ἡσ. 49,7. **10.** Ἡσ. 50,5-6. **11.** Ψαλ. 87,9. **12.** Ψαλ. 68,21.



ν'

Ὅτι ἀρνήσεται Πέτρος.

Ἡσαΐας λέγει· «Καὶ ἐφοβήθη ἀπὸ ἀνθρώπου θνητοῦ· οἳ ὡσεὶ χόρτος ἀποξηρανθήσονται· ἐμοῦ δὲ ἐπελάθετο, λέγει Κύριος»[1].

να'

Ὅτι σταυρώσουσιν αὐτόν.

Ἱερεμίας λέγει· «Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι»[2]. Καὶ Ἡσαΐας λέγει· «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτόν, ἄφωνος»[3]. Καὶ ἡ Σοφία λέγει· «Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν»[4]. Καὶ πάλιν· «Δεῦτε, καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ· καὶ ἐκτρίψωμεν αὐτὸν ἐκ γῆς ζώντων»[5]. Καὶ Δαβὶδ λέγει· «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου»[6].

νβ'

Ὅτι ἀκάνθαις στεφανώσουσιν αὐτόν.

Ἐν τοῖς Ἄσμασι λέγει· «Ἐξέλθετε καὶ ἴδετε, θυγατέρες Ἱερουσαλήμ, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ **54** αὐτοῦ[7]. Καὶ Ἡσαΐας λέγει· «Ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας»[8].

νγ'

Ὅτι ὄξος καὶ χολὴν ποτίσουσιν αὐτόν.

Δαβὶδ ἐν τῷ ξη' ψαλμῷ λέγει· «Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος»[9]. Καὶ Μωυσῆς λέγει· «Εἰς τὸν κῆπον μου ἀδελφή μου, νύμφη μου· καὶ ἐτρύγησα σμύρναν μου»[10]. Καὶ πάλιν· «Χεῖρες μου ἔσταξαν σμύρναν, καὶ οἱ δάκτυλοί μου σμύρνης πλήρεις»[11]. Καὶ πάλιν λέγει· «Ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ»[12].

---

**1.** Ἡσ. 51,12-13. **2.** Ἱερ. 11,19. **3.** Ἡσ. 53,7. **4.** Σ. Σολ. 2,20. **5.** Ἱερ. 11,19. **6.** Ψαλ. 21,17. **7.** Πρβλ. Ἆσμ. 3,11. **8.** Ἡσ. 5,2,4. **9.** Ψαλ. 68,22. **10.** Ἆσμ. 5,1. **11.** Ἆσμ. 5,5. **12.** Ἆσμ. 8,2.

νδ'

Ὅτι κόκκινον ἱμάτιον ἐνδύσουσιν αὐτόν.

Ἠσαΐας λέγει· «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρυθημένος ἱμάτια αὐτοῦ ἐκ Βοσόρ; οὗτος ὡραῖος, ἐν στολῇ αὐτοῦ βίᾳ· ἱνατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ;»[1]

νε'

Ὅτι σιωπήσει κρινόμενος.

Δαβὶδ ἐν τῷ λζ' ψαλμῷ λέγει· «Ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς»[2]. Καὶ πάλιν· «Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ»[3]. «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ»[4].

**56** νς'

Ὅτι χλευασθήσεται.

Δαβὶδ ἐν τῷ ρη' ψαλμῷ λέγει· «Εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν»[5]. Καὶ ἐν τῇ Σοφίᾳ λέγει· «Εἰ ἔστι δίκαιος υἱὸς Θεοῦ, ἀντιλήψεται αὐτοῦ. Ἐπαγγέλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παιδίον Κυρίου ἑαυτὸν ὀνομάζει»[6].

νζ'

Ὅτι αὐτὸς ἐστὶν ἡ ζωή, ὁ κρεμάμενος ἐπὶ ξύλου.

Μωυσῆς λέγει· «Ἔσται ἡ ζωή σου κρεμαμένη ἐπὶ ξύλου ἀπέναντι τῶν ὀφθαλμῶν σου· καὶ φοβηθήσῃ ἡμέρας καὶ νυκτός, καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου»[7]. Καὶ πάλιν λέγει· «Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου»[8].

νη'

Ὅτι ἀπάθεια τὸ πάθος αὐτοῦ.

Ἠσαΐας λέγει· «Ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ

1. Ἠσ. 63,1-2. 2. Ψαλ. 37,15. 3. Ψαλ. 37,14. 4. Ἠσ. 53,7. 5. Ψαλ. 108,25. 6. Σ. Σολ. 2,18,13. 7. Δευτ. 28,66. 8. Δευτ. 21,23.



καὶ ἐν πληγῇ· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν, καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς οἱ πάντες ἰάθημεν»[1]. Καὶ ὁ Σειρὰχ λέγει· «Ἔτυπτόν με, καὶ οὐκ ἐπόνεσα»[2]. Καὶ Δαβὶδ ἐν τῷ ξγ' ψαλμῷ λέγει· «Βέλος νηπίων ἐγεννήθησαν αἱ πληγαὶ αὐτῶν»[3].

νθ'

Ὅτι ἐν νυκτί, ψύχους ὄντος
καὶ ἀνθρακιᾶς κειμένης, πάθῃ ὁ Χριστός.

Ζαχαρίας λέγει· «Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ψῦχος, καὶ πάγος, μίαν ἡμέραν ἔσται»[4].

**58** ξ'

Ὅτι δύσεται ὁ ἥλιος.

Ζαχαρίας λέγει· «Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἔσται φῶς. Καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ· καὶ οὐχ ἡμέρα οὐδὲ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς»[5]. Καὶ Ἰωὴλ λέγει· «Πρὸ προσώπου αὐτοῦ συναχθήσεται ἡ γῆ, καὶ σκοτισθήσεται ὁ οὐρανός· ἥλιος καὶ σελήνη συσκοτάσουσι, καὶ τὰ ἄστρα δύσουσι τὸ φέγγος αὐτῶν»[6].

ξα'

Ὅτι δύσεται ἥλιος μεσημβρίας.

Ἀμὼς λέγει· «Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος ὁ Θεός, δύσεται ὁ ἥλιος μεσημβρίας· καὶ συσκοτάσει ἐπὶ γῆς ἐν ἡμέρᾳ τὸ φῶς αὐτοῦ, καὶ μεταστρέψει τὰς ἑορτὰς ἡμῶν εἰς πένθος»[7].

ξβ'

Ὅτι τὰ ἱμάτια αὐτοῦ διαμερίσονται.

Δαβὶδ ἐν τῷ κα' ψαλμῷ λέγει· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον»[8].

1. Ἠσ. 53,4-5. 2. Παρμ. 23,35. 3. Ψαλ. 63,8. 4. Ζαχ. 14,6-7. 5. Ἐνθ' ἀν. 6. Ἰωὴλ 2,10. 7. Ἀμ. 8,9-10. 8. Ψαλ. 21,19.

ξγ'

Ὅτι συσταυρωθήσεται λησταῖς.

Ἡσαΐας λέγει· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη, καὶ παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ»[1].

ξδ'

Ὅτι τὴν πλευρὰν αὐτοῦ ἐκκεντήσουσιν.

Ζαχαρίας λέγει· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν»[2].

**60** ξε'

Ὅτι ὀστοῦν αὐτοῦ οὐ συντριβήσεται.

Μωυσῆς λέγει· Ὀστοῦν οὐ συντρίψουσιν ἀπ' αὐτοῦ[3].

ξϛ'

Ὅτι ἐκ τῆς πλευρᾶς αὐτοῦ ὕδωρ ῥυήσεται
εἰς βαπτίσματος τύπον.

Ἡσαΐας λέγει· «Ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν»[4].

ξζ'

Ὅτι ἐν πέτρᾳ τεθήσεται.

Ἡσαΐας λέγει· «Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ὃν ὠρύξατε»[5].

ξη'

Ὅτι λίθος ἡ θύρα τοῦ μνήματος.

Ὁ αὐτὸς λέγει· «Καὶ ἐπέθηκαν ἐπ' ἐμοὶ λίθον»[6].

ξθ'

Ὅτι σφραγίσουσιν.

Δανιὴλ λέγει· «Καὶ ἤνεγκαν λίθον ἕνα· καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου· καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δα-

---

**1.** Ἡσ. 53,12. **2.** Πρβλ. Ἰω. 19,37. Ζαχ. 12,10. **3.** Πρβλ. Ἀριθ. 9,12. Ἐξ. 12,10,46. **4.** Ἡσ. 33,16. **5.** Ἡσ. 51,1. **6.** Θρ. 3,53.



κτυλίῳ αὐτοῦ, καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ Δανιήλ»[1].

ο'

Ὅτι θέρους ἀρχομένου ἔσται τὸ πάθος αὐτοῦ,
μηνὶ τῷ καθ' ἡμᾶς Μαρτίῳ.

Ἐν τοῖς Ἄσμασι λέγει. Ὁ καιρὸς παρῆλθεν· ἐπορεύθη ἑαυτῷ τὰ ἔθνη· ὤφθη ἐν τῇ γῇ, καιρὸς τῆς τομῆς ἔφθασε[2].

**62** οα'

Ὅτι ταφήσεται.

Ἡσαΐας λέγει· «Ἀπὸ προσώπου ἀδικίας ἦρτηται ὁ δίκαιος· ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ»[3]. Καὶ πάλιν λέγει· «Ἀπὸ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον, καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ θανάτου αὐτοῦ»[4]. Καὶ Ἰακὼβ λέγει· «Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;»[5] Καὶ ἐν τοῖς Ἀριθμοῖς λέγει· Ἀνακλιθεὶς ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος[6]. Καὶ Δαβὶδ ἐν τῷ κα' ψαλμῷ λέγει· «Εἰς χοῦν θανάτου κατήγαγές με»[7].

οβ'

Ὅτι φοβήσει τὸν Ἅδην ταφείς.

Ἐν τῷ Ἰὼβ λέγει· «Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ Ἅδου ἰδόντες σε ἔπτηξαν»[8]. Καὶ Ἡσαΐας λέγει· «Ὁ Ἅδης ἐπικράνθη συναντήσας σοι κάτω»[9]. Καὶ Δαβὶδ ἐν τῷ ρϛ' ψαλμῷ λέγει· «Συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν»[10].

ογ'

Ὅτι ἀναμάρτητος.

Ἡσαΐας λέγει· «Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη

---

**1.** Δαν. 6,18. **2.** Πρβλ. Ἆσμ. 2,11-12. **3.** Ἡσ. 57,1-2. **4.** Ἡσ. 53,8-9. **5.** Γεν. 49,9. **6.** Πρβλ. Ἀριθ. 24,9. **7.** Ψαλ. 21,16. **8.** Ἰὼβ 38,17. **9.** Ἡσ. 14,9. **10.** Ψαλ. 106,16.

δόλος ἐν τῷ στόματι αὐτοῦ»[1]. Καὶ πάλιν· «Ἀπὸ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον»[2].

**64** οδ'

Ὅτι ἀναστήσεται.

Δαβὶδ ἐν τῷ ια' ψαλμῷ λέγει· «Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος»[3]. Καὶ πάλιν ὁ αὐτὸς λέγει ἐν τῷ ιε' ψαλμῷ· «Ὅτι οὐκ ἐγκαταλείψῃς τὴν ψυχήν μου εἰς Ἅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν»[4]. Καὶ πάλιν ὁ αὐτὸς λέγει ἐν τῷ κθ' ψαλμῷ· «Ἀνήγαγες ἐξ Ἅδου τὴν ψυχήν μου ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον»[5]. Καὶ Ἱερεμίας λέγει· «Διὰ τοῦτο ἐξηγέρθην, καὶ ἰδοὺ καὶ ὁ ὕπνος μου ἡδὺς ἐγένετο»[6]. Καὶ Δαβὶδ ἐν τῷ πζ' ψαλμῷ λέγει· «Ἡμέρας ἐκέκραξα καὶ νυκτὶ ἐναντίον σου· προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον»[7]. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ πα' ψαλμῷ λέγει· «Ἀνάστα ὁ Θεὸς κρίνων τὴν γῆν»[8]. Καὶ Ἡσαΐας λέγει· Ὁ ἀναγαγὼν ἐκ γῆς τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν[9]. Καὶ Ναοὺμ λέγει· «Ταχεῖς ἰδοὺ οἱ πόδες ἐπὶ τὰ ὄρη εὐαγγελιζομένου εἰρήνην»[10].

οε'

Ὅτι μάτην οἱ στρατιῶται τὸν τάφον τηρήσουσιν.

Δαβὶδ ἐν τῷ οε' ψαλμῷ λέγει· «Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν»[11].

**66** ος'

Ὅτι πρωῒ ἡ Ἀνάστασις.

Δαβὶδ ἐν τῷ κθ' ψαλμῷ λέγει· «Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις»[12]. Καὶ πάλιν ἐν τῷ πζ' λέγει· «Ἐγὼ πρὸς σὲ Κύριε ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε»[13]. Καὶ πάλιν ἐν τῷ νς' λέγει· «Ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου»[14].

---

**1.** Ἡσ. 53,9. **2.** Ἡσ. 53,8. **3.** Ψαλ. 11,6. **4.** Ψαλ. 15,10. **5.** Ψαλ. 29,4. **6.** Ἱερ. 38,26. **7.** Ψαλ. 87,2,5. **8.** Ψαλ. 81,8. **9.** Πρβλ. Ἡσ. 63,11. **10.** Ναοὺμ 1,14-21. **11.** Ψαλ. 75,6. **12.** Ψαλ. 29,6. **13.** Ψαλ. 87,14. **14.** Ψαλ. 56,9.



οζ'

Ὅτι μαρτύριον ὁ τόπος ἔσται.

Ναοὺμ λέγει· «Ἑτοιμάζου, ὄρθρισον· διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν· διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου, εἰς μαρτύριόν μου· διότι τὸ κρίμα μου ἄξει πάντας τοὺς ἐχθρούς μου»[1].

οη'

Ὅτι ἀπὸ τοῦ προτειχίσματος.

Ἐν τοῖς Ἄσμασι λέγει· «Ἀνάστα, ἐλθὲ ἡ πλησίον μου· ἐν σκέπῃ τῆς πέτρας, ἐχόμενα τοῦ προτειχίσματος»[2].

οθ'

Ὅτι ζητηθήσεται ὑπὸ τῶν γυναικῶν.

Ἐν τοῖς Ἄσμασι λέγει· «Ἐπὶ κοίτην μου ἐξεζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα, καὶ οὐχ εὗρον αὐτόν· μή, ὃν ἠγάπησεν ἡ ψυχή μου, εἴδετε;»[3]

**68** π'

Ὅτι πρῶτον ἀπαντήσει γυναιξί.

Ἐν τοῖς Ἄσμασι λέγει· «Εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐκράτησα αὐτόν, καὶ οὐκ ἀφήσω αὐτόν»[4].

πα'

Ὅτι ἀναχωρήσουσιν ἔμφοβοι.

Δαβὶδ ἐν τῷ β' ψαλμῷ λέγει· «Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ»[5]. Καὶ Ἡσαΐας λέγει· «Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων φρόνησιν»[6].

πβ'

Ὅτι ἐμφυσήσει τοῖς Ἀποστόλοις τὸ Πνεῦμα τὸ Ἅγιον.

Ναοὺμ λέγει· Ἑτοιμάζου, ὄρθρισον· διέφθαρται πᾶσα ἡ ὑ-

---

**1.** Σοφ. 3,7-8. **2.** Ἆσμ. 2,13-14. **3.** Ἆσμ. 3,1,3. **4.** Ἆσμ. 3,4. **5.** Ψαλ. 2,11. **6.** Ἡσ. 27,11.

πόφασις αὐτῶν[1]· «ἀνέβη γὰρ ἐμφυσῶν εἰς τὸ πρόσωπον αὐτῶν»[2].

πγ'

Ὅτι ἀπὸ μέλιτος κηρίου φάγεται μετὰ τὴν Ἀνάστασιν.

Ἐν τοῖς Ἄσμασι λέγει· «Ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου»[3]. Τὸ πικρὸν πρὸ τοῦ πάθους, καὶ τὸ γλυκὺ μετὰ τὴν ἀνάστασιν.

πδ'

Ὅτι ἐροῦσιν, ὅτι ἐκλάπη.

Ἰωνᾶς λέγει· «Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτῶν ἐγκατέλιπον»[4]. Καὶ Ἡσαΐας λέγει· «Ἀλλὰ λέγετε καὶ ἐπαγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν»[5].

**70** πε'

Ὅτι νεκροὶ ἀναστήσονται.

Ὠσηὲ λέγει· «Ὀρθριοῦσι πρός με λέγοντες, πορευθῶμεν καὶ ἐπιστρέψωμεν πρὸς Κύριον, ὅτι αὐτὸς ἥρπακε καὶ ἰάσεται ἡμᾶς, πατάξει, καὶ ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, καὶ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα ἐναντίον αὐτοῦ»[6]. Καὶ Ἡσαΐας λέγει· «Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις· καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ»[7]. Καὶ Ζαχαρίας λέγει· «Καὶ σὺ ἐν αἵματι διαθήκης ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ»[8]. Καὶ Ὠσηὲ πάλιν· «Ἐκ χειρὸς Ἅδου ῥύσομαι αὐτούς, καὶ ἐκ θανάτου λυτρώσομαι αὐτούς· ποῦ ἡ δίκη σου θάνατε; ποῦ τὸ κέντρον σου Ἅδη;»[9]. Καὶ Ἰεζεκιὴλ λέγει· «Τάδε λέγει Κύριος, ἀνοίγω τὰ μνήματα ὑμῶν, καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραήλ· καὶ γνώσεσθε, ὅτι ἐγώ εἰμι Θεὸς ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν, τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν μου· καὶ δώσω πνεῦμα εἰς ὑμᾶς, καὶ ζήσεσθε»[10].

**1.** Πρβλ. Σοφ. 3,7. **2.** Ναούμ 2,2. **3.** Ἆσμ. 5,1. **4.** Ἰων. 2,9. **5.** Ἡσ. 30,10. **6.** Ὠσ. 5,15 - 6,2. **7.** Ἡσ. 26,19. **8.** Ζαχ. 9,11. **9.** Ὠσ. 13,14. **10.** Ἰεζ. 37,12-14.



πς'

Ὅτι εἰς οὐρανοὺς ἀνελεύσεται.

Δαβὶδ ἐν τῷ μς' ψαλμῷ λέγει· «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ· Κύριος ἐν φωνῇ σάλπιγγος»[1]. Καὶ Ἀμὼς λέγει· «Ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν τὴν ἐπίβασιν αὐτοῦ»[2].

**72** πζ'

Ὅτι αὐτὸς ἦν ὁ κηρύξας.

Ἡσαΐας λέγει· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· καλέσαι ἐνιαυτὸν Κυρίῳ δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν»[3]. Καὶ πάλιν· «Γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν, πάρειμι ὡς ὡραῖος ἐπὶ τῶν ὡραίων, ὡς εὐαγγελιζόμενος εἰρήνην, ἀκουστὴν ποιῶν τὴν σωτηρίαν σου»[4].

πη'

Ὅτι ἐν πάσῃ τῇ γῇ τὸ ὄνομα αὐτοῦ.

Ζαχαρίας λέγει· «Καὶ ἔσται, ὅσοι ἐὰν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ἱερουσαλήμ, ἀναβήσονται κατ' ἐνιαυτὸν προσκυνῆσαι Κυρίῳ παντοκράτορι»[5]. Καὶ Ἰεζεκιὴλ λέγει· «Καθαριῶ ὑμᾶς, καὶ τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν»[6]. Καὶ πάλιν· «Δώσω αὐτοῖς καρδίαν ἑτέραν, καὶ πνεῦμα καινὸν δώσω αὐτοῖς»[7]. Καὶ Δαβὶδ ἐν τῷ ιη' ψαλμῷ λέγει· «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν»[8]. Καὶ τὰ ἑξῆς. Καὶ Ἱερεμίας λέγει· «Δώσω αὐτοῖς ὁδὸν ἑτέραν, καὶ καρδίαν ἑτέραν τοῦ φοβεῖσθαι με πάσας τὰς ἡμέρας»[9].

**74** πθ'

Ὅτι ἐκ δεξιῶν τοῦ Πατρός, οὐκ ἀφ' οὗ ἀνῆλθεν, ἐκάθισε, ἀλλὰ καὶ πρὸ τούτου.

Ἡσαΐας λέγει· «Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου

**1.** Ψαλ. 46,6. **2.** Ἀμ. 9,6. **3.** Ἡσ. 61,1-2. **4.** Ἡσ. 52,6-7. **5.** Ζαχ. 14,16. **6.** Ἰεζ. 36,25,27. **7.** Ἰεζ. 36,26. **8.** Ψαλ. 18,5. **9.** Ἱερ. 39,39.

ὑψηλοῦ καὶ ἐπηρμένου»[1]. Καὶ Δαβὶδ ἐν τῷ ϟβ' λέγει. «Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ»[2]. Καὶ πάλιν ἐν τῷ ρθ' λέγει· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου· ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»[3]. Καὶ Ἡσαΐας λέγει· «Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου»[4].

ϟ'

Κληθησόμεθα Χριστιανοί.

Ἡσαΐας λέγει· «Ὄψονται ἔθνη τὴν δόξαν σου, καὶ πάντες οἱ βασιλεῖς τὴν δικαιοσύνην σου· καὶ καλέσει σε τὸ ὄνομα τὸ καινόν, ὁ Κύριος ὀνομάσει αὐτῷ»[5]. Καὶ πάλιν· «Τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινόν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς[6].

ϟα'

Ὅτι καὶ ἡ τοῦ μετώπου σημείωσις προκατηγγέλετο.

Δαβὶδ ἐν τῷ νθ' ψαλμῷ λέγει· «Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου»[7]. Καὶ Ἡσαΐας λέγει· Φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μαθεῖν[8]. Καὶ Ἰεζεκιὴλ λέγει· «Εἶπε Κύριος πρὸς **76** τὸν ἄνδρα τὸν ἐνδεδυκότα τὸν ποδήρη, δὸς τὴν σημείωσιν ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων καὶ κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀδικίαις, καὶ διέλθετε μέσην τὴν Ἱερουσαλήμ· καὶ κόπτετε καὶ μὴ φείσησθε· καὶ μὴ ἐλεήσετε, πρεσβύτερον καὶ νεανίσκον καὶ γυναῖκας, νήπια θηλάζοντα, πάντας ἐξαλείψατε· ἐπὶ δὲ πάντας, ἐφ' οὓς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε»[9].

ϟβ'

Ὅτι ἐν Χριστῷ βάπτισμα προκατηγγέλετο.

Ἡσαΐας λέγει· «Λούσασθε, καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου»[10]. Καὶ πάλιν· «Τῇ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν βου-

**1.** Ἡσ. 6,1. **2.** Ψαλ. 92,2. **3.** Ψαλ. 109,1. **4.** Ἡσ. 66,1. **5.** Ἡσ. 62,2. **6.** Ἡσ. 65,15-16. **7.** Ψαλ. 59,6. **8.** Πρβλ. Ἡσ. 8,16. **9.** Ἰεζ. 9,3-6. **10.** Ἡσ. 1,16.



λῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταληφθὲν τοῦ Ἰσραὴλ ἐν Σιών, καὶ τὸ καταληφθὲν ἐν Ἱερουσαλήμ· ὅτι ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ· ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα Ἱερουσαλὴμ ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως, καὶ ἥξει· καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιών, καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας»[1]. Μαρτυρεῖ καὶ τὸ κατὰ νόμον δὲ τῶν Ἰουδαίων βάπτισμα.

ϟγ'

Ὅτι προκατηγγέλετο ἡ δευτέρα παρουσία.

Μαλαχίας λέγει· «Ἰδοὺ ἔρχεται Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσηται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; Διότι αὐτὸς εἰσπορεύσεται ὡς πῦρ **78** χωνευτηρίου, καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων»[2]. Καὶ πάλιν λέγει· «Προσάξω ὑμᾶς ἐν κρίσει, καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τοὺς φαρμακοὺς καὶ ἐπὶ τὰς μοιχαλίδας, καὶ ἐπὶ τοὺς ὀμνύοντας ἐπὶ τῷ ὀνόματί μου ψεύδη»[3].

ϟδ'

Ὅτι κρίνει τὴν οἰκουμένην, καὶ αὐτῷ ἡ κρίσις δοθήσεται.

Δαβὶδ ἐν τῷ ϟε' ψαλμῷ λέγει. «Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ»[4]. Καὶ Ἰωὴλ λέγει· Ἐγὼ ἄξω πάντα τὰ ἔθνη, καὶ διακριθήσομαι πρὸς αὐτούς, καὶ ἔσται ἔμπροσθεν αὐτοῦ πῦρ ἀναλίσκον, καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ· καὶ τὰ ὀπίσω αὐτοῦ πεδίον ἀφανισμοῦ[5]. Καὶ πάλιν λέγει· «Ἀπὸ προσώπου αὐτοῦ συντριβήσονται λαοί»[6]. Καὶ πάλιν λέγει· «Ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ»[7]. Καὶ Δανιὴλ λέγει· «Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία· καὶ

**1.** Ἡσ. 4,2-5. **2.** Μαλ. 3,1-3. **3.** Μαλ. 3,5. **4.** Ψαλ. 95,13. **5.** Πρβλ. Ἰωὴλ 2,1-3. **6.** Ἰωὴλ 2,6. **7.** Μιχ. 6,2. Πρβλ. Ὠσ. 4,1.

πάντες οἱ λαοί, φυλαί, γλῶσσαι δουλεύσουσιν αὐτῷ· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος»[1]. Καὶ Δαβὶδ ἐν τῷ β' ψαλμῷ λέγει· «Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ, σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατά**80**σχεσίν σου τὰ πέρατα τῆς γῆς»[2]. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ οε' ψαλμῷ λέγει· «Γῆ ἐφοβήθη, καὶ ἡσύχασεν, ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν, τοῦ σῶσαι τοὺς πραεῖς τῆς γῆς· ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι»[3].

ϟε'

Ὅτι ὁ ἥλιος καὶ ἡ σελήνη σκοτισθήσονται.

Ἰωὴλ λέγει· «Δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· καὶ ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ· καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται»[4]. Καὶ πάλιν λέγει· «Πάρεστιν ἡ ἡμέρα Κυρίου, ὅτι ἐγγὺς ἡμέρα σκότους καὶ γνόφου· ἡμέρα νεφέλης καὶ ὁμίχλης»[5]. Καὶ ὁ Ἐκκλησιαστὴς λέγει· Εὐφραίνου νεανίσκε ἐκ νεότητός σου, καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ μνήσθητι τοῦ κτίσαντός σε, ἕως οὗ μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας σου, ἕως οὗ μὴ σκοτασθῇ ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ οἱ ἀστέρες, καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς[6].

ϟς'

Ὅτι οἱ οὐρανοὶ εἱλίσονται.

Ἡσαΐας λέγει· «Καὶ εἱλισθήσεται ὡς βιβλίον ὁ οὐρανός· καὶ πάντα τὰ ἄστρα πεσεῖται, ὡς φύλλα ἐξ ἀμπέλου, καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς»[7]. Καὶ ὁ Δαβὶδ ἐν τῷ ρα' ψαλμῷ λέγει· «Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίω**82**σας· καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται· σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται»[8]. Καὶ πάλιν Ἡσαΐας

**1.** Δαν. 7,13-14. **2.** Ψαλ. 2,7-8. **3.** Ψαλ. 75,9-11. **4.** Ἰωὴλ 3,3-5. **5.** Ἰωὴλ 2,1-2. **6.** Πρβλ. Ἐκκλ. 11,9 - 12,3. **7.** Ἡσ. 34,4. **8.** Ψαλ. 101,26-27.



λέγει· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν»[1].

ϟζ'

Ὅτι πρὸ Χριστοῦ παρουσίας ἥξει ὁ Ἀντίχριστος.

Δανιὴλ λέγει· «Ὀπίσω τούτων ἀναστήσεται βασιλεὺς ἕτερος, ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν· καὶ λόγους πρὸς τὸν Ὕψιστον λαλήσει»[2].

ϟη'

Ὅτι φονεύσει πολλούς.

Δανιὴλ λέγει· «Ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων»[3].

ϟθ'

Ὅτι καιρὸς θλίψεως τότε.

Δανιὴλ λέγει· «Ἔσται τότε καιρὸς θλίψεως· θλῖψις οἵα οὐ γέγονεν ποτὲ ἐν ἀνθρώποις»[4].

ρ'

Ὅτι μετ' αὐτὸν καὶ πῶς ὁ Χριστός.

Ζαχαρίας λέγει· «Ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν. Καὶ κόψονται φυλαὶ κατὰ φυλάς»[5]. Καὶ Δαβὶδ ἐν τῷ μθ' ψαλμῷ λέγει· «Ὁ Θεὸς **84** ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα»[6].

ρα'

Ὅτι τὸ σημεῖον τοῦ Χριστοῦ φανερὸν ἔσται.

Ἡσαΐας λέγει· «Τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου»[7], καὶ συναγαγὼν «οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει»[8].

**1.** Λουκ. 21,33. Πρβλ. Ματθ. 5,18. Μάρκ. 13,31. **2.** Δαν. 7,24-25. **3.** Δαν. 7,21. **4.** Δαν. 12,1. **5.** Ματθ. 24,30. Πρβλ. Μάρκ. 13,26. Ἰω. 21,27. **6.** Ψαλ. 49,3. **7.** Ματθ. 24,30. **8.** Ἡσ. 11,3.

ρβʹ

Ὅτι τῆς βασιλείας οὐκ ἕξει πέρας.

Δανιὴλ λέγει· «Ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται, καὶ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται»[1]. Καὶ Δαβὶδ ἐν τῷ ραʹ λέγει· «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[2].

Τέλος

1. Δαν. 2,44. 2. Ψαλ. 101,28.

# ΕΚΘΕΣΙΣ ΠΡΩΤΟΚΛΗΣΙΩΝ ΠΑΤΡΙΑΡΧΩΝ ΤΕ ΚΑΙ ΜΗΤΡΟΠΟΛΙΤΩΝ*

**534** Ὁ πατριάρχης Ῥώμης
ὁ πατριάρχης Κωνσταντινουπόλεως
ὁ πατριάρχης Ἀλεξανδρείας
ὁ πατριάρχης Ἀντιοχείας
ὁ πατριάρχης Ἱεροσολύμων

Κλῆσις μητροπολιτῶν

| | |
|---|---|
| αʹ Ἐπαρχίας Καππαδοκίας | ὁ Καισαρείας |
| βʹ Ἐπαρχίας Ἀσίας | ὁ Ἐφέσου |
| γʹ Ἐπαρχίας Εὐρώπης | ὁ Ἡρακλείας |
| δʹ Ἐπαρχίας Γαλατίας | ὁ Ἀγκύρας |
| εʹ Ἐπαρχίας Ἑλλησπόντου | ὁ Κυζίκου |
| ςʹ Ἐπαρχίας Λυδίας | ὁ Σάρδεων |
| ζʹ Ἐπαρχίας Βιθυνίας | ὁ Νικομηδείας |
| ηʹ Ἐπαρχίας τῆς αὐτῆς | ὁ Νικαίας |
| θʹ Ἐπαρχίας τῆς αὐτῆς | ὁ Χαλκηδόνος |
| ιʹ Ἐπαρχίας Παμφυλίας | ὁ Σίδης |
| ιαʹ Ἐπαρχίας Ἀρμενίας βʹ | ὁ Σεβαστείας |
| ιβʹ Ἐπαρχίας Ἑλενοπόντου | ὁ Ἀμασίας |
| ιγʹ Ἐπαρχίας Ἀρμενίας αʹ | ὁ Μελιτηνῆς |
| ιδʹ Ἐπαρχίας Καππαδοκίας βʹ | ὁ Τυάνων |
| ιεʹ Ἐπαρχίας Παφλαγονίας | ὁ Γαγγρῶν |
| ιςʹ Ἐπαρχίας Ὀνωριάδος | ὁ Κλαυδιουπόλεως |
| ιζʹ Ἐπαρχίας Πόντου | ὁ Νεοκαισαρείας |
| ιηʹ Ἐπαρχίας Γαλατίας βʹ | ὁ Πισινούντων |
| ιθʹ Ἐπαρχίας Λυκίας | ὁ Μύρων |
| κʹ Ἐπαρχίας Καρίας | ὁ Σταυρουπόλεως |

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Gelzer, Ungedruckte und ungenügend veröffentlichte Texte der Notitiae episcopatuum, AAM 21,3, München 1901 (σσ. 529-642), σσ. 534-542.

κα' Ἐπαρχίας Φρυγίας ὁ Λαοδικίας
κβ' Ἐπαρχίας Φρυγίας Σαλουταρίας ὁ Συνάδων
κγ' Ἐπαρχίας Λυκαονίας ὁ τοῦ Ἰκονίου
κδ' Ἐπαρχίας Πισιδίας ὁ Ἀντιοχείας
κε' Ἐπαρχίας Παμφυλίας ὁ Πέργης
κς' Ἐπαρχίας Καππαδοκίας β' ὁ Μωκησοῦ
κζ' Ἐπαρχίας Λαζικῆς ὁ τοῦ Φάσιδος
κη' Ἐπαρχίας Θράκης ὁ Φιλιππουπόλεως
**535** κθ' Ἐπαρχίας Εὐρώπης ὁ Τραϊανουπόλεως
λ' Ἐπαρχίας νήσων Κυκλάδων ὁ Ῥόδου
λα' Ἐπαρχίας Αἱμιμόντου ὁ Ἀδριανουπόλεως
λβ' Ἐπαρχίας τῆς αὐτῆς ὁ Μαρκιανουπόλεως
λγ' Ἐπαρχίας Φρυγίας Καπατιανῆς ὁ Ἱεραπόλεως

Περὶ τῶν αὐτοκεφάλων ἀρχιεπισκόπων

α' Ἐπαρχίας Μυσίας ὁ Ὀδυσοῦ
β' Ἐπαρχίας Σκυθίας ὁ Τομῆς
γ' Ἐπαρχίας Εὐρώπης ὁ Βιζύης
δ' Ἐπαρχίας Παφλαγονίας ὁ Πομπηϊουπόλεως
ε' Ἐπαρχίας Ἀσίας ὁ Σμύρνης
ς' Ἐπαρχίας Ἰσαυρίας ὁ Λεοντοπόλεως
ζ' Ἐπαρχίας Ῥοδόπης ὁ Μαρωνίας
η' Ἐπαρχίας Βιθυνίας ὁ Ἀπαμίας
θ' Ἐπαρχίας Ῥοδόπης ὁ Μαξιμιανουπόλεως
ι' Ἐπαρχίας Γαλατίας β' ὁ τῶν Γερμίων
ια' Ἐπαρχίας Εὐρώπης ὁ Ἀρκαδιουπόλεως
ιβ' Ἐπαρχίας Θράκης ὁ Βερωνῆς
ιγ' Ἐπαρχίας νήσου Λέσβου ὁ Μιτυλήνης
ιδ' Ἐπαρχίας Ἑλλησπόντου ὁ Παρίου
ιε' Ἐπαρχίας Καρίας ὁ Μιλήτου
ις' Ἐπαρχίας Θράκης ὁ Νικοπόλεως
ιζ' Ἐπαρχίας Νήσου ὁ Προικονήσου
ιη' Ἐπαρχίας Ῥοδόπης ὁ Ἀγχιάλου
ιθ' Ἐπαρχίας Εὐρώπης ὁ Σηλυβρίας
κ' Ἐπαρχίας νήσου Λέσβου ὁ Μεθύμνης
κα' Ἐπαρχίας Βιθυνίας ὁ Κίου



κβ' Ἐπαρχίας Εὐρώπης ὁ Ἄπρων
κγ' Ἐπαρχίας Ῥοδόπης ὁ Κυμψάλων
κδ' Ἐπαρχίας Ζηχίας ὁ Χερσῶνος
κε' Ἐπαρχίας τῆς αὐτῆς ὁ Βοσπόρου
κς' Ἐπαρχίας τῆς αὐτῆς ὁ Νικόψεως
κζ' Ἐπαρχίας Ἰσαυρίας ὁ Κοτράδων
κη' Ἐπαρχίας Ἑλενοπόντου ὁ Εὐχαΐτων
κθ' Ἐπαρχίας νήσων Κυκλάδων ὁ Καρπάθου
**536** λ' Ἐπαρχίας Ῥοδόπης ὁ Αἴνου
λα' Ἐπαρχίας Εὐρώπης ὁ Δριζηπάρων
λβ' Ἐπαρχίας Αἱμιμόντου ὁ Μεσημβρίας
λγ' Ἐπαρχίας Ἀρμενίας β' ὁ Ἡρακλειουπόλεως
λδ' Ἐπαρχίας Ἀβασγίας ὁ Σεβαστοπόλεως

Περὶ ἐπισκόπων ἐπερχομένων
Ἐπαρχία Καππαδοκίας α,
Μητρόπολις Καισαρείας

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ε', οἷον
τὸν τῶν Βασιλικῶν θερμῶν
τὸν Νύσης
τὸν Θεοδοσιουπόλεως Ἀρμενίας
τὸν Καμουλιανῶν
τὸν Κικισοῦ

Ἐπαρχία Ἀσίας,
Μητρόπολις Ἐφέσου

ἔχει πόλεις ὑπ' αὐτὴν
ἤτοι ἐπισκοπὰς λς', οἷον
τὸν Ὑπέπων
τὸν Τράλλεων
τὸν Μαγνησίας Μαιάνδρου
τὸν Ἐλαίας
τὸν Ἀδραμυτίου
τὸν Ἄσσου
τὸν Γαργάρων
τὸν Μασταύρων
τὸν Καλόης
τὸν Βριούλων
τὸν Πιττάνης
τὸν Μυρίνης
τὸν Φωκίας
τὸν Αὐρηλιουπόλεως
τὸν Νύσσης
τὸν Μασχακωμέων
τὸν Μητροπολιτῶν
τὸν Βαρέτων
τὸν Μαγνησίας καὶ Ἀνηλίου
τὸν Ἀνινάτων
τὸν Περγάμου
ἔχει Πριήλης
ἤτοι Ἀρκαδιουπόλεως
τὸν Ἀμ έας αὐλῆς
τὸν Σινό ἱεροῦ
τὸν Ἰβε άζων
τὸν Ἀνν
τὸν Ζαχοφώνης
τὸν Ζήλέδου

τὸν Τέου
τὸν Ἐρυθρῶν
τὸν Ἐκλυζομενινῶν
τὸν Ἀντάνδρου
τὸν Θεοδοσιουπόλεως Περπερίνης
τὸν Κύμης
τὸν Παλαιουπόλεως

Ἐπαρχία Εὐρώπης Θράκης·
Μητρόπολις Ἡρακλείας

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ε', οἷον
τὸν τοῦ Πανίου
τὸν Καλλιπόλεως
**537** τὸν Χερρονήσου
τὸν Κύλας
τὸν Ῥαιδεστοῦ

Ἐπαρχία Γαλατίας [Θράκης]·
Μητρόπολις Ἀγκύρας

ἔχει πόλεις ὑπ' αὐτὴν
ἤτοι ἐπισκοπὰς ζ', οἷον
τὸν Ταβίας
τὸν Ἡλιουπόλεως
τὸν Ἀσπόνης
τὸν Βηρινουπόλεως
τὸν Μνήζου
τὸν Κίνης
τὸν Ἀναστασιουπόλεως

Ἐπαρχία Ἑλλησπ
Μητρόπολις Κ

ἔχει πόλεις ὑπ' αὐτὴν
ἤτοι ἐπισκοπὰς ιβ', οἷ
τὸν Γέρμης βου
τὸν Πημανηνοῦ

τὸν Ὤκης
τὸν Σασαβάρεως
τὸν Ἀδριανοῦ θηρῶν
τὸν Λαμψάκου
τὸν Ἀβύδου
τὸν Δαρδάνου
τὸν Ἰλίου
τὸν Τρῳάδος
τὸν Πιωνίας
τὸν Μελιτουπόλεως

Ἐπαρχία Λυδίας·
Μητρόπολις Σάρδεων

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς κς', οἷον
τὸν Φιλαδελφίας
τὸν Τριπόλεως
τὸν Θυατείρων
τὸν Σεττῶν
τὸν Αὐρηλιουπόλεως
τὸν Τριπόλεως
τὸν Γόρδης
τὸν Τράλλης
τὸν Σάλων
τὸν Σιλάνδου
τὸν Μαιονίας
τὸν Ἀπόλλωνος ἱεροῦ
τὸν Ὑρκανίδος
τὸν Μουστίνης
τὸν Ἀκρασοῦ
τὸν Ἀπολλωνιάδος
τὸν Ἀτταλείας
τὸν Βαγῆς
τὸν Βλάνδου
τὸν Μεσοτυμόλου
τὸν Ἱεροκαισαρείας



τὸν Δαλδῆς
τὸν Κερασέων
τὸν Στρατονικείας
τὸν Γαβάλων
τὸν Σαττάλων
τὸν Ἑρμουκαπηλείας

Ἐπαρχία Βιθυνίας·
Μητρόπολις Νικομηδείας

ἔχει ὑπ' αὐτὴν πόλεις
(ἤτοι) ἐπισκοπὰς η', οἷον
τὸν Προύσης ἤτοι Θεουπόλεως
τὸν Βασιλινουπόλεως
τὸν Πραινέτου
τὸν Ἀπολλωνιάδος
τὸν Δασκυλίου
**538** τὸν Γάλλου
τὸν Νεοκαισαρείας
τὸν Κωλασίας ἤτοι Λόφων

Ἐπαρχία τῆς αὐτῆς·
Μητρόπολις Νικαίας

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς τρεῖς οἷον
τὸν Μοδρινῆς ἤτοι Μελίτου
τὸν Λινώης
τὸν Γορδοσέρβων

Ἐπαρχία τῆς αὐτῆς·
Μητρόπολις Καλχηδόνος.

Ἐπαρχία Παμφυλίας·
Μητρόπολις Σίδης

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ις', οἷον
τὸν Σέλγης
τὸν Ἀσπένδου

τὸν (Ἐτ)τένης
τὸν Ὀρύμνης
τὸν Κάσων
τὸν Σεμνέων
τὸν Καραλίων
τὸν τοῦ Καρακισίου
(τὸν Συέδρων
τὸν Μυλώμης ἤτοι
Ἰουστινιανουπόλεως)
τὸν Οὐαμάνδρων
τὸν Δαλισάνδου
τὸν Ἴσβων
τὸν Λύρβης
τὸν Κολυβράσσου
τὸν Μαναύγων

Ἐπαρχία Ἀρμενίας Β'
Μητρόπολις Σεβαστίας

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ε', οἷον
τὸν Σεβαστουπόλεως
τὸν Νικοπόλεως
τὸν Σαττάλων
τὸν Κολωνείας
τὸν Βηρίσσης

Ἐπαρχία Ἑλενοπόντου·
Μητρόπολις Ἀμασίας

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι (ἐπισκοπὰς) ς', (οἷον)
τὸν Ἀμινσοῦ
τὸν Σινώπης
τὸν Ἰβόρων
τὸν Ἀνδράπων
τὸν Ζαχίλων ἤτοι Λεοντοπόλεως
τὸν Ζήλων

Ἐπαρχία Ἀρμενίας·
Μητρόπολις Μελιτηνῆς

ἔχει ὑπ' αὐτὴν ⟨πόλεις
ἤτοι⟩ ἐπισκοπὰς ε', οἷον
τὸν Ἄρκης
τὸν Κουκουσοῦ
τὸν Ἀραβισσοῦ
τὸν Ἀριαράθης
τὸν Κομάνων

Ἐπαρχία Καππαδοκίας Β·
Μητρόπολις Τυάνων

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς γ', οἷον
τὸν Κυβίστρων
τὸν Φαυστινουπόλεως
τὸν Σασίμων

Ἐπαρχία Παφλαγονίας·
Μητρόπολις Γαγγρῶν

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς δ', οἷον
τὸν Ἀμάστριδος
τὸν Ἰουνουπόλεως
τὸν Δαδύβρων
τὸν Σωρῶν

**539** Ἐπαρχία Ὀνωριάδος·
Μητρόπολις Κλαυδιουπόλεως

⟨ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ε', οἷον
τὸν Ἡρακλείας Πόντου
τὸν Προυσιάδος
τὸν Τίου
τὸν Κρατείας
τὸν Ἀνδριανουπόλεως⟩

Ἐπαρχία Πόντου
Πολεμωνιακοῦ·
⟨Μητρόπολις Νεοκαισαρείας⟩

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς δ', οἷον
τὸν Τραπεζούντων
τὸν Κερασούντων
τὸν τοῦ Πολεμωνίου
τὸν Κομάνων

Ἐπαρχία Γαλατίας Β·
Μητρόπολις Πισινούντων

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ζ', οἷον
τὸν τοῦ Ἀμωρίου
τὸν Κλαναοῦ
τὸν Εὐδοξιάδος
τὸν Πητανισοῦ
τὸν Τρωκνάδων
τὸν Γερμοκολωνείας
τὸν Παλίας

Ἐπαρχία Λυκίας·
Μητρόπολις Μύρων

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς λς', οἷον
τὸν Μασταύρων
τὸν Τελμησοῦ
τὸν Ἡλιμύρων
τὸν Ἀράξης
τὸν Ἀπρίλλων
τὸν Ἀποδαλείας
τὸν Ὀρυκανδῶν
τὸν Τάτλων
τὸν Ἀρνέων
τὸν Σιδύμων



τὸν Ζηνωνουπόλεως
τὸν Ὀλύμπου
τὸν Τλῶν
τὸν Κορυδάλων
τὸν Κάνου
τὸν Ἀκρασσοῦ
τὸν Ξάνθου
τὸν Βοβοῦ ⟨ἤτοι⟩
Σοφιανουπόλεως
τὸν Μαρκιανῆς
τὸν Οἰνούνδων
τὸν Χώματος
τὸν Φέλλων
τὸν Ἀντιφέλλου
τὸν Φασηλειάδος
τὸν Ῥοδιαπόλεως
τὸν Ἀκαλισσοῦ
τὸν Λεβήσου
τὸν Ἀκανδρῶν
τὸν Παλαιωτῶν
τὸν Εὐδοκιάδος ἤτοι
Ἰουστινουπόλεως
τὸν Κόμνων
τὸν Πατάρων
τὸν Βαλβούρων
τὸν Νήσων
τὸν Κυανέων
τὸν Μηλωνιτῶν

Ἐπαρχία Καρίας·
Μητρόπολις Σταυρουπόλεως

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς κη', οἷον
τὸν Κιβύρας
τὸν Σίζων
**540** τὸν Ἡρακλείας Σαλβάκων
τὸν Ἀπολλωνιάδος
τὸν Ἡρακλείας Λακύμων
τὸν Ταβῶν
τὸν Λάρβων
τὸν Ἀντιοχείας Μαιάνδρου
τὸν Ταπάσσων
τὸν Ἁρπάσων
τὸν Νεαπόλεως
τὸν Ὀρθωσιάδος
τὸν Ἀνωτετάρτης
τὸν Λαβάνδων
τὸν Στρατονικείας
τὸν Ἀλκάνδων
τὸν Μυλάσων
τὸν Μείζου
τὸν Ἰασσοῦ
τὸν τοῦ Βαρβυλίου
τὸν Ἁλικαρνασσοῦ
τὸν Ὑλαρίμων
τὸν Κνίδου
τὸν Μεταβῶν
τὸν Μύνδου
τὸν τοῦ Ἱεροῦ
τὸν Κινδράμων
τὸν Κεράμων

Ἐπαρχία Φρυγίας
Καππατιανῆς·
Μητρόπολις Λαοδικείας

ἔχει ὑπ' αὐτὴν ⟨πόλεις
ἤτοι⟩ ἐπισκοπὰς ιζ', οἷον
τὸν Τιβεριουπόλεως
τὸν Ἀζάνου
τὸν Ἀγκύρας Συναοῦ
τὸν Πέλτων
τὸν Ἀππίας

τὸν Κάδων
τὸν Ἰκρίων
τὸν Ἠλούζων
τὸν Τρανουπόλεως
τὸν Σεβαστείας
τὸν Εὐμενείας
τὸν Τιμένου θηρῶν
τὸν Ἀγαθουκωμέων
τὸν Ἀλίων
τὸν Τριπόλεως
τὸν Ἀττανάσου
τὸν Σίβλιος

Ἐπαρχία Φρυγίας
Σαλουταρίας·
Μητρόπολις Συνάδων

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς κδ', οἷον
τὸν Κοτυαείου
τὸν Δορυλαίου
τὸν Νακωλείας
τὸν τοῦ Δοκιμίου
τὸν Μηδαίου
τὸν Ἴψου
τὸν Προμνησοῦ
τὸν Μηροῦ
τὸν Σιβίνδου
τὸν Πολυβώτου
τὸν Φυτείας
τὸν Ἱεραπόλεως
τὸν Εὐκαρπίας
τὸν Λυσσιάδος
τὸν Αὐγουστοπόλεως
τὸν Βροζοῦ
τὸν Ὄτρου
τὸν Λυκάονος
τὸν Στεκτορίου
τὸν Κινναβορίου
τὸν Κόνης Δημητροπόλης
τὸν Σκορδασπίας
τὸν Νικουπόλεως
τὸν Αὐροκλῶν

**541** Ἐπαρχία Λυκαονίας·
Μητρόπολις τοῦ Ἰκονίου

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ιδ', οἷον
τὸν Λύστρων
τὸν Οὐασάδων
τὸν Ἀμβλάδων
τὸν Οὐμανάδων
τὸν Μισθίων
τὸν Λαράνδων
τὸν Βαρέτων
τὸν Δέρβης
τὸν Σανάτρων
τὸν Κανοῦ
τὸν Βηρινουπολιοψιανῶν
τὸν Γαλβάνου
τὸν Λύστρων
τὸν Περτῶν

Ἐπαρχία Πισσιδίας·
Μητρόπολις Ἀντιοχείας

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ιη', οἷον
τὸν τοῦ Φιλομηλίου
τὸν Σαγαλασοῦ
τὸν Σωζουπόλεως
τὸν Ἀπαμίας τῆς Κηνόου
τὸν Ῥαίου
τὸν Βάρεως



τὸν Ἀδριανουπόλεως
τὸν Λιμένων
τὸν Νεαπόλεως
τὸν Λαοδικίας τῆς κεκαυμένης
τὸν Σελευκίας
τὸν Σιδηρᾶς
τὸν Ἀδάδων
τὸν Ζωζήλων
τὸν Τιμβριάδος
τὸν Τυμάνδου
τὸν Ἰουστινιανουπόλεως
τὸν Μητροπόλεως
τὸν Πάππων

Ἐπαρχία τῆς Παμφυλίας·
Μητρόπολις Πέργης

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ιη', οἷον
τὸν Ἀτταλίας
τὸν Εὐδοξιάδος
τὸν Τελμησοῦ
τὸν Σίνδου
τὸν Μαξιμιανουπόλεως
τὸν Λαγίνων
τὸν Παλαιουπόλεως
τὸν Κρημνοῦ
τὸν Κουδρούλων
τὸν Πελτινήσσου
τὸν Ἀρησασοῦ
τὸν Πουγλῶν
τὸν Ἀδριανῆς
τὸν Δικηταναύρων
τὸν Σανδιδῶν
τὸν Βαράης
τὸν Συλαίου
τὸν Περβαίνων

Ἐπαρχία Καππαδοκίας·
Μητρόπολις Μωκησοῦ

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς δ', οἷον
τὸν Ναζιανζοῦ
**542** τὸν Κολωνείας
τὸν Παρνασσοῦ
τὸν Δωάρων

Ἐπαρχία Λαζικῆς·
Μητρόπολις Φάσιδος

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς δ', οἷον
τὸν Ῥοδοπόλεως
τὸν τῆς Σαησινῶν
τὸν Πετρῶν
τὸν τῆς Ζιγανέων

Ἐπαρχία Θράκης·
Μητρόπολις Φιλιππουπόλεως

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς γ', οἷον
τὸν Διοκλητιανουπόλεως
τὸν Σεβαστουπόλεως
τὸν Διοσπόλεως

Ἐπαρχία Εὐρώπης·
Μητρόπολις Τραϊανοῦ

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς β', οἷον
τὸν Πήρου
τὸν Ἀναστασιουπόλεως

Ἐπαρχία νήσων Κυκλάδων·
Μητρόπολις Ῥόδου

ἔχει ὑπ' αὐτὴν πόλεις

ἤτοι ἐπισκοπὰς ιβ', οἷον
τὸν Σάμου
τὸν Χίου
τὸν Κῴου
τὸν Ναξίας
τὸν Θήρας
τὸν Πάρου
τὸν Λέρου
τὸν Ἄνδρου
τὸν Τήνου
τὸν Μήλου
τὸν Πισσύνης

Ἐπαρχία Αἱμιμόντου·
Μητρόπολις Ἀδριανοῦ

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ε', οἷον
τὸν Μεσημβρίας
τὸν Σωζοπόλεως
τὸν Πλουτινουπόλεως
τὸν Ἀναστασιουπόλεως
τὸν Τζωΐδων

Ἐπαρχία τῆς αὐτῆς·
Μητρόπολις Μαρκιανοῦ

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ε', οἷον
τὸν Ῥοδοστόλου
τὸν Τραμαρίσκων
τὸν Νόβων
τὸν Ζεκεδέσπων
τὸν Σκαρίας

Ἐπαρχία Φρυγίας
Καππατιάνης·
Μητρόπολις Ἱεραπόλεως

ἔχει ὑπ' αὐτὴν πόλεις
ἤτοι ἐπισκοπὰς ε', ⟨οἷον⟩
τὸν Μελουπόλης
τὸν Διονυσιουπόλεως
τὸν Ἀναστασιουπόλεως
τὸν Ἀττούδων
τὸν Μοσύνων

# ΑΠΟΦΘΕΓΜΑΤΑ*

**[161]** α'. Διηγήσατο ὁ ἅγιος Ἐπιφάνιος ὁ ἐπίσκοπος, ὅτι ἐπὶ τοῦ μακαρίου Ἀθανασίου τοῦ μεγάλου, κορῶναι περιϊπτάμεναι τὸ τοῦ Σεράπιδος ἱερόν, ἔκραζον ἀπαύ**[164]**στως, Κρᾶς, Κρᾶς. Καὶ προστάντες ἐπὶ τὸν μακάριον Ἀθανάσιον οἱ Ἕλληνες, ἔκραξαν· Κακόγηρε, εἰπὲ ἡμῖν τί κράζουσιν αἱ κορῶναι. Καὶ ἀποκριθεὶς εἶπεν· Αἱ κορῶναι κράζουσι, Κρᾶς, Κρᾶς· τὸ δὲ Κρᾶς τῇ Αὐσωνίων φωνῇ αὔριόν ἐστι· καὶ προσετίθει, ὅτι αὔριον ὄψεσθε τὴν δόξαν τοῦ Θεοῦ. Καὶ ἑξῆς ἠγγέλθη ὁ θάνατος τοῦ Ἰουλιανοῦ βασιλέως. Καὶ τούτου γενομένου, συνδραμόντες κατέκραζον τοῦ Σεράπιδος, λέγοντες· Ἐὰν οὐκ ἤθελες αὐτόν, τί ἐλάμβανες τὰ αὐτοῦ;

β'. Ὁ αὐτὸς διηγήσατο, ὅτι ἦν τις ἡνίοχος κατὰ τὴν Ἀλεξανδρέων, ὃς ἦν μητρὸς Μαρίας υἱός. Οὗτος ἱππικοῦ ἐπιτελουμένου κατέπεσεν· εἶτα ἀναστὰς παρῆλθε τὸν καταβεβληκότα, καὶ ἐνίκησε. Καὶ τὸ πλῆθος ἀνεβόησεν· Ὁ Υἱὸς Μαρίας πέπτωκε καὶ ἐγήγερται καὶ ἐνίκησε. Ταύτης ἔτι τῆς φωνῆς λεγομένης, ἐνέπεσεν ἡ περὶ τοῦ ἱεροῦ τοῦ Σεράπιδος φήμη τῷ πλήθει, ὅτι ὁ μέγας Θεόφιλος ἀνελθών, τὸ τοῦ Σεράπιδος κατέστρεψεν εἴδωλον, καὶ τοῦ ναοῦ γέγονεν ἐγκρατής.

γ'. Ἐδηλώθη τῷ μακαρίῳ Ἐπιφανίῳ τῷ ἐπισκόπῳ Κύπρου παρὰ τοῦ ἀββᾶ τῆς μονῆς ἧς εἶχεν ἐν Παλαιστίνῃ, ὅτι Εὐχαῖς σου οὐκ ἠμελήσαμεν τοῦ κανόνος ἡμῶν, ἀλλὰ μετὰ σπουδῆς καὶ τὴν τρίτην καὶ τὴν ἕκτην καὶ τὴν ἐνάτην ἐπιτελοῦμεν. Ὁ δὲ καταγνοὺς αὐτῶν, ἐδήλωσεν αὐτοῖς λέγων, ὅτι Φανεροί ἐστε ἀμελοῦντες τὰς ἄλλας ὥρας τῆς ἡμέρας ἀργοῦντες ἀπὸ τῆς εὐχῆς. Δεῖ γὰρ τὸν ἀληθινὸν μοναχὸν ἀδιαλείπτως ἔχειν τὴν εὐχὴν καὶ τὴν ψαλμῳδίαν ἐν τῇ καρδίᾳ αὐτοῦ.

δ'. Ἔπεμψέ ποτε ὁ ἅγιος Ἐπιφάνιος πρὸς τὸν ἀββᾶν Ἱλαρίωνα, παρακαλῶν αὐτόν, καὶ λέγων· Δεῦρο, ἴδωμεν ἑαυτοὺς

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae cursus completus, series Graeca, τ. 65, 161-168.

πρὸ τοῦ ἐξελθεῖν ἡμᾶς ἀπὸ τοῦ σώματος· καὶ παραγενομένου αὐτοῦ, ἐχάρησαν μετ' ἀλλήλων. Ἐσθιόντων δὲ αὐτῶν, ἠνέχθη πετεινόν. Καὶ λαβὼν ὁ ἐπίσκοπος ἔδωκε τῷ ἀββᾷ Ἱλαρίωνι. Καὶ λέγει αὐτῷ ὁ γέρων· Συγχώρησόν μοι, ὅτι ἐξ οὗ ἔλαβον τὸ σχῆμα, οὐκ ἔφαγον θῦμα. Καὶ λέγει αὐτῷ ὁ ἐπίσκοπος· Ἐγὼ δὲ ἐξ οὗ ἔλαβον τὸ σχῆμα, οὐκ ἀφῆκά τινα κοιμηθῆναι ἔχοντα κατ' ἐμοῦ, οὐδὲ ἐγὼ ἐκοιμήθην ἔχων κατά τινός[1]. Καὶ λέγει αὐτῷ ὁ γέρων· Συγχώρησόν μοι, ὅτι ἡ σὴ πολιτεία μείζων ἐστὶ τῆς ἐμῆς.

ε'. Ὁ αὐτὸς ἔλεγεν, ὅτι ἡ εἰκὼν τοῦ Χριστοῦ Μελχισεδέκ[2], τὴν ῥίζαν τῶν Ἰουδαίων εὐλόγησε τὸν Ἀβραάμ· πολλῷ πλέον αὐτὴ ἡ ἀλήθεια ὁ Χριστός, εὐλογεῖ καὶ ἁγιάζει πάντας τοὺς πιστεύοντας εἰς αὐτόν.

**[165]** ς'. Ὁ αὐτὸς ἔλεγεν· Ἡ Χαναναία βοᾷ καὶ ἀκούεται[3]· καὶ ἡ αἱμόῤῥους σιωπᾷ καὶ μακαρίζεται[4]· ὁ δὲ Φαρισαῖος κράζει καὶ κατακρίνεται· ὁ τελώνης οὐδὲ ἀνοίγει τὸ στόμα καὶ ἀκούεται[5].

ζ'. Ὁ αὐτὸς ἔλεγεν, ὅτι Δαβὶδ ὁ προφήτης, ἐν ἀωρίᾳ ηὔχετο, μεσονύκτιον ἐξηγείρετο, πρὸ τοῦ ὄρθρου παρεκάλει, ὄρθρου παρίστατο, πρωΐας ἐδέετο, ἑσπέρας καὶ μεσημβρίας ἱκέτευε, καὶ διὰ τοῦτο ἔλεγεν· «Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε»[6].

η'. Εἶπε πάλιν, ὅτι ἀναγκαία τῶν Χριστιανῶν βιβλίων ἡ κτῆσις τοῖς ἔχουσι. Καὶ αὐτὴ γὰρ καθ' ἑαυτὴν τῶν βιβλίων ἡ ὄψις, ὀκνηροτέρους ἡμᾶς πρὸς τὴν ἁμαρτίαν ἐργάζεται, καὶ πρὸς δικαιοσύνην μᾶλλον διανίστασθαι προτρέπεται.

θ'. Εἶπε πάλιν, ὅτι μεγάλη ἀσφάλεια πρὸς τὸ μὴ ἁμαρτάνειν, τῶν Γραφῶν ἡ ἀνάγνωσις.

ι'. Εἶπε πάλιν, ὅτι μέγας κρημνὸς καὶ βαθὺ βάραθρον, τῶν Γραφῶν ἡ ἄγνοια.

ια'. Εἶπε πάλιν, ὅτι μεγάλη προδοσία σωτηρίας, τὸ μηδένα τῶν θείων νόμων εἰδέναι.

ιβ'. Ὁ αὐτὸς ἔλεγεν, ὅτι τὰ τῶν δικαίων ἁμαρτήματα

---

**1.** Πρβλ. Ματθ. 5,23-24. Μάρκ. 11,25-26. **2.** Πρβλ. Ἑβρ. 7,17,21. Ψαλ. 109,4. **3.** Πρβλ. Ματθ. 15,21-28, Μάρκ. 7,24-30. **4.** Πρβλ. Ματθ. 9,20-23. **5.** Πρβλ. Λουκ. 18,10-14. **6.** Ψαλ. 118,164.



περὶ τὰ χείλη ἐστί, τὰ δὲ τῶν ἀσεβῶν, ἐξ ὅλου τοῦ σώματος. Ὅθεν ψάλλει Δαβίδ· «Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου»[1]· Καί· «Εἶπα, Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου»[2].

ιγ'. Ὁ αὐτὸς ἠρωτήθη, Διατί δέκα μέν εἰσιν αἱ νομικαὶ ἐντολαί, ἐννέα δὲ οἱ μακαρισμοί; Καὶ ἔφη· Ἰσάριθμος τῶν Αἰγυπτιακῶν μαστίγων ὁ Δεκάλογος· τριπλῆς δὲ Τριάδος εἰκών, ἡ τῶν μακαρισμῶν ἀρίθμησις.

ιδ'. Ἠρωτήθη ὁ αὐτός, εἰ ἀρκεῖ εἷς δίκαιος δυσωπῆσαι τὸν Θεόν, καὶ ἔφη· Ναί, αὐτὸς γὰρ εἶπεν· Ἐρευνήσατε ἕνα ποιοῦντα κρῖμα καὶ δικαιοσύνην, καὶ ἵλεως ἔσομαι παντὶ τῷ λαῷ[3].

ιε'. Ὁ αὐτὸς εἶπεν, ὅτι ὁ Θεὸς τοῖς μὲν ἁμαρτωλοῖς καὶ τὸ κεφάλαιον παραχωρεῖ μετανοοῦσιν, ὡς τῇ πόρνῃ καὶ τῷ τελώνῃ· τοὺς δὲ δικαίους ἀπαι**[168]**τεῖ καὶ τόκους. Καὶ τοῦτό ἐστιν ὃ τοῖς Ἀποστόλοις ἔλεγεν, ὅτι «Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν, πλέον τῶν γραμματέων καὶ Φαρισαίων οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[4].

ις'. Ἔλεγε δὲ καὶ τοῦτο, ὅτι ὀλίγον πάνυ τὰς δικαιοσύνας ὁ Θεὸς πωλεῖ τοῖς ἀγοράζειν σπουδάζουσι· μικροῦ κλάσματος ἄρτου, εὐτελοῦς ἱματίου, ψυχροῦ ποτηρίου, ἑνὸς ὀβολοῦ.

ιζ'. Προσετίθει δὲ καὶ τοῦτο, ὅτι παρ' ἀνθρώπῳ δανειζόμενος ἄνθρωπος διὰ πενίαν, ἢ χρείαν εὐπορίας, καὶ ἀποδιδοὺς χάριτας μὲν ὁμολογεῖ, κρύφα δὲ ἀποδίδωσιν αἰσχυνόμενος. Ὁ δὲ δεσπότης Θεὸς τὸ ἀνάπαλιν· κρυφῇ δανειζόμενος ἐνώπιον ἀγγέλων καὶ ἀρχαγγέλων καὶ δικαίων ἀποδίδωσιν.

---

**1.** Ψαλ. 140,3. **2.** Ψαλ. 38,2. **3.** Πρβλ. Ἱερ. 5,1. **4.** Ματθ. 5,20.

## ΕΚ ΤΟΥ ΠΕΡΙ ΠΙΣΤΕΩΣ ΛΟΓΟΥ*

**299** Καὶ ἵνα δείξῃ ὅτι «μεσίτης ἐστὶ Θεοῦ καὶ ἀνθρώπων»[1] τὰ ἀμφότερα ἔχων ἐξ ἀνθρώπων μὲν τὴν σάρκα, ἐκ δὲ Πατρὸς τὴν ἀόρατον οὐσίαν[2], λαλεῖ μὲν ὡς Θεὸς τὰ θεῖα καὶ θεοπρεπῆ[3], ὡς δὲ ἄνθρωπος ὁ αὐτὸς τὰ ἀνθρώπινα καὶ ἀνθρωποπρεπῆ, ἔχων ἐν ἀμφοτέροις τὴν ἐξουσίαν φυσικῶς καὶ οὐσιωδῶς, ἀσυγχύτως καὶ ἀδιαιρέτως, θεϊκῶς τε καὶ ἀνθρωπίνως.

* Κατὰ τὴν ἔκδοσιν τοῦ Franz Diekamp, Doctrina Patrum de incarnatione Verbi, Münster 1981, σ. 299 VII.

**1.** Α΄ Τιμ. 2,5. **2.** Πρβλ. Κολ. 1,15. **3.** Πρβλ. Λουκ. 9,11.

## ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΡΙΑΔΟΣ ΛΟΓΟΥ*

**317** Μία δοξολογία Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος καὶ μία προσκύνησις· ὅτε γὰρ δοξολογοῦσι τὰ Σεραφὶμ τὸν Θεὸν «ἅγιος, ἅγιος, ἅγιος»[1] Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον δοξολογοῦσι.

* Κατὰ τὴν ἔκδοσιν τοῦ Franz Diekamp, Doctrina Patrum de incarnatione Verbi, Münster 1981, σ. 317 VI.

**1.** Ἡσ. 6,3.

## ΕΚ ΤΗΣ ΠΡΟΣ ΘΕΟΔΩΡΗΤ(ΟΝ) ΒΑΣΙΛΕΑ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΑΓΙΟΥ ΕΠΙΦΑΝΙΟΥ ΚΥΠΡΟΥ*

**$153^{v}$** Ἀλλὰ μετὰ πάντων σου τῶν ἀρετῶν θεόστεπτε καὶ ἐν τοῖς ἑωθινοῖς καὶ λυχνικοῖς συνάγεσθαι μὴ παραλίμπανε ἐπεὶ τύπος εἰσὶ τῶν δύο αἰώνων. Γίνεται γὰρ ἑσπέρα καὶ εἰς ὕπνον τρεπώμεθα, ἀνατέλλει δὲ ὁ ἥλιος ἀλεκτροφωνίας καὶ ἀνιστάμεθα ὅ ἐστι τῆς μελλούσης ἀναστάσεως τῶν νεκρῶν τύπος καὶ χαρακτὴρ τοῦ μέλλοντος αἰῶνος καὶ εἰ μὲν τῇ ἑσπέρᾳ τὰς εὐχὰς διδόαμεν Θ(ε)ῷ χρεωστοῦντες, **154** εἰς τὸ φυλαχθῆναι ἀπὸ πάσης φαντασίας καὶ ἐπιβουλῆς δαιμόνων τε καὶ ἑρπετῶν καὶ πτώσεως καὶ σεισμῶν ἀλλὰ καὶ πάσης ἁμαρτίας καὶ μισούντων ἡμᾶς ἐνεργείας. Πρωΐας δὲ πάλιν εὐχόμεθα ἑωθινὰς λατρείας ἐπιτελοῦντες εἰς τὸ δοθῆναι ἡμᾶς παρὰ Κ(υρίο)υ εὐημερίαν τε κ(αὶ) εἰρηνικὴν διαβίωσιν καὶ τοῦ ῥυσθῆναι ἀπὸ παντὸς σκανδάλου καὶ πάσης ἁμαρτίας. Σπούδασον δὲ σὺν τῇ Αὐγούστῃ καὶ ἐγγυητῇ εὔχεσθαι καὶ ἐν ἡμέρᾳ ἐνδελεχῶς· πολλὰ γὰρ ἔτι τὰ ἔνεδρα τοῦ διαβόλου.

* Τὸ κείμενον ἐλήφθη ἐκ τοῦ κώδικος Vat. gr. 375 (16ου αἰ.), ff. $153^{v}$-154 τῆς Βιβλιοθήκης Queriniana (Brescia τῆς Ἰταλίας). Ἡ ἐπεξεργασία τοῦ ἀνωτέρω κειμένου ἐγένετο ὑπὸ τοῦ κ. Παναγιώτου Νικολοπούλου, Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν.

## Η ΛΕΙΤΟΥΡΓΙΑ ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ*

*[Εὐχολόγιον Barberini]*
*⟨Λειτουργία κατηχουμένων⟩*

**53** [Ἐν δὲ τῷ λυχνικῷ μετὰ τὰ ἀναγνώσματα καὶ τὸ Κατευθυνθήτω καὶ τὸ Κύριε ἐλέησον γίνεται εὐχὴ κατηχουμένων ἐπὶ τῶν προηγιασμένων:]

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ «πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν»[1], ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης καὶ τῆς μεθοδείας τοῦ ἀντικειμένου καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ συγκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ, ἐφ' ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται[2].

Ἐκφώ(νως)· Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσιν τό...

**54** *Εὐχὴ εἰς τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους.*

Ἐπίφανον, δέσποτα, τὸ πρόσωπόν σου ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους καὶ ἐπιποθοῦντας τὸν τῆς ἁμαρτίας μολυσμὸν ἀποτινάξασθαι. Καταύγασον αὐτῶν τὴν διάνοιαν· βεβαίωσον αὐτοὺς ἐν τῇ πίστει[3]· στήριξον ἐν ἐλπίδι· τελείωσον ἐν ἀγάπῃ· μέλη τίμια τοῦ Χριστοῦ σου[4] ἀνάδειξον, τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ τῶν ψυχῶν ἡμῶν[5].

Ἐκφώ· Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

*⟨Λειτουργία πιστῶν⟩*
*Εὐχὴ πιστῶν α'*

Ὁ Θεὸς ὁ μέγας καὶ αἰνετός[6], ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ σου θανάτῳ εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας· σὺ πά-

* Κατὰ τὴν ἔκδοσιν τοῦ Δ. Ν. Μωραΐτου, Ἡ Λειτουργία τῶν Προηγιασμένων, Θεσσαλονίκη 1955, σσ. 53-59. (Πρβλ. PG 43, 1285-1328).

**1.** Α' Τιμ. 2,4. **2.** Πρβλ. Πράξ. 15,17. Ἰακ. 2,7. Δαν. 9,18. **3.** Πρβλ. Κολ. 2,7. **4.** Πρβλ. Α' Κορ. 6,15. **5.** Πρβλ. Α' Τιμ. 2,6. **6.** Πρβλ. Ψαλ. 47,2.

σας ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας. Καὶ ὀφθαλμὸς μὲν ἀμέτοχος ἔστω παντὸς πονηροῦ βλέμματος, ἀκοὴ δὲ λόγοις ἀργοῖς[1] ἀνεπίβατος, ἡ δὲ γλῶσσα καθαρευέτω ῥημάτων ἀπρεπῶν. Ἅγνισον δὲ ἡμῶν καὶ τὰ χείλη τὰ αἰνοῦντά σε, Κύριε, τὰς δὲ χεῖρας ἡμῶν ποίησον τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δὲ μόνα τὰ σοὶ εὐάρεστα, πάντα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν τῇ σῇ κατασφαλιζόμενος χάριτι.

**55** Ἐκφώ· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις.

*Εὐχὴ πιστῶν β′*

Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον[2], ἵλεων γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀξίους ἡμᾶς ποίησον τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, τοῦ βασιλέως τῆς δόξης[3]. Ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ σῶμα καὶ τὸ ζωοποιὸν αἷμα κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα, τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει τραπέζῃ[4], ὑπὸ πλήθους στρατιᾶς οὐρανίου[5] ἀοράτως δορυφορούμεθα· ὧν τὴν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρησαι· ἵνα δι᾽ αὐτῶν τὸ τῆς διανοίας ὄμμα καταυγαζόμενοι υἱοὶ φωτὸς καὶ ἡμέρας[6] γενώμεθα.

Ἐκφώ· Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ...

*⟨Εἴσοδος⟩*

*[Καὶ μετὰ τὸ πληρωθῆναι Αἱ δυνάμεις τῶν οὐρανῶν, ὁ ἱερεὺς ἐπεύχεται·]*

Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων Θεός, «παρ᾽ ᾧ οἱ θησαυροὶ **56** τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι»[7]· ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν καὶ θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς διὰ πολλήν σου φιλανθρωπίαν[8] «εἰς τὸ

---

**1.** Πρβλ. Ματθ. 12,36. **2.** Πρβλ. Ἐφ. 2,4. **3.** Πρβλ. Ψαλ. 23,7-8. **4.** Πρβλ. Ἐξ. 40,4. **5.** Πρβλ. Λουκ. 2,13. **6.** Πρβλ. Α′ Θεσ. 5,5. **7.** Κολ. 2,3. **8.** Πρβλ. Α′ Τιμ. 1,12.



προσφέρειν σοι δῶρά τε καὶ θυσίας»[1] ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων[2]· αὐτός, ἀόρατε βασιλεῦ, «ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός»[3], ἔπιδε ἐφ᾽ ἡμᾶς τοὺς ἀναξίους δούλους σου τοὺς τῷ ἁγίῳ τούτῳ θυσιαστηρίῳ ὡς τῷ χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ᾽ ᾧ ὁ μονογενής σου Υἱὸς καὶ Θεὸς ἡμῶν διὰ τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται μυστηρίων καὶ πάσης ἡμᾶς καὶ τὸν πιστόν σου λαὸν ἐλευθερεύσας ἀκαθαρσίας ἁγίασον πάντων ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἁγιασμῷ ἀναφαιρέτῳ· ἵνα ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ, πεφωτισμένῃ καρδίᾳ τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων καὶ ὑπ᾽ αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ Χριστῷ σου, τῷ ἀληθινῷ ἡμῶν Θεῷ, τῷ εἰπόντι· «Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ»[4]· ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπεριπατοῦντος τοῦ Λόγου σου[5], Κύριε, γενώμεθα ναὸς τοῦ ἁγίου καὶ προσκυνητοῦ σου Πνεύματος[6], λελυτρωμένοι πάσης διαβολικῆς μεθοδείας ἐν πράξει, ἢ λόγῳ, ἢ κατὰ διάνοιαν ἐνεργουμένης καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν πᾶσιν τοῖς ἁγίοις τοῖς ἀπ᾽ αἰῶνός σοι εὐαρεστήσασιν.

Ἐκφώ· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα...

Ὁ λαός· Πάτερ ἡμῶν

Ὁ ἱερεὺς ἐκφώ· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ὁ λαός· Ἀμήν.

**57** Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν

Ὁ λαός· Καὶ τῷ πνεύματί σου

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν...

Ὁ ἱερεὺς ἐπεύχεται·

Ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος, «ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν»[7], ἔφιδε εὐσπλάγχνῳ ὄμματι ἐπὶ πάντα τὸν λαόν σου καὶ φύλαξον αὐτὸν καὶ ἀξίωσον πάντας ἡμᾶς ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων μυστηρίων. Σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν κεφαλὰς ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

---

**1.** Ἑβρ. 5,1. **2.** Πρβλ. ἔνθ᾽ ἀν. 9,7. **3.** Ἰὼβ 5,9. **4.** Ἰω. 6,57. **5.** Πρβλ. Β′ Κορ. 6,16. Λευϊτ. 26,12. **6.** Πρβλ. Α′ Κορ. 6,19. **7.** Ψαλ. 112,5-6.

Ἐκφώ· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι νῦν...

Ὁ λαός· Ἀμήν.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἱερεύς· Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις.

Ὁ λαός· Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστός.

*Εὐχὴ μετὰ τὴν μετάληψιν*

Εὐχαριστοῦμέν σοι τῷ Σωτῆρι τῶν ὅλων Θεῷ ἐπὶ πᾶσιν οἷς παρέσχου **58** ἡμῖν ἀγαθοῖς καὶ ἐπὶ τῇ μεταλήψει τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου. Καὶ δεόμεθά σου, Δέσποτα φιλάνθρωπε· φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου[1] καὶ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου εἰς φωτισμὸν ψυχῆς καὶ σώματος, εἰς βασιλείας οὐρανῶν κληρονομίαν.

Ἐκφώ· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ λαός· Ἐν ὀνόματι Κυρίου.

*Εὐχὴ ὀπισθάμβωνος εἰς τὰ προηγιασμένα*

Δέσποτα, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν καὶ αὐθαιρέτῳ βουλήσει ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας πρὸς καθαρισμὸν ψυχῶν, πρὸς ἐγκράτειαν ἀναστάσεως· ὁ διὰ τῶν τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας, τὰ θεοχάρακτα γράμματα Μωσῇ· παράσχου καὶ ἡμῖν, Δέσποτα ἀγαθέ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι[2], τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν πίστιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀοράτων δρακόντων συνθλάσαι[3], νικηταί τε τῆς ἁμαρ**59**τίας ἀναφανῶμεν καὶ ἀκατακρίτως φθάσαι τὴν ἁγίαν σου ἀνάστασιν. Ὅτι ἅγιον ὑπάρχει τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

**1.** Πρβλ. Ψαλ. 16,8. **2.** Πρβλ. Β' Τιμ. 4,7. **3.** Πρβλ. Ψαλ. 73,13.

## ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΗΓΟΡΟΥΝΤΑΣ ΤΟ ΑΓΙΟΝ ΤΗΣ ΜΥΣΤΑΓΩΓΙΑΣ ΠΟΤΗΡΙΟΝ ΚΙΡΝΩΜΕΝΟΝ ΥΔΑΤΙ*

**298** Ὁ δὲ μέγας Ἐπιφάνιος, ὥσπερ ἀπόστολος ἅπαξ καὶ προφήτης ἐν τοῖς νέοις ἀναφανείς, λέγει ἐν τῇ πνευματικῇ αὐτοῦ λατρείᾳ καὶ τῆς μυσταγωγίας οὕτως· «Ἄξιον καὶ δίκαιόν ἐστιν ὁ Θεὸς ἡμῶν, εὐχαριστεῖν σοι ἀδιαλείπτως ὑπὲρ πασῶν τῶν εὐεργεσιῶν σου ὧν ἐδωρήσω ἡμῖν[1], πρῶτον μὲν ὅτι ἀπέστειλας ἡμῖν ἐξ οὐρανοῦ τὸν ἅγιον παῖδά σου[2], τὸν σύνθρονον τῆς βασιλείας σου, τὸν συναΐδιόν σου Υἱόν, τὸν Θεὸν Λόγον[3], ὃς **299** ἐλθὼν ἐπ' ἐσχάτων τῶν ἡμερῶν, λαβὼν τὴν ἡμετέραν ἀνθρωπότητα ὁ Λόγος σὰρξ γενόμενος[4] μὴ ὑπομείνας τροπήν, διὰ Πνεύματος Ἁγίου σάρκα καὶ ψυχὴν ἔννουν ἀνθρώπου ἔχων καὶ πάντα τὰ τοῦ ἀνθρώπου χωρὶς ἁμαρτίας[5], οὐχ ὡς ἐν ἀνθρώπῳ τινὶ ἐνοικήσας, ἀλλὰ αὐτὸς ὅλως ὁ Θεὸς Λόγος τέλειος τελείως βρωθείς, οὐκ ἀλλοιώσας τὴν ἀνθρωπότητα, οὐχὶ δύο ὑπάρχων, ἀλλ' εἷς Βασιλεύς[6], εἷς Χριστός[7], εἷς Κύριος[8] θεότητι καὶ ἀνθρωπότητι, ἀφύρτως καὶ ἀδιαιρέτως τὴν θείαν καὶ τὴν ἀνθρωπίνην πιστούμενος φύσιν τοῖς θεοσημείοις καὶ τοῖς πάθεσι τοῖς ἀνθρωπίνοις, μέλλων ἔρχεσθαι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν τὸν ὑπὲρ ἡμῶν θάνατον[9], λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν καὶ ἀναδείξας σοι τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ τοῖς ἁγίοις Ἀποστόλοις[10] εἰπών· «Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον»[11] «εἰς ἄφεσιν ἁμαρτιῶν»[12]. Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν ποτήριον[13] καὶ κεράσας ἐκ δύο στοιχείων, ἐκ γεννήματος ἀμπέλου

* Κατὰ τὴν ἔκδοσιν τοῦ G. Garitte, Un opuscule grec traduit de l' arménien, in Muséon 73 (1960) σσ. 298-299.

**1.** Πρβλ. Ἐφ. 5,20. Α' Θεσ. 2,13. **2.** Πρβλ. Γαλ. 4,4. **3.** Πρβλ. Ἰω. 1,1. **4.** Πρβλ. Ἰω. 1,14. **5.** Πρβλ. Ἰω. 8,46. Β' Κορ. 5,21. **6.** Πρβλ. Α' Τιμ. 6,15. **7.** Πρβλ. Ματθ. 23,10. **8.** Πρβλ. Α' Κορ. 8,6. **9.** Πρβλ. Ρωμ. 5,8. **10.** Πρβλ. Ματθ. 26,26. Μάρκ. 14,22. Λουκ. 22,19. Α' Κορ. 11,24. **11.** Α' Κορ. 11,24. **12.** Ματθ. 26,28. **13.** Πρβλ. Α' Κορ. 11,25. Ματθ. 26,27.

καὶ ὕδατος, ἐσφράγισε ποτήριον ἀθανασίας καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ εἰπών· «Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς Καινῆς Διαθήκης τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν»[1].

Καὶ μετ' ὀλίγου πάλιν λέγει· «Ἵνα ὁ ἄρτος οὗτος μεταστραπεὶς γένηται σῶμα Χριστοῦ, σῶμα θεῖον, σῶμα σωτήριον ψυχῶν καὶ σωμάτων, καὶ τὸ ἐν τῷ ποτηρίῳ τούτῳ κερασθὲν ἐπὶ τὸ αὐτὸ αἷμα Χριστοῦ, αἷμα Καινῆς Διαθήκης, αἷμα σωτήριόν ἐστιν ἡμῖν, εἰς τὸ μετέχειν ἡμᾶς ὅλους τῶν ἁγίων σου μυστηρίων ἐν καινότητι τοῦ Πνεύματος καὶ οὐχὶ παλαιότητι τοῦ γράμματος».

1. Ματθ. 26,28. Λουκ. 22,20. Μάρκ. 14,24.

## ΔΕΗΣΙΣ ΚΑΙ ΕΞΟΡΚΙΣΜΟΣ (ΑΠΟΣΠΑΣΜΑΤΑ)*

**[537]** Precatio incipit: Ἐπικαλούμεθά σε, Θεὲ παντοκράτορ Κύριε Ἰησοῦ Χριστὲ οὐράνιε Βασιλεῦ· ἐπικαλούμεθά σε τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. Exorcismus vero incipit: Ἐξορκίζω σε, πνεῦμα ἀκάθαρτον, κατὰ τοῦ λόγου Θεοῦ τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Desinit, φοβήθητι τὸν ἀναβαλλόμενον φῶς ὡς ἱμάτιον[1]· τὸν μόνον ἔχοντα ἀθανασίαν καὶ φῶς ἀπρόσιτον· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

* Κατὰ τὴν ἔκδοσιν τοῦ J - P. Migne, Patrologiae cursus completus, series Graeca, τ. 43, 537.

1. Πρβλ. Ψαλ. 103,2.

# ΠΙΝΑΞ
# ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ


Σελ.

Γεν. 1,16 ... 139
1,26 ... 155.156.188.239
1,31 ... 199
2,2 ... 159.199.200
2,8-14 ... 134
2,21-22 ... 156
3,6 ... 116.118.120.156
3,7-9 ... 199
3,10 ... 157
3,22 ... 23
3,24 ... 156.183
4,1 ... 116.118.120
4,8 ... 149.200
4,9 ... 200
4,10 ... 23
4,11-16 ... 200
4,15 ... 200
5,21-24 ... 200
6,9 ... 149
11,11 ... 207
12,1 ... 199
15,1 ... 199
17,1 ... 199
17,5 ... 199
18,1 ... 199
18,2 ... 197
18,6 ... 197
19,23 ... 159
21,27-31 ... 200
22,1 ... 149
22,1-19 ... 197
22,2 ... 149
22,9 ... 162
22,13 ... 201
22,14 ... 199
22,23 ... 198
23,2 ... 207.221
23,9 ... 207.221
23,19 ... 207.221
25,26 ... 149
27,29 ... 201
29,16 ... 198
29,28-30 ... 200
30,38 ... 197
37,3 ... 65.66.67
37,20 ... 162
39,12 ... 107
39,20 ... 149.162
41,1-7 ... 201
41,39-46 ... 197
44,4 ... 186
49,9 ... 29.30.31.32.33.259
49,10 ... 194.240
49,11 ... 251
49,16-19 ... 208
49,19 ... 222

Ἐξ. 1,2 ... 197
2,3 ... 160
2,5 ... 160
2,12-13 ... 160
3,2 ... 150
3,4 ... 202
7,3 ... 197
11,1 ... 197
12,1-28 ... 164
12,10 ... 258
12,21 ... 160
12,23 ... 161
12,46 ... 258
14,19 ... 161
14,21 ... 161
15,13 ... 160
15,20 ... 161.198

16,12-16 ... 197
16,13 ... 161
16,14 ... 161
17,6 ... 161
17,8-16 ... 18
17,10 ... 197
17,11-16 ... 112
17,14 ... 18
19,1 ... 197
20,8-10 ... 202
20,12 ... 48
20,13 ... 87.88
20,14 ... 88
20,15 ... 88
20,16 ... 88
21,2 ... 199
21,16 ... 47.48
24,7 ... 171
25,9 ... 208.222
25,40 ... 208.222
26,15 ... 201
31,17 ... 202
32,2-4 ... 172
32,19 ... 161
32,20 ... 161
34,28 ... 53.54.55
40,4 ... 286
40,13 ... 202

Λευϊτ.
11,13-19 ... 36.37.38
11,17 ... 41.42.111.112
11,19 ... 35.36.37
11,29 ... 74.75
20,9 ... 47.48
23,5 ... 201
26,12 ... 287

Ἀριθ.
9,3 ... 201
9,12 ... 258
20,7 ... 161
21,4-9 ... 36.37.38
23,22 ... 249
24,7 ... 243.247
24,8 ... 249
24,9 ... 259
24,17 ... 92.95.243.247

Δευτ.
4,12 ... 187
5,17 ... 87.88
5,18 ... 88
5,19 ... 88
5,21 ... 87.88
7,1 ... 201
14,8 ... 78
14,17 ... 41.42
14,18 ... 35.36.37
14,18-19 ... 36.37.38
15,12 ... 199
18,15 ... 240
18,19 ... 240
21,23 ... 256
28,66 ... 256

Ἰησ. Ν.
6,1-2 ... 201
6,17 ... 101.102
6,23 ... 101.102
10,12 ... 202
22,13 ... 202

Κριτ.
2,1 ... 215
4,1 ... 198
11,34-40 ... 202
13,24 ... 140
16,4-31 ... 107.108
16,12 ... 201
16,14 ... 201
16,19 ... 201

Α' Βασ.
1,3-4 ... 203
6,10 ... 202
16,13 ... 150.198
25,3 ... 197

Β' Βασ.
5,2 ... 182
7,3 ... 203
11,1 ... 203
11,17 ... 203
12,1 ... 203
12,13 ... 203
14,4 ... 197
14,9 ... 197
17,17 ... 205.219

Γ' Βασ.
1,15 ... 197



2,12 ... 150
6,22-23 ... 213.218
8,27 ... 244
11,29 ... 203
12,15 ... 203
12,28 ... 204
12,29 ... 205.211
13,1 ... 211
13,4 ... 204
13,15-20 ... 204
13,24 ... 204
13,28 ... 204
13,31 ... 204
17,1 ... 204.205.211.217
17,4-6 ... 212
17,7 ... 212
17,9 ... 212
17,12 ... 212
17,15 ... 212
17,17-23 ... 205-212
18,2 ... 212
18,3 ... 211
18,34-38 ... 198
18,38 ... 205
19,16 ... 205.224
19,19 ... 205
22,8 ... 211.216

Δ' Βασ.
1,3 ... 204
1,8 ... 204
1,13 ... 211.216
2,11 ... 169.205.224
2,19-22 ... 205
4,32-37 ... 205
5,1 ... 205
5,14 ... 205
5,20 ... 205
5,27 ... 205
13,21 ... 205.224
17,1 ... 223
18,1 ... 198
20,13 ... 219
20,17-18 ... 209.222
20,18-19 ... 220
21,1 ... 205.219
21,22 ... 198

Α' Παρλ.
3,17 ... 214
3,19 ... 214
5,40 ... 214
5,41 ... 214

Β' Παρλ.
15,1 ... 204
24,20 ... 215
24,20-21 ... 218
28,8-15 ... 204
32,3 ... 205.219
32,27 ... 219
32,30 ... 205.219
33,1 ... 205.219

Α' Ἔσδρ.
5,5 ... 214

Β' Ἔσδρ.
2,2 ... 214
3,2 ... 214

Ἐσθὴρ
2,16-20 ... 112
$4,17^{K}$-$17^{Z}$ ... 112
5,1-14 ... 112
6,7 ... 112
6,8 ... 112
6,9 ... 112

Ἰουδὶθ
10,13-14 ... 112
10,19 ... 112
16,1 ... 198

Α' Μακκ.
2,58 ... 205.224

Β' Μακκ.
2,4-8 ... 207.220
2,7 ... 207
2,8 ... 207.221
15,14 ... 206

Ψαλ.
1,3 ... 98.99.100
1,6 ... 113.114
2,1 ... 140.252
2,7-8 ... 266
2,11 ... 261
3,2-3 ... 252
6,2 ... 165
8,3 ... 138.251
9,36 ... 124.125.126
11,6 ... 260
13,7 ... 243

15,10 .......... 150.260
16,8 .......... 98.99.100.288
17,10 .......... 243
18,5 .......... 263
18,5-7 .......... 243
18,6 .......... 174
21,2 .......... 246
21,10 .......... 246
21,16 .......... 259
21,17 .......... 255
21,19 .......... 257
23,1 .......... 171
23,7 .......... 152.153
23,7-8 .......... 286
23,8 .......... 32.154
23,8-9 .......... 154
23,9 .......... 152.153
23,10 .......... 29.30.154
29,4 .......... 150.260
29,6 .......... 260
30,17 .......... 150.243
32,6 .......... 240
33,8 .......... 244
33,19 .......... 244
34,11-12 .......... 252
36,32-33 .......... 248
37,12 .......... 253
37,14 .......... 256
37,15 .......... 256
38,2 .......... 281
40,6-9 .......... 253
40,10 .......... 253
41,2 .......... 87.89
43,24 .......... 165
43,25 .......... 165
44,8 .......... 246
44,10 .......... 65.66.67.135
46,2-3 .......... 170
46,6 .......... 170.263
47,2 .......... 285
49,3 .......... 267
50,12 .......... 160
51,3-5 .......... 253
51,10 .......... 134
54,22-23 .......... 253
56,2 .......... 98.99.100
56,9 .......... 260
57,5 .......... 75
58,2-3 .......... 252
59,6 .......... 264
62,7 .......... 96.97
62,11 .......... 64.65
63,6 .......... 248
63,7 .......... 248.257
65,3 .......... 248
65,4 .......... 137
66,2 .......... 244
67,5 .......... 153
67,19 .......... 35.37.38
67,21 .......... 153
68,2 .......... 116.118.120
68,2-3 .......... 254
68,21 .......... 254
68,22 .......... 255
70,1-2 .......... 254
71,5 .......... 239
71,6 .......... 244
71,7-8 .......... 194
71,10-11 .......... 247
73,13 .......... 288
73,13-14 .......... 161
75,6 .......... 260
75,9-11 .......... 266
76,3 .......... 24
76,4 .......... 189
78,8 .......... 150.166
78,11 .......... 166
79,2 .......... 150
79,3 .......... 150
80,6 .......... 162
81,8 .......... 260
83,8 .......... 244
84,12 .......... 244
85,13 .......... 150
86,4 .......... 102
86,5 .......... 244
87,2 .......... 260
87,5 .......... 156.260
87,9 .......... 254
87,14 .......... 260
88,30 .......... 245
88,36-37 .......... 245
90,1 .......... 98.99.100.157
91,11 .......... 75.76
91,13 .......... 185
92,2 .......... 264



95,11 .......... 136
95,13 .......... 265
97,3 .......... 244
101,7 .......... 38.39.41
101,7-8 .......... 42
101,26-27 .......... 266
101,28 .......... 268
102,4 .......... 166
102,5 .......... 42.43.44.45
103,2 .......... 108.109.139.291
103,4 .......... 12
103,17 .......... 128.129
104,40 .......... 161
105,2 .......... 171
106,10 .......... 188
106,16 .......... 151.188.259
106,20 .......... 240
108,1-2 .......... 253
108,25 .......... 256
109,1 .......... 30.31.33.188.264
109,3 .......... 239
109,4 .......... 280
111,10 .......... 248
112,1 .......... 137
112,5-6 .......... 287
113,10 .......... 166
117,22 .......... 71.72.73.126.127
117,24 .......... 159
117,26 .......... 135
117,26-27 .......... 244
117,27 .......... 133.136.137 138.159
118,21 .......... 13
118,22 .......... 195
118,27 .......... 135
118,105 .......... 178
118,107 .......... 166
118,164 .......... 280
120,4 .......... 30.33.82.83
123,7 .......... 77
129,1 .......... 150
131,11 .......... 245
131,17 .......... 179
135,7-9 .......... 139
140,3 .......... 281
145,7 .......... 152.164
148,2 .......... 147
148,3 .......... 139
148,7-8 .......... 139
148,12 .......... 167

Ἰώβ
1,1 .......... 92.95.96
3,10 .......... 245
4,11 .......... 73.74
5,9 .......... 287
9,8 .......... 249
30,29 .......... 60
31,40 .......... 57.58.59
38,9 .......... 139
38,10 .......... 139
38,17 .......... 141.259
39,5 .......... 49
41,1-3 .......... 250

Παρμ.
3,18 .......... 98.99.100
5,3-5 .......... 68.69
6,6 .......... 56.57.58
8,23-25 .......... 239
8,27-30 .......... 240
23-35 .......... 257
30,16 .......... 197
30,18-19 .......... 197
30,21 .......... 197
30,22 .......... 197
30,23 .......... 197
30,30 .......... 197
30,31 .......... 197

Ἐκκλ.
9,17 .......... 168
11,9-12,3 .......... 266

Ἆσμ.
1,12 .......... 252
2,8 .......... 113.114
2,11-12 .......... 259
2,12 .......... 83.84.85
2,13-14 .......... 261
2,15 .......... 64.65
3,1 .......... 261
3,3 .......... 261
3,4 .......... 261
3,11 .......... 255
4,3 .......... 101.103
4,12 .......... 176
5,1 .......... 255.262
5,2 .......... 30.31.32

5,5 .......... 255
6,7 .......... 84
7,3 .......... 176
8,2 .......... 255

Σ.Σολ. 2,13 .......... 256
2,18 .......... 256
2,20 .......... 255
9,9 .......... 240

Σ.Σειρ 2,12 .......... 73
9,8 .......... 107.108
47,1 .......... 203
48,3 .......... 205
48,9 .......... 205
48,13 .......... 205
48,14 .......... 205
48,17 .......... 205.219

Ὠσ. 1,1 .......... 210.216
4,1 .......... 265
5,4 .......... 210
5,14 .......... 65.66.67
5,15-6,2 .......... 262
6,3 .......... 240
9,13 .......... 244
11,1 .......... 249
13,14 .......... 79.80.262
14,7 .......... 134

Ἀμ. 1,1 .......... 211.216
7,8 .......... 93
7,8-9 .......... 94
7,10 .......... 211
7,14 .......... 129.130
8,9-10 .......... 257
9,6 .......... 263
9,11 .......... 240

Μιχ. 1,1 .......... 211.216
4,1 .......... 241
4,2 .......... 241
4,14 .......... 254
5,1 .......... 182
5,1-3 .......... 177
5,3 .......... 182
6,2 .......... 265

Ἰωήλ 1,1 .......... 211.216
2,1-2 .......... 266
2,1-3 .......... 265
2,6 .......... 265
2,10 .......... 257
3,1 .......... 211
3,3-5 .......... 266
4,1 .......... 211
4,16 .......... 241
4,17 .......... 241

Ὀβδ. 1,1 .......... 211
1,15 .......... 241
1,17 .......... 241

Ἰων. 1,1 .......... 211.216
1,2 .......... 212
1,3 .......... 212
1,10 .......... 212
2,1 .......... 150.162.199.212
2,1-2 .......... 112
2,1-4,2 .......... 216
2,7 .......... 150
2,9 .......... 262
3,2 .......... 212
3,5 .......... 199
3,10 .......... 212
4,1 .......... 212

Ναούμ 1,1 .......... 212.217
1,7 .......... 241
1,8 .......... 212
1,14-21 .......... 260
2,2 .......... 262
2,8 .......... 212
2,9 .......... 217
3,5 .......... 241
3,15 .......... 212

Ἀββ. 1,1 .......... 212
1,6 .......... 213.217
2,3 .......... 241
2,11 .......... 217
3,2 .......... 213.241
3,3 .......... 241
3,4 .......... 213
3,17 .......... 250





Σοφ. Κεφ. 1 .......... 213.218
1,1 .......... 213.218
2,11 .......... 214
3,7 .......... 262
3,7-8 .......... 261
3,9 .......... 214
3,14 .......... 134.135
3,14-15 .......... 241
3,16-17 .......... 241

Ἀγγ. 1,1 .......... 218
1,8 .......... 214.218
2,4-5 .......... 241
2,9 .......... 214.218

Ζαχ. 1,1 .......... 214.218
1,16 .......... 214.218
2,9 .......... 132
2,14 .......... 241
3,1-2 .......... 250
3,9 .......... 246
4,2 .......... 178.201
4,9 .......... 214.218
4,10 .......... 246
6,2 .......... 34.92.95.96.136 218.241
6,12-15 .......... 214
8,3 .......... 241
9,9 .......... 132.135.136.251
9,11 .......... 262
11,12 .......... 19.253
12,10 .......... 258
13,2 .......... 214
13,4 .......... 218
13,7 .......... 218
14,6-7 .......... 257
14,12 .......... 213.214.218
14,16 .......... 263
14,18 .......... 213.218

Μαλ. 1,14 .......... 241
2,7 .......... 215
Κεφ. 3 .......... 214
3,1 .......... 214.240.242.251
3,1-3 .......... 265
3,5 .......... 251.265
3,20 .......... 34.35.43.44.144 158.159.242.250
3,22-23 .......... 224

Ἠσ. 1,2 .......... 38.39.40
1,3 .......... 138
1,16 .......... 264
2,1 .......... 211
2,2 .......... 242
2,3 .......... 242
3,9-10 .......... 254
3,14 .......... 242
4,1 .......... 201
4,2 .......... 242
4,2-5 .......... 265
5,2 .......... 255
5,4 .......... 255
6,1 .......... 188.264
6,2 .......... 148.152
6,3 .......... 136.196.283
7,14 .......... 177.245
8,4 .......... 247
8,6 .......... 205.219
8,8-9 .......... 244
8,14 .......... 246
8,16 .......... 264
8,18 .......... 135
9,1 .......... 41.42.92.93.95.96 129.130.133.140
9,2 .......... 188
9,5 .......... 143.181.194.195.246
9,6 .......... 245
10,19 .......... 247
11,1 .......... 134
11,1-2 .......... 173.242
11,2 .......... 201
11,3 .......... 267
11,10 .......... 194.242
13,21 .......... 59.61
14,9 .......... 259
19,1 .......... 176.206.220.249
19,21 .......... 249
22,9-11 .......... 205.219
25,8 .......... 250
25,9-10 .......... 251
26,17-18 .......... 71.72.73
26,19 .......... 262
27,11 .......... 261

28,16 ... 126.127
30,10 ... 262
33,16 ... 247.258
33,17 ... 242
34,4 ... 266
35,3-4 ... 250
35,4-6 ... 250
38,14 ... 84.85
39,7 ... 209.222
40,3 ... 242
40,3-6 ... 93
40,10 ... 242
40,12 ... 146
42,5-7 ... 240
43,2 ... 90.91
44,24 ... 139
45,14-15 ... 242.244
48,5 ... 224
49,7 ... 254
49,9 ... 79.80
50,5-6 ... 254
51,1 ... 258
51,12-13 ... 255
52,6-7 ... 263
52,15 ... 251
53,1 ... 251
53,4 ... 35.37.38.126.127
53,4-5 ... 257
53,7 ... 255.256
53,8 ... 260
53,8-9 ... 259
53,9 ... 84.260
53,11 ... 35.37.38
53,12 ... 35.37.38.164.258
54,1 ... 49.50
57,1-2 ... 259
57,4 ... 254
57,19 ... 66
60,4 ... 135
60,6 ... 247
61,1 ... 240.246
61,1-2 ... 263
62,2 ... 264
62,11 ... 132.242
63,1-2 ... 256
63,11 ... 260
65,1 ... 244
65,15-16 ... 264
66,1 ... 264
66,2 ... 254
66,7 ... 246
66,14 ... 242
66,16 ... 204

Ἱερ. 1,1 ... 206.220
2,13 ... 43.44
3,2 ... 82.83
3,9 ... 82.83
4,9 ... 248
5,1 ... 281
7,11 ... 252
8,7 ... 84.85
11,19 ... 255
12,7 ... 254
12,8 ... 254
12,9 ... 78
15,10 ... 246
15,15 ... 242
17,9 ... 32.244
17,11 ... 70
18,22-23 ... 252
23,5-6 ... 243.245
27,44 ... 249
35,9 ... 243
36,12-14 ... 243
38,15-17 ... 247
38,23 ... 243
38,26 ... 260
39,39 ... 263
43,8 ... 220
45,6 ... 150.162

Βαρ. 1,12 ... 210
3,36 ... 136
3,36-37 ... 244
3,38 ... 244

Θρ. 3,53 ... 258
4,20 ... 242.252

Ἰεζ. 1,3 ... 207.208.221
1,10 ... 243
8,3 ... 208.222
9,3-6 ... 264
16,60 ... 243



17,24 ... 250
20,40 ... 243
25,28 ... 207
29,3 ... 81
34,11 ... 243
36,8 ... 208.221
36,25 ... 263
36,26 ... 263
36,27 ... 263
37,11 ... 208.222
37,12-14 ... 262
39,28 ... 243
40,1 ... 208
44,2 ... 176
44,2-4 ... 245
47,1 ... 208.221
47,2-3 ... 249
47,8-9 ... 249
47,9 ... 208.222

Δαν.(Σωσ.) Κεφ. 1 ... 112
52 ... 53.55

Δαν. 1,3 ... 209.222
1,7 ... 210.223
1,8 ... 209.222
1,13 ... 209.222
2,18 ... 197
2,34 ... 71.72.73.195.246
2,44 ... 268
2,45 ... 176
3,1 ... 91.92
3,13 ... 197
3,46 ... 91
3,46-97 ... 112
3,50 ... 90.91
4,16 ... 209
4,32-33 ... 209.222
4,34 ... 209.223
4,34-36 ... 210
4,36 ... 223
4,37 ... 209
5,22 ... 210
6,6 ... 198
6,8 ... 150
6,18 ... 259
6,18-25 ... 112
7,9 ... 143
7,13-14 ... 266
7,21 ... 267
7,24-25 ... 267
9,18 ... 285
9,25 ... 208.222.243
12,1 ... 267

Δαν.(Βήλ) 4 ... 223
22 ... 223
31-32 ... 162
32 ... 217
33 ... 213
37 ... 213
42 ... 223

Ματθ. 1,1 ... 150
1,6 ... 150
1,16 ... 142
1,23 ... 135.143.177
2,1 ... 181
2,2 ... 194
2,3-5 ... 194
2,4 ... 181.182
2,6 ... 182
2,9 ... 182
2,10 ... 194
2,11 ... 142.182.194
2,12 ... 145.198
2,13 ... 145.164
2,13-15 ... 206.220
2,14-15 ... 145
2,15 ... 145.249
2,16 ... 167
2,16-17 ... 194
3,1 ... 150
3,2 ... 110.111
3,3 ... 93
3,7 ... 50.51.52
3,11 ... 161
3,12 ... 57.58.59
3,13-17 ... 202
3,15 ... 145
3,16 ... 161
3,16-17 ... 93.101.102
3,17 ... 168
3,46 ... 95.96
4,1 ... 24
4,2 ... 24.53.54.55.165

4,10 … 13
4,16 … 41.42.92.93.129
130.140.149
4,17 … 110.111
4,18 … 230
4,21 … 226
5,3 … 110.111
5,4 … 133
5,18 … 267
5,20 … 281
5,22 … 198
5,23-24 … 280
5,27-28 … 202
5,35 … 142
5,37 … 74
5,38-39 … 202
6,13 … 62.63
6,24 … 13
7,14 … 53.54.55
8,1 … 185
8,12 … 198
8,14 … 25
8,17 … 35.37.38.126.127
8,20 … 64.65.145
8,29 … 81
9,15 … 190
9,20 … 147.185
9,20-23 … 280
10,2 … 226
10,3 … 227.238
10,4 … 227.228
10,16 … 52.54.55.104.105
10,19 … 110.111
10,22 … 110
10,26 … 141
11,5 … 133.138
11,11 … 215
11,21 … 130
11,28 … 101.102.133
12,29 … 187
12,36 … 286
12,39 … 150
12,40 … 21.199
12,48 … 198
13,4-5 … 171
13,5 … 171
13,7 … 172
13,8 … 172
13,23 … 171
13,30 … 57.58.59
13,33 … 199
13,46 … 121.122.123
13,55 … 145.227.228
14,2-5 … 215
14,10 … 150
14,25 … 139
15,21-28 … 280
15,22 … 164
16,18 … 141.148.149
16,19 … 12
16,21 … 164
17,1 … 85
17,3 … 142
17,4 … 84.85
17,5 … 84.85
18,12 … 157.169
18,18 … 12
18,19 … 163
19,18 … 88
19,21 … 123
19,24 … 50.51.52
20,28 … 164.202
21,1-8 … 136
21,2 … 135.137.184
21,3 … 185
21,5 … 132.135.184
21,7 … 135.138
21,8 … 137.184.185
21,9 … 133.135.136.137.138
184.185.186
21,9-10 … 138
21,10 … 184.186
21,12 … 184
21,15 … 137.184
21,16 … 138.184.185.186
21,18-19 … 199
21,19 … 199
21,42 … 71.72.73.126
127.195
22,30 … 12
23,10 … 289
23,37 … 206
24,2 … 199
24,19 … 71.72
24,30 … 267
25,1 … 132.133



25,8 … 56.57.58
25,36 … 146
26,2 … 19
26,5 … 19
26,14-18 … 19
26,14 … 145
26,15 … 14.164.199
26,26 … 289
26,27 … 38.39.40.289
26,28 … 178.289.290
26,38 … 165
26,40 … 146
26,47 … 137
26,48 … 14.113.114
26,53 … 151
26,64 … 30.31.33
27,2 … 20.141
27,5 … 144
27,9 … 19.253
27,15 … 141
27,22 … 137
27,24 … 141
27,26 … 156
27,28 … 164
27,28-29 … 101.103
27,29 … 141.156.170
27,33 … 21.146
27,34 … 21.156
27,36 … 21
27,45 … 21.140
27,48 … 137.146.156.170
27,51 … 144
27,52 … 140.157.158
27,53 … 157
27,57 … 142.144
27,57-58 … 143.144
27,59 … 148
28,1 … 142
28,6 … 130.131
28,9 … 143.165.200
28,19 … 43.44.198

Μάρκ. 1,3 … 93
1,4 … 38.39.40
1,9 … 170.202
1,11 … 168
1,19 … 226
2,14 … 238
2,19 … 190
3,1 … 147
3,11 … 81
3,18 … 228
3,27 … 187
6,3 … 145.227.228
6,16-20 … 215
7,24-30 … 280
7,32 … 146
8,22 … 146
8,31 … 79.80.162.164
167.170
9,2 … 85
9,5 … 84.85
9,7 … 84.85
9,43 … 198
9,48 … 198
10,19 … 88
10,25 … 50.51.52
10,35 … 226
10,38 … 94
10,44 … 117.118.120
11,1-8 … 136
11,2 … 137
11,9 … 137
11,25-26 … 280
12,10 … 71.72.73
13,17 … 71.72
13,26 … 267
13,31 … 267
14,1 … 19
14,21 … 199
14,22 … 289
14,22-24 … 178
14,24 … 290
14,44 … 113.114
14,50 … 146
14,65 … 141.145.156.170
15,1 … 20.141
15,19 … 156
15,20 … 164
15,25 … 20
15,36 … 156
15,42 … 144
15,42-43 … 143.144
15,43 … 144.146
15,46 … 148
16,6 … 130.131

16,19 ... 30.31.33.169.170

Λουχ.
1,5 ... 215
1,26 ... 142.199
1,28 ... 143.174.180
1,31 ... 201
1,33 ... 188
1,35 ... 98.99.100.161.192
1,38 ... 193
1,56 ... 198
1,57-67 ... 215
1,67 ... 215
1,69 ... 76
1,78 ... 34
1,79 ... 41.42.95.96.129 130.133.151.188
2,4 ... 29
2,7 ... 142.145
2,8 ... 142
2,8-11 ... 194
2,13 ... 147.152.194.286
2,14 ... 181.191.194
2,19 ... 193
2,24 ... 143
2,25 ... 215
2,26 ... 190.215
2,28 ... 215
2,29-30 ... 190.215
2,49 ... 198
2,51 ... 193
3,3 ... 38.39.40
3,4-6 ... 93
3,7 ... 50.51.52
3,17 ... 57.58.59
3,19 ... 215
3,21 ... 202
3,22 ... 168
4,2 ... 165
4,5 ... 198
4,9 ... 198
4,11 ... 157
4,12 ... 198
4,41 ... 81
5,10 ... 226
5,27 ... 238
5,34 ... 190
6,15 ... 228
6,16 ... 227.238
7,28 ... 215
7,37-38 ... 164
9,11 ... 282
9,28 ... 85
9,33 ... 84.85
9,35 ... 84.85
9,51 ... 230
10,13 ... 130
12,16 ... 145
12,32 ... 41.42
13,31 ... 141
13,32 ... 64
13,34 ... 206
15,4-6 ... 169
16,22 ... 198
18,10-14 ... 280
18,25 ... 50.51.52
18,33 ... 164
19,4 ... 129.130
19,9 ... 65.67.140
19,29-37 ... 136
19,30 ... 137
19,44 ... 199
20,17 ... 71.72.73
21,23 ... 71.72
21,33 ... 267
22,17-20 ... 178
22,19 ... 289
22,19-20 ... 166
22,20 ... 290
22,37 ... 164
22,47 ... 113.114
22,61-62 ... 164
22,69 ... 30.31.33
23,1 ... 20
23,7 ... 20
23,9-11 ... 20
23,36 ... 156
23,40-43 ... 142
23,40-44 ... 164.165
23,42-44 ... 200
23,43 ... 183
23,44-45 ... 202
23,45 ... 144
23,53 ... 148
24,5 ... 142.148
24,6 ... 130.131
24,9 ... 142



24,18 ... 200.232
24,39 ... 156
24,51 ... 143
26,24 ... 199
43,8 ... 185

Ἰω.
1,1 ... 289
1,9 ... 147.148
1,11 ... 93
1,14 ... 29.32.76.135 148.289
1,23 ... 93
1,29 ... 113.114.120.123 124.136.161.168.215
1,32 ... 93.101.102
1,40 ... 226
1,44 ... 227
1,45 ... 142
2,3 ... 150
2,6 ... 199
2,19-21 ... 199
3,13 ... 169
3,14 ... 36.37.38
3,16 ... 146
3,18 ... 146
4,6 ... 164.200
4,14 ... 53.54.55
4,24 ... 13
5,8 ... 147
5,37 ... 187
6,35 ... 128.129
6,41 ... 161
6,49 ... 161
6,57 ... 287
6,68 ... 226
7,37 ... 133
8,12 ... 148.178.189
8,46 ... 92.95.289
8,58 ... 181
9,7 ... 205.219
10,18 ... 45.46.47
11,4 ... 198
11,17 ... 134
11,25 ... 148.155
11,33 ... 147
11,44 ... 133
12,1 ... 200
12,2 ... 133
12,13 ... 133.137.185
12,32 ... 109
12,46 ... 178
14,2 ... 202
14,6 ... 148
14,30 ... 35.36.37
14,31 ... 156.157
15,1 ... 62.63.134.158
18,1 ... 156
18,13-14 ... 141
18,24 ... 20
18,28 ... 20
19,1 ... 164
19,2 ... 101.103
19,14 ... 20
19,17 ... 201
19,18 ... 156
19,25 ... 232
19,26-27 ... 165
19,28 ... 164
19,29 ... 156
19,30 ... 170
19,34 ... 38.39.40.87.89.90 130.131.147.156.161.165
19,37 ... 258
19,38 ... 144.147.148
19.39 ... 142.144.147
19,40 ... 142.147
19,41 ... 156
20,1 ... 130.131
20,17 ... 142
20,19 ... 24.153
20,24 ... 200
20,25 ... 170
20,26 ... 200
20,27 ... 147.156
21,1-3 ... 200
21,18 ... 226
21,27 ... 267

Πράξ.
1,3 ... 170
1,9 ... 200
1,10 ... 172
1,11 ... 170.172
1,13 ... 227
1,23 ... 228.230.235
1,26 ... 235
2,1 ... 168.230

2,24 ... 79.80
3,25 ... 29
5,30 ... 140
6,3 ... 230
6,5 ... 202.231.232
7,1 ... 231
7,44 ... 208.222
7,50-60 ... 232
7,55 ... 30.31.33
8,9 ... 25
8,12-13 ... 231
8,26-39 ... 231
8,27 ... 237
9,9 ... 199
9,10 ... 231
9,18 ... 199
9,27 ... 231
10,13-14 ... 25
10,26 ... 12
10,35 ... 26
10,42 ... 142.148
10,47 ... 26
11,3 ... 26
11,4-6 ... 26
11,22-26 ... 231
11,28 ... 233
12,1-2 ... 226
12,12 ... 229.236
12,25 ... 236
13,24 ... 38.39.40
14,15 ... 12
15,17 ... 285
15,22 ... 232
15,37 ... 236
16,1 ... 230
16,1-3 ... 231
19,4 ... 38.39.40
19.29 ... 233
20,4 ... 236
20,28 ... 16
21,29 ... 236
23,3 ... 11

Ρωμ.
1,1 ... 230
1,3 ... 29
1,4 ... 30.31
1,25 ... 38.39.40
1,27 ... 78
5,8 ... 289
5,14 ... 168
5,14-18 ... 164
5,19 ... 156
7,14 ... 57.58
8,21 ... 151
8,29 ... 12
8,36 ... 141
11,33 ... 111.112
12,6 ... 198
13,13 ... 191
14,9 ... 157
14,11 ... 13
15,12 ... 134
16,3 ... 236
16,5 ... 232
16,7 ... 232.236
16,8 ... 232
16,9 ... 232
16,10 ... 233.235
16,11 ... 233.234
16,13 ... 233
16,14 ... 233
16,15 ... 233.234
16,18 ... 60.61.62
16,20 ... 17
16,21 ... 234
16,22 ... 234
16,23 ... 233.234

Α' Κορ.
1,1 ... 228.230.235
1,12 ... 235
1,24 ... 192
2,15 ... 92.95
2,9 ... 157
3,4 ... 235
3,16 ... 88
3,21 ... 235
4,17 ... 231
5,7 ... 160
6,15 ... 285
6,19 ... 287
8,4 ... 24
8,6 ... 289
10,1-2 ... 161
10,4 ... 140.161
10,9 ... 16
10,10 ... 16



10,26 ... 171
11,3 ... 54.55.56
11,24 ... 289
11,25 ... 289
12,26 ... 162
12,28 ... 162
13,2 ... 91
13,13 ... 198
15,4 ... 134
15,47 ... 136
15,5 ... 200
15,7-8 ... 200
15,21 ... 168
15,22 ... 149.168
15,25 ... 188
15,26 ... 151
15,33 ... 60.61.62
15,54 ... 151
15,55 ... 79.80
16.10 ... 231
16,19 ... 236

Β' Κορ.
1,17 ... 74
3,6 ... 57.58.59
5,10 ... 62.63
5,17 ... 134.141.158 160.161
5,21 ... 41.42.289
6,15 ... 169
6,16 ... 287
11,2 ... 82.83
11,7 ... 41,42
11,23-28 ... 92.95.96
11,25 ... 199
12,3 ... 199
12,7-8 ... 199
13,3 ... 92.95.96

Γαλ.
1,1 ... 228
1,19 ... 227.231
4,4 ... 289
4,27 ... 49.50
5,19 ... 105.106.107.191
5,19-21 ... 64
5,22 ... 66.201
5,22-23 ... 98.99
6,14 ... 99

Ἐφ.
2,1 ... 40
2,4 ... 286
2,14 ... 151.183
2,17 ... 65.66.67
2,20 ... 140.142
3,10 ... 65.66.67
4,3 ... 17
4,5-6 ... 97
4,8 ... 35.37.38
4,22 ... 34.35.43.44.53.55
4,22-24 ... 44
4,24 ... 43.45
5,2 ... 141
5,14 ... 96.97.98.155
5,20 ... 289
6,21 ... 235

Φιλιπ.
1,1 ... 231
2,6-7 ... 156
2,7 ... 81.117.118.120.164
2,10 ... 160.198
2,11 ... 195
2,25 ... 235
3,1 ... 134
4,3 ... 235
4,4 ... 184
4,22 ... 235

Κολ.
1,2 ... 231
1,13 ... 148
1,15 ... 30.33.282
1,23 ... 228
2,3 ... 286
2,7 ... 285
2,13 ... 40
2,14 ... 156
3,5 ... 98.100
3,9 ... 34.35.43.44.53.55
3,10 ... 43.45
4,7 ... 235
4,10 ... 235.236
4,11 ... 235
4,14 ... 230

Α' Θεσ.
1,1 ... 231

| | | |
|---|---|---|
| | 2,13 | 289 |
| | 5,5 | 286 |
| Β΄ Θεσ. | 2,15 | 16 |
| Α΄ Τιμ. | 1,1-3 | 236 |
| | 1,2 | 231 |
| | 1,12 | 286 |
| | 1,15 | 195 |
| | 2,4 | 285 |
| | 2,5 | 282 |
| | 2,6 | 285 |
| | 2,13 | 155 |
| | 3,16 | 200 |
| | 6,15 | 289 |
| Β΄ Τιμ. | 1,8 | 236 |
| | 1,15 | 234 |
| | 1,16 | 235 |
| | 3,5 | 60.61.62 |
| | 4,7 | 288 |
| | 4,8 | 148 |
| | 4,10 | 232.234.237 |
| | 4,11 | 230 |
| | 4,12 | 235 |
| | 4,13 | 235 |
| | 4,19 | 235.236 |
| | 4,20 | 236 |
| | 4,21 | 233.236 |
| Τίτ. | 1,1-5 | 236 |
| | 1,4-5 | 231 |
| | 3,5 | 89 |
| | 3,12 | 235 |
| | 3,13 | 236 |
| Ἑβρ. | 2,14 | 184.192 |
| | 3,4 | 199 |
| | 4,3-5 | 202 |
| | 4,4 | 159.200 |
| | 5,1 | 287 |
| | 5,9 | 140 |
| | 6,20 | 27 |
| | 7,2 | 27 |
| | 7,3 | 27 |
| | 7,17 | 280 |
| | 7,21 | 280 |
| | 9,7 | 287 |
| | 9,26 | 141 |
| | 10,13 | 188 |
| | 11,1 | 196 |
| | 11,2 | 196 |
| | 11,11-13 | 198 |
| | 11,29 | 141 |
| | 11,31 | 101.102 |
| | 11,33 | 90 |
| | 11,34 | 92 |
| | 11,37 | 205.206.219.220 |
| | 11,38 | 166 |
| | 12,4 | 94 |
| | 12,22 | 152 |
| Ἰακ. | 1,1 | 226 |
| | 1,8 | 60.61.73.74 |
| | 2,7 | 285 |
| | 2,25 | 101.102 |
| | 5,6 | 82.83 |
| | 5,12 | 74 |
| | 5,16 | 163 |
| Α΄ Πέτρ. | 1,1 | 226.228.230 |
| | 1,19 | 165 |
| | 2,4 | 126.127 |
| | 2,6 | 140.142 |
| | 2,9 | 198 |
| | 2,21 | 141.148 |
| | 2,22 | 84 |
| | 2,24 | 35.168 |
| | 4,5-6 | 141 |
| | 4,6 | 141.149.151 |
| | 4,9 | 149 |
| Β΄ Πέτρ. | 1,4 | 192 |
| Α΄ Ἰω. | 1,5 | 35.36.37 |
| | 2,19 | 234 |
| | 3,2 | 12 |
| | 4,18 | 126.127 |
| Ἀποχ. | 1,5 | 30.31 |
| | 1,6 | 139.198 |
| | 5,6 | 201 |
| | 12,9 | 132 |
| | 20,3 | 160 |
| | 21,4 | 151 |
| | 21,6 | 134 |
| | 22,9 | 12 |


# ΠΙΝΑΞ
# ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Δρος Θεολογίας Ἰωάννου Ἀγγελοπούλου)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος. β) Ὅταν πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος εὑρίσκηται τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.


**Ἀ**αρὼν 197,11. 202,2. 207,8,18.

Ἀβδιοῦ 211,20. 216,17.

Ἄβελ. - ὁ πρωτόθνητος 149,21.

Ἀβιμέλεχ 200,27.

Ἀβραὰμ 14,3. 149,27,29. σελ. 197. 199,21. 200,27. 202,21. 207,28,29. 221,20.

Ἄγαβος 233,24.

Ἀγάπη 198,5.

Ἀγγαῖος σελ. 214. 218,9.

Ἄγγελοι σελ. 12. 29,16. 32,11. 76,7. 132,18. 133,6. 135,20. 137,8. σελ. 142. 148,5. 152,4. 157,20. 158,2. 168,31. 169,25. 173,23,24. 175,12,35. 176,1,4. 177,31. 178,4,10. 179,13. 180,22,33. σελ. 181. σελ. 183. 184,20. 186,6. 187,19. 191,18,23. σελ. 194. 197,2,4. 213,21. 229,27. 281,26. — ἐν ζόφῳ εἰσὶν ἕνεκεν γυναικῶν 107,22. — τὴν Εὔαν ἐμέμφοντο 182,33.

Ἄγγελος 185,4. 215,2. 218,3. 219,1,4. 240,15. — τῆς διαθήκης 241,31. Μαλαχί, ὃ ἑρμηνεύεται — 214,31.

Ἀγελάρχης σελ. 49.

Ἅγιοι 265,3.

Ἁγνεία 172,8.

Ἀδὰμ 40,24. 116,26,31. 118,11,16. 120,5,13. σελ. 149. 151,23. σελ. 155. 157,20,29. 158,16,23. 197,1. 199,20.

Ἀδαμάντινος. — λίθος 114,28,29. σελ. 115. — ὁ Κύριος Ἰησοῦς Χριστὸς 115,5.

Ἀδάμας σελ. 92. σελ. 93. σελ. 94. σελ. 95. — λίθος ὁ Κύριος Ἰησοῦς Χριστὸς 115,15.

Ἀδὰρ (μήν) 45,11. 46,9.

Ἅδης 139,22. σελ. 140. σελ. 150. σελ. 151. 152,16,19. σελ. 153. 155,7. 157,1. 183,15. σελ. 187. 188,4. 197,22. σελ. 259. Κοσμοδόχον κῆτος τοῦ — 150,5. Τοῖς ἐν — τὸ κήρυγμα 141,2.

Ἀετὸς σελ. 42. σελ. 43. σελ.44.

Ἀζαρίας 204,18.

Ἀθανασία 184,2,3.

Ἀθανάσιος 279,3,5.

Ἀθλητὴς 97,13.

Αἴγυπτος σελ. 249.

Αἰδοῖον 49,5,19. 50,1.

Αἴθριος 145,4.

Αἷμα σελ. 38. 39,18,19. 87,25. 101,21. 102,27. σελ. 290.

Αἰπόλος 130,17.

Αἱρέσεις. Βλασφημόγλωσσοι — 172,3.

Αἱρετικοὶ 60,9,23. 61,16. 68,10. σελ. 128. 129,11.

Αἰχμαλωσία 164,5,11.

Ἀκάθαρτον σελ. 25.
Ἀκανθόχοιρος 62,27. 63,14.
Ἀκαστορητὴς 196,4.
Ἀκατάληπτον 12,31. 13,8.
Ἀκράτητος 187,23.
Ἀκρέμων 62,22. 63,12.
Ἀκροβυστία 25,34. 26,20.
Ἀκύλας. — ἐπίσκοπος Ἡρακλείας 236,5.
Ἀλβανία. — πόλις Ἀρμενίας 227,10.
Ἀλεξάνδρεια 18,6.
Ἀλέξανδρος. — ὁ Μακεδὼν 220,15.
Ἀλώπηξ σελ. 64.
Ἅλωσις. — Ἱερουσαλὴμ 217,16.
Ἀμαλὴκ 112,5,27.
Ἁμάρτημα 280,32.
Ἁμαρτία 112,11. 156,13,24. 170,7. 280,24.
Ἁμαρτωλὸς σελ. 248.
Ἀμαύρωσις 153,3.
Ἀμβακοὺμ 212,29. 217,15.
Ἀμητὸς 58,11.
Ἀμπλίας. — ἐπίσκοπος Ὀδυσσοῦ 232,28.
Ἀμὼς 211,1. 216,7.
Ἀνάγνωσις. Γραφῶν — 280,27.
Ἀναγνώστης 17,22.
Ἀνάληψις 167,19,24. 168,28. 170,7. 200,6.
Ἀναμάρτητος 259,27.
Ἀνανίας. — ἐπίσκοπος Δαμασκοῦ 231,17.
Ἀνάῤῥυσις 166,9.
Ἀναρχία 215,3.
Ἄναρχος 183,19.
Ἀνάστασις 68,15. σελ. 158. σελ. 162. 168,16. 170,4. 186,14,16. 239,6. 261,5. 284,7. Ἐν τῇ — πρῶτον ἡ κιβωτὸς ἀναστήσεται 207,8. 221,2. Ὅτι πρωΐ ἡ — 260,25.
Ἀναυθὰ 17,9.
Ἀναφαλαντεὺς 14,19.
Ἀνδρέας 14,5. 226,12. 227,4. σελ. 238.
Ἀνδροείκελον 17,12.
Ἀνδρόνικος. — ἐπίσκοπος Παννονίας 232,25.
Ἀνεπίβατος 286,4.
Ἀνθρωποπρεπὲς 282,5.
Ἄνθρωπος. Παλαιὸς — σελ. 43. σελ. 44.
Ἀνθώλωψ 106,4,5.
Ἀνιμᾶσθαι 119,4.
Ἄννα σελ. 174. — χάρις ἑρμηνεύεται 174,8.
Ἄννας 141,21.
Ἀνομία 203,8.
Ἀντίγονος 220,14.
Ἀντίχριστος 267,4.
Ἀπάθεια. — τὸ πάθος Χριστοῦ 256,28.
Ἀπελλῆς. — ἐπίσκοπος Σμύρνης 233,3.
Ἀπολλινάριος 18,4.
Ἀπολλώς. — ἐπίσκοπος Καισαρείας 235,1.
Ἀπολυπραγμόνητον 196,4.
Ἀπόστολοι 14,6. 70,10,24. 92,23. 110,7,32. 111,15. 113,14. 114,3. 231,1. 238,1,2. 254,26. 261,27.
Ἀπόστολος 289,3.
Ἀργύρια. Τριάκοντα — 14,24.
Ἀργύριον σελ. 253.
Ἄρειος. — κακοδοξία 15,13.
Ἀρετὴ 65,27. 66,22. 67,18. 110,17.
Ἀρίσταρχος 236,14.
Ἀριστόβουλος. — ἐπίσκοπος Βρεττανίας 233,6.
Ἀριστοτέλης 135,7.
Ἀρμένιοι 122,4.
Ἀῤῥαβών. — τὸ Πνεῦμα τὸ Ἅγιον 174,27.
Ἀρταξέρξης 68,15. 69,10.
Ἀρτεμᾶς. — ἐπίσκοπος ἐν Λύστρᾳ 235,17.



Ἄρτος 20,18. σελ. 128. 129,12. 161,25. 183,27. 190,9. 290,5. — εὔαπτος 128,28. 129,13.
Ἀρχάγγελοι 29,16. 32,11. 173,23. 281,26.
Ἀρχαὶ 148,9. 173,23. 179,13.
Ἀρχιεπίσκοποι. Αὐτοκέφαλοι — 270,14.
Ἀσκητὴς 96,20. 97,25.
Ἀσπιδοχελὼν 67,25. σελ. 68. σελ. 69.
Ἀστὴρ σελ. 182. 247,16,17.
Ἀστυάγης 214,18.
Ἀσύγκριτος. — ἐπίσκοπος Ὑρκανίας 233,14.
Ἀσυνείκαστος 196,10.
Ἀσώματοι. — τάξεις 148,4.
Ἄφεσις 210,4. — ἁμαρτιῶν 180,5. Ὕδωρ — 249,16.
Ἀφόδευμα 35,10. 36,13. 37,15.
Ἀχαὰβ 216,27.
Ἀχάτης σελ. 120. σελ. 123. Ὁ — ἐπὶ τὸν Ἰωάννην νοεῖται 123,12.
Ἀχίας 203,19. 204,4.

Βαβυλὼν σελ. 210.
Βάθραξ 86,28.
Βαΐα 132,,2. 133,3. 136,8. 137,8,19. 183,22. 185,25.
Βάπτισμα σελ. 198. 249,21. 264,26. 265,9. — μετανοίας 38,28. 39,20. 40,12.
Βαρθολομαῖος 227,7. 238,6.
Βαρνάβας. — ἐπίσκοπος Μεδιολάνων 231,14.
Βασιλεία 198,6. 268,2,3. Οὐρανῶν — 111,2,17.
Βάτραχος σελ. 85. σελ. 86.
Βεθὴλ 17,7.
Βηθλεὲμ 247,4.
Βῆλον σελ. 14. 17,11,17.
Βία 166,8.
Βιβλία 280,22,23.
Βίβλοι. — νομικαὶ 201,23.

Γαβριὴλ 98,19. 152,21. 174,26. σελ. 175. 192,3. 199,26.
Γάϊος. — ἐπίσκοπος Ἐφέσου 233,28. — ὁ ξενοδόχος 226,26.
Γαλῆ σελ. 74. σελ. 75.
Γαστὴρ σελ. 180.
Γεδεὼν 197,14.
Γέεννα 154,23. 198,10.
Γεθσημανὴ 20,6.
Γέννησις 168,3. — ἄφθορος 193,21. — Χριστοῦ 191,14.
Γιεζῆ 205,15.
Γολγοθᾶς 21,1. 146,10.
Γονεῖς σελ. 47. σελ. 48.
Γραμματεῖς 14,24. 19,5.
Γραφαὶ 67,23. 138,4. 280,27,29.
Γυμνὸς 53,17,21. 54,26,29. 56,4.
Γυνὴ σελ. 108.
Γὺψ σελ. 71.

Δαβὶδ 29,14. 150,8,9. 198,3. σελ. 203. 206,12. 219,25,30. σελ. 244. σελ. 245. 280,18.
Δαίμονες 160,20. 171,26. 185,12. 284,10.
Δαίμων 99,1. 115,3. 116,24. 118,9. 120,3.
Δανιὴλ 101,18. 102,23. 112,5,27. 150,2. 162,15. 197,15,16. 198,13. 209,4,28. σελ. 210. 217,25. 222,10,16. σελ. 223.
Δαρεῖος 223,19.
Δεββόρα 198,2.
Δῆλοι 205,7.
Δημᾶς 234,23,27.
Δημιουργὸς 40,6.
Διάβασις 161,3.
Διαβολὴ 91,22.
Διάβολος 44,28. 68,10,23. 69,19. 70,7,21. σελ. 77. 79,11,27. 80,14. 81,2. 82,12. σελ. 87. 88,12.

89,2,18. 90,5,6. 98,27,29. 99,7,31. σελ. 100. 103,24. 104,10. σελ. 124. σελ. 125. 126,18. 127,8. 160,20,22. 161,8. 170,5,8. 171,17. 198,19. σελ. 250. — αἱ σάρκες αὐτοῦ εἰσι πορνεῖαι, φιλαργυρίαι, ἡδοναί, φόνοι 64,8,27. — δόλιός ἐστι 64,6,25. — ἐν τῇ ἀρχῇ εἰς ἣν τῶν ἀρχαγγέλων 124,31. 125,16. — ὁ θέλων μεταλαβεῖν τῶν σαρκῶν αὐτοῦ ἀποθνήσκει 64,7,26. Ἔνεδρα τοῦ — 284,17. Μοιχὸς — 83,1,16.
Διαθῆκαι 121,4. 124,14. 184,32. 185,18. 195,11.
Διαθήκη 160,6. 184,31. Καινὴ καὶ Παλαιὰ — 106,15. Παλαιὰ καὶ Καινὴ — 105,26. 123,16. 124,11. 202,3. Παλαιὰ καὶ Νέα — 107,5.
Διάκονοι. Ἑπτὰ — 202,23.
Διάκρισις 70,16.
Διαμέρισις 21,3.
Διδάγματα. — νεκρὰ 128,26.
Διδυμοτόκον 33,13.
Δίκαιος 90,24.
Δικαιοσύνη 172,8.
Δίψυχος 60,3.
Δόγμα 159,12.
Δόλιος 63,28.
Δορκὰς 113,23,24.
Δόρκων σελ. 113. σελ. 114.
Δουλεία 164,3,16.
Δράκων σελ. 80. σελ. 81. σελ. 87. σελ. 89. σελ. 90. 99,2
Δρέπανον. — τῆς ἐρημώσεως 208,3.
Δρὼψ σελ. 106.
Δυνάμεις 148,9. 154,29,30. Ἀγγελικαὶ — 76,24.

Ἔαρ 96,17. 97,10,23.
Ἑβραῖοι 132,15.
Ἐγκράτεια σελ. 49. 50,4. 54,16. 65,26. 66,21. 67,18. 288,25.
Ἔγκυος. — ὢν Ἁγίου Πνεύματος 73,6.
Ἐζεκίας 198,4. 205,20,25. σελ. 219.
Ἔθνη 201,7.
Ἐθνοκράτωρ 138,31.
Εἰδωλοειδὲς 17,12.
Εἰδωλολατρία 12,30. 13,25,28. 97,19. 98,28. 100,28. 185,8.
Εἴδωλον 11,18. 94,17. 98,2. 159,25. 183,15. 206,29. 207,27. 220,21. 234,28. 279,20.
Εἰκόνες σελ. 11. 12,2. 16,5. — εἰς μνημόσυνον τῶν Ἁγίων 11,19.
Εἰρήνη 65,27. 66,22. 67,18. 183,6. 184,19. 192,1. 194,24.
Ἐκκλησία 11,8. σελ. 134. 158,27. Μία σοι ἔστω κοίτη ἡ τοῦ Θεοῦ — 128,11.
Ἐκτύπωμα 17,13.
Ἔκχυσις. Ἁγίου Πνεύματος — 230,24.
Ἐλάττωμα σελ. 23.
Ἔλαφος σελ. 87. σελ. 89.
Ἐλεημοσύνη 65,27. 190,18.
Ἐλευθερία 156,25. 157,14. 164,3.
Ἐλέφας 115,21,22. σελ. 116. σελ. 117. σελ. 118. σελ. 119. σελ. 120. Ἅγιος καὶ νοερὸς — ὁ Κύριος Ἰησοῦς Χριστὸς 120,16.
Ἐλισάβετ 215,24.
Ἐλισσαῖος 205,3,9. 224,15.
Ἕλληνες 167,4.
Ἐλπὶς 198,5.
Ἐμπερίτομος 26,19.
Ἔμπτυσμα 156,8.
Ἐνανθρώπησις 24,2.
Ἐνέργεια. Διαβολικὴ — 115,4.
Ἐντολαὶ 93,25. 224,7. 281,6.
Ἐνυδρὶς 79,21.
Ἔνυδρος σελ. 79.
Ἐνὼχ 197,1. 200,23.
Ἐξαπτέρυγα 148,1,7. 152,4.



Ἐξομολογεῖσθαι 167,5. 210,3.
Ἐξομολόγησις 88,16.
Ἐξουσίαι 29,17. 32,12. 152,4. 173,23. 179,13.
Ἑορτὴ σελ. 134. 135,15,32. 136,12,15. σελ. 159. 162,24. σελ. 167. σελ. 168. 190,23.
Ἐπαινετός. — ἐπίσκοπος Καρθαγένης 232,23.
Ἐπαρχία σελ. 269. σελ. 272. σελ. 273. σελ. 274. 275,27,30. σελ. 276. σελ. 277. σελ. 278.
Ἐπαφρόδιτος. — ἐπίσκοπος Ἀδριατικῆς 235,8.
Ἐπιθυμία 86,9. 87,7. 98,28.
Ἐπισκοπαὶ 271,18,29. σελ. 272. σελ. 273. σελ. 274. 275,32,34. σελ. 276. σελ. 277. σελ. 278.
Ἐπίσκοπος σελ. 231. σελ. 232. σελ. 233. σελ. 234. σελ. 235. σελ. 236. 271,14.
Ἐπιστολὴ 11,1 κ.ἑξ. σελ. 16.
Ἐπισυναγωγὴ 103,27.
Ἐπιφάνια 20,2.
Ἐπιφάνιος 16,17. 17,30. σελ. 279. 289,3.
Ἔποψ 47,20,23. σελ. 48.
Ἑπτά. — τέλειος ἀριθμὸς 200,15.
Ἔραστος. — ἐπίσκοπος Πανεάδος 234,15.
Ἐρίκη 105,20.
Ἐρικίνη 105,22.
Ἑρμᾶς. — ἐπίσκοπος Φιλίππων 233,20.
Ἑρμῆς. — ἐπίσκοπος Δαλματίας 233,18.
Ἑρμογένης. — ἐπίσκοπος ἐν Μεγάροις 234,21,26.
Ἐρυθρά. — θάλασσα 122,19.
Ἐρωδιὸς σελ. 128. 129,2.
Ἔρως. — γυναικὸς 197,22.
Ἐσθὴρ 68,15. 69,10.
Ἑτερόδοξοι 128,15. — διδασκαλία 57,20. 59,17.
Εὔα 40,24. 116,26. 118,11. 120,5,13. 147,15. 149,8. 151,24. 156,27. 157,30. 158,17.
Εὐδοκία 191,18. 194,22. Ἡ — ἡ ἐν ἀνθρώποις ὁ Παράκλητος τυγχάνει εἷς τῆς Τριάδος 192,2.
Εὐημερία 284,13.
Εὐμορφία. — γυναικὸς 107,25.
Εὐνοῦχος 231,23. — Κανδάκης 237,5.
Εὔοδος. — ἐπίσκοπος Ἀντιοχείας 235,29.
Εὐποιία 163,1.
Εὐσέβιος. Πάμφιλος — 20,28.
Εὐφράτης 105,18. 106,9,26.
Εὐφροσύνη σελ. 191.
Εὐχὴ 103,25. 104,11. σελ. 163. σελ. 279. 284,8.
Εὐωδία 46,25.
Ἔχιδνα σελ. 50. σελ. 51.
Ἐχῖνος σελ. 62.
Ἕως (ἡ) 20,8.

Ζαχαρίας 198,14. 214,9,10. 215,7,24. 218,13.
Ζηλωτὴς 224,7.
Ζηνᾶς. — ἐπίσκοπος Διοσπόλεως 236,3.
Ζοροβάβελ 210,21. 214,16. 218,17.
Ζύμη 199,14.
Ζωγραφεῖν σελ. 14.
Ζωγραφία 15,1.
Ζωὴ σελ. 142. 148,24. 155,32. 157,11. 256,22,25. — αἰώνιος 40,29.

Ἡδονὴ 53,24. 107,14. 108,4. Σύχνα — 55,1.
Ἠλίας 69,8. 101,18. 102,23. 142,10. σελ. 159. σελ. 169. 198,11. 204,22,31. σελ. 211.

216,18,27. 217,3. 223,31. 224,11.
Ἡλιούπολις 45,10,14. 46,8,10. 47,3,5.
Ἡμέρα σελ. 21. σελ. 266.
Ἡνίοχος 279,13.
Ἡρακλῆς. — ἀλεξίκακος 135,6.
Ἡρώδης 20,11. 141,21. 145,20. 150,13. 215,9,29.
Ἡρωδιὰς 215,29.
Ἡρωδίων. — ἐπίσκοπος Πατρῶν 233,10.
Ἡσαΐας 68,14. 69,8. 101,18. 102,23. 173,30. 205,17,27. 206,6,10. 211,2. 219,6,19.

Θαδδαῖος 227,31. 238,8.
Θάμυρις 68,16. 69,10.
Θάνατος 156,22. 157,11. σελ. 168. 183,14. σελ. 186. 187,30. 250,28.
Θαῦμα 91,28. 239,5.
Θέκλα 68,16. 69,10. 112,6,28.
Θέλημα 11,6.
Θεογνωσία 135,2. 169,32.
Θεολόγος 138,15. 185,7. 192,23. Διδάσκαλοι — 159,10.
Θεοπασχῖται 122,4.
Θεὸς σελ. 148. — γέγονεν ἄνθρωπος 244,12. — κέκληται διὰ τὸ αὐτὸν θεωρεῖν τὰ ἔργα ἡμῶν 113,16. — ἐθνοκράτωρ, κοσμοκράτωρ, παντοκράτωρ 138,30. Εἰ πρέπον ἐστὶ — ἔχειν ἡμᾶς ζωγραφητὸν 13,31. Κτίστης τῶν ἁπάντων καὶ δημιουργὸς — 109,6,15. Σταυρωθεὶς — 122,4.
Θεοσημεία 138,7.
Θεοσημεῖον 289,18.
Θεότης 29,15. 30,8. 32,10,33. 36,29. 37,29. 121,28,30. 122,1. 141,6,8. 144,6. 151,8. 170,1,4. 175,19,27. 176,7.
Θεοτόκος 32,23. 121,31. σελ. 173. σελ. 177. — Μαρία 122,24. — ἡ τὴν ἀστραπὴν ἔνδον κοιλιοφόρως βαστάσασα 176,30. Τραπεζοφοροῦσα ἡ — τὸν οὐράνιον ἄρτον Χριστὸν 180,4. Τριάδος νύμφη ὑπάρχει ἡ — 174,24.
Θεοφάνια 168,7.
Θεόφιλος 18,11. 279,19.
Θεωρία σελ. 173.
Θῆλυ. Φεῦγε τὸ — 107,13. 108,3,13.
Θήρεθνον 135,17.
Θηρευτὴς 78,13.
Θλῖψις σελ. 267.
Θρόνοι 29,17. 32,12. 148,7. 152,4. 173,23.
Θρόνος. — χερουβικὸς 157,21. 173,28.
Θρῦλος 140,7.
Θωμᾶς 24,13,14. 147,20. 148,29. 200,4,5. 227,12. 238,7.

Ἰακὼβ 14,4. 149,30. 197,1,4. 200,26.
Ἰάκωβος 14,5. 198,27. 226,18. 227,20,22. σελ. 228. 231,2. σελ. 238. — Ἀλφαίου 238,7.
Ἰάσων. — ἐπίσκοπος Ταρσοῦ 234,7.
Ἰατρός. Τεχνίτης — 126,7,26.
Ἶβις 111,22,23. 112,14,15.
Ἰδέα 12,1.
Ἰεζεκιὴλ 69,8. 101,18. 102,23. 207,21. 208,26. 221,15.
Ἱερεμίας 68,14. 69,8. 101,18. 102,23. 150,3. 162,9. 206,17,23. 220,3. 221,13.
Ἱεροβοὰμ 203,23. σελ. 204.
Ἱεροκῆρυξ. — εὐαγγελιστὴς 135,31.
Ἱεροσόλυμα 20,12.
Ἱερώνυμος 17,28.
Ἱερωσύνη 198,6.
Ἰεσσαὶ 173,31. 174,1. 242,10,20.
Ἰεφθάε 197,14.
Ἰησοῦς 19,13. 24,19. 41,6,24. σελ. 145. σελ. 146. σελ. 147. — Ναυῆ 197,12. 201,2. — ὁ θεόπαις 142,5. Ὁ πάντη πεζοπόρος — 184,26.
Ἱλαρίων 279,29. 280,3.
Ἱλαστήριον 190,7.
Ἱμάτιον σελ. 256. 257,26,27.
Ἰνδία 46,6.
Ἰορδάνης 145,27. 154,19.
Ἰουδαῖοι 251,2.
Ἰούδας 144,25. 19,13,17. 113,18. 228,4. 252,28. 253,13. — Ἰσκαριώτης 238,11.
Ἰουδὶθ 68,15. 69,9. 198,2.
Ἰουλιανὸς 279,10.
Ἰουνίας. — ἐπίσκοπος Ἀπαμείας 236,9.
Ἱπποδρόμιον 169,1,2.
Ἱπποκένταυρος σελ. 59. σελ. 60.
Ἰσαὰκ 14,4. 149,29. 162,7. 197,1. 201,27.
Ἰσημερία σελ. 124. σελ. 125.
Ἰσραὴλ 138,1.
Ἰχνεύμων 80,23,24. σελ. 81.
Ἴχνος σελ. 29. 32,10.
Ἰωακεὶμ σελ. 174. — ἑρμηνεύεται ἑτοιμασία Κυρίου 174,7.
Ἰωὰμ 204,5.
Ἰωάννης 14,6. σελ. 20. 168,10. 199,1. 200,5. 202,22. 226,18,22. σελ. 238. — Δαμασκηνὸς 122,2. — διττὸς πρόδρομος 150,10. — ὁ βαπτιστὴς σελ. 215. — (πάπας) 16,17.
Ἰὼβ 68,13. 197,15.
Ἰωὴλ 211,16. 216,15.
Ἰωνᾶς 112,6. 150,6,9. 199,7. 211,27. σελ. 212. 216,21. 217,2,10.
Ἰωσὴφ 65,10. 66,10. 67,7. 107,23. 142,23,24. 143,22. σελ. 144. σελ. 146. 147,17,30. σελ.148. 149,31. 162,8,12. 189,10. 197,6. — ἐπίσκοπος Ἐλευθεροπόλεως 235,16.
Ἰωσίας 198,4.

Καϊάφας σελ. 20. 141,21.
Κάιν 200,17.
Καῖσαρ, — ἐπίσκοπος Δυῤῥαχίου 235,10.
Κακία 53,15. 54,24. 56,1. σελ. 88.
Κακόγηρος 279,6.
Κακομήχανος 40,17.
Καλιὰ 40,16. 102,19.
Κανὼν 279,23.
Κάρπος. — ἐπίσκοπος Βεῤῥοίας 235,27.
Κάστωρ σελ. 77.
Καταλλαγὴ 149,13.
Καταφθορὰ 166,21.
Καταχθόνιος 21,9.
Κεραμεὺς 23,7.
Κεχαριτωμένη σελ. 175.
Κηδεία 146,22.
Κήρινθος 26,14,22.
Κηφᾶς. — ἐπίσκοπος Κονίας 235,3.
Κιβωτὸς 207,8,17. 220,28,33. — τοῦ νόμου 206,33.
Κλεόπας 200,4. — ἐπίσκοπος Ἱεροσολύμων 232,12.
Κλήμης 20,27. — ἐπίσκοπος Σαρδικῆς 235,19.
Κληρονομία 288,15.
Κνώδαλον 159,25.
Κόγχος 123,6,32. 124,2.
Κοινὸν σελ. 25.
Κόκκινον σελ. 103.
Κόκκος σελ. 56. σελ. 57. σελ. 58. σελ. 59.
Κόκκυξ σελ. 131.
Κολυμβήθρα 185,16.
Κορκόνιλλος σελ. 80.
Κορνήλιος 26,26.
Κορώνη σελ. 82. σελ. 83. σελ. 279.
Κουᾶρτος. — ἐπίσκοπος Βηρυττοῦ 234,31.
Κράτος 154,26.
Κρατοτύραννον 151,11.
Κρέας 73,24.

Κρεωφαγία 25,22.
Κρήσκης 237,3. — ἐπίσκοπος Χαλκηδόνος 232,18.
Κρίσις 265,21.
Κροῖσος 214,17.
Κροκόδειλος σελ. 79.
Κρόνος 135,9.
Κτηνόθυτον 141,29.
Κτίσις 139,16,17. 288,22.
Κτίσμα. Διπλᾶ ἐστι τὰ —, ἐπαινετὰ καὶ ψεκτὰ 36,6. 37,7. 38,8.
Κτίστης. — τῶν ἁπάντων καὶ δημιουργὸς 108,24.
Κύπρος 17,20.
Κύριος σελ. 171. σελ. 242. σελ. 243. σελ. 245.
Κυριότητες 173,23.
Κῦρος 214,16,19. 223,21.
Κώνωψ 129,22.

Λάβαν 200,26.
Λαγνεία 86,10,25. 87,8.
Λάζαρος 133,23,26. 138,7. 147,14. 200,2.
Λάκκος σελ. 150.
Λαοδικεία 12,26.
Λατρεία 289,5.
Λεία 198,3.
Λειτουργία σελ. 285. — τῶν Προηγιασμένων 285,1.
Λέντιον 146,25.
Λέων σελ. 29. σελ. 30. σελ. 31. σελ. 32. 33,3,10.
Ληστὴς 200,2.
Λίθος. — ἰνδικὸς σελ. 126. Εὐτόκιος — σελ. 71. σελ. 72. σελ. 73. Μαγνήτης — σελ. 108. Πυροβόλοι — σελ. 107.
Λιμήν. Εὔδιος — 110,1. 111,1.
Λῖνος. — ἐπίσκοπος Ῥώμης 233,26.
Λιτὴ 150,15.
Λογισμὸς 173,6.
Λόγος 43,30. σελ. 179. 296,26. Προαιώνιος — 138,12.
Λουκᾶς σελ. 230. 236,21.
Λούκιος. — ἐν Λαοδικείᾳ 234,11.
Λουτρόν. — πολιγγενεσίας 87,26. 90,9.
Λύτρον 186,18.
Λυχνία. — παρθενικὴ σελ. 178.

Μαγνήτης. — λίθος σελ. 109.
Μάγοι 181,25. σελ. 182. 194,8. 247,8.
Μαθηταὶ 20,17. Κρυπτοὶ — 144,13.
Μακαρισμοὶ 281,6,8.
Μακροθυμία 65,27. 66,22. 67,18.
Μαλαχίας 214,25. 218,30. 224,10. — ὅ ἐστιν ἄγγελος 219,1.
Μανασσῆς 205,18.
Μανδραγόρας 115,25. 117,15. 119,15. 120,8.
Μάννα 161,24. 197,10.
Μαργαρίτης σελ. 120. σελ. 121. σελ. 122. σελ. 123. σελ. 124. Ὁ — ἐπὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ 123,20. 124,14.
Μαρία 142,17. σελ. 174. σελ. 182. — δαβιτικὴ ὄρπηξ 32,24. — ἑρμηνεύεται κυρία, ἀλλὰ καὶ ἐλπὶς 174,15. — Μαγδαληνὴ 142,18. — σμύρνα θαλάσσης 174,17. Ὑπέραγνος — 122,22.
Μαριὰμ 198,2.
Μᾶρκος 20,22. σελ. 229. 236,21. — ἐπίσκοπος Ἀπολλωνιάδος 235,12. — ἐπίσκοπος Βίβλου 236,11.
Μαρμαρυγὴ 173,2.
Μάρτιος 259,5.
Μάρτυρες 54,1. 55,8. 110,32. 111,15. — ἀνδραγαθία 172,9.
Μαρτύριον 236,18.
Ματθαῖος 19,8. 20,31. 21,5. 227,17. 238,6.
Ματθίας 228,18. 238,11.



Μελχισεδὲκ σελ. 27.
Μελῳδία 59,27. Δαβὶδ — 174,32.
Μετάνοια 23,14. 88,15. 130,5. Βάπτισμα — 38,28. 39,20. 40,12. Πέτρου — 164,8.
Μετάστασις 153,11.
Μετεωρίζεσθαι 16,8.
Μήτρα. — Παρθενικὴ 173,28. Ὅτι ἡ — πύλη 245,28.
Μητραλοίας 50,22. 51,10,25.
Μητρολῷος 52,16.
Μητρόπολις 271,16,26. σελ. 272. σελ. 273. σελ. 274. 275,30,31. σελ. 276. σελ. 277. σελ. 278.
Μητροπολῖται 269,2,8.
Μισοπόνηρος 14,30.
Μιχαὴλ 152,26.
Μιχαίας 211,9. 216,11.
Μνήμη σελ. 173.
Μνησικακεῖν 105,6,10.
Μοιχεία 77,11,26. 98,28.
Μοναχὸς 279,27.
Μονόγαμος 82,21. 83,8,23. 85,14.
Μονόκερως σελ. 75.
Μουσάριον 15,4.
Μουτσούλας Ἠλ. 23, ὑποσημ.
Μυκτὴρ 119,13.
Μυρμηκολέων σελ. 73. σελ. 74.
Μύρμηξ σελ. 56. σελ. 58.
Μυροφόροι 165,2.
Μύσος 17,14.
Μυσταγωγία 289,2,5.
Μυστήριον 26,28. σελ. 187. 287,7.
Μωραΐτης Δ. 285, ὑποσημ.
Μωυσῆς 14,4. 18,10. 68,13. 69,7. 101,17. 102,22. 112,5,26. 142,9. 150,1. σελ. 160. σελ. 161. 162,3. 171,31. σελ. 197. 202,21. 207,6,18. σελ. 221. 222,9.

Ναβουχοδονόσορ 209,11,19. 210,8. 213,2. 222,21.
Ναζωραῖος σελ. 14.
Νάθαν σελ. 203.
Ναοὺμ 212,22. 217,9.
Νάρδος 252,4,6.
Νάρκισσος. — ἐπίσκοπος Ἀθηνῶν 233,8.
Νεολαία 134,17.
Νεομηνία. 159,31.
Νεοσσοποιεῖν σελ. 48.
Νεοσσὸς 39,6.
Νέρων 226,8.
Νηστεία 53,7. 54,16. 55,24. 191,1. 209,9. 288,28.
Νίκαια 15,14.
Νικάνωρ 232,1.
Νικόδημος 144,12,17. 147,30. σελ. 148.
Νικόλαος 232,10.
Νικολόπουλος Π. 189 ὑποσημ. 191, ὑποσημ. 284, ὑποσημ.
Νινευὶ 216,23,26.
Νισὰν (μὴν) 21,21. 45,11. 46,9.
Νομοθεσία 14,32.
Νόμος 57,7. 58,7. 116,34. 118,19. 120,12. 138,4. 161,16. 280,31.
Νόσος σελ. 35. σελ. 36. σελ. 37.
Νοῦς 24,6. 196,26.
Νυκτικόραξ σελ. 41. σελ. 42.
Νύμφη σελ. 174.
Νῶε 149, 23. 198,10.

Ξένος σελ. 145.
Ξιφάξιφος. — θυσία 149,27.

Οἰκονομία 140,21. 141,4. Ἔνσαρκος — 121,28. Ἡ κατὰ σάρκα — 102,1. 103,7.
Ὀλιγότοκον 33,15.
Ὁλόκεντρος 62,28.
Ὀλοφέρνης 68,15. 69,9.
Ὀλυμπᾶς 234,1,5.
Ὁμολογηταὶ 163,16.
Ὁμόνοια 65,27. 66,22. 67,18.
Ὄναγρος σελ. 49. σελ. 124. σελ. 125.

Ὀνησιφόρος. — ἐπίσκοπος Κορωνείας 235,23.
Ὀνοκένταυρος σελ. 61.
Ὄνομα 263, 16.
Ὄντα. Τρεῖς τάξεις τῶν — 198,4.
Ὄξος 255,22,24.
Ὀξύδορκος 114,4,21.
Ὀξύπτερος 103,18. σελ. 104.
Ὀπτασία 203,24. 204,25. — ἀγγέλων 215,14. 218,27.
Ὄρπηξ 32,24.
Ὄσπρια 73,25.
Οὐρανοπολίτης 172,20.
Οὐρανὸς σελ. 169.
Οὐρβανός. — ἐπίσκοπος Μακεδονίας 232,30.
Οὐρήθρα 88,30.
Οὐρίας 203,12.
Οὐσία 282,4.
Ὀφθαλμοί. Ἀμβλυωποῦντες — 36,14. 37,16.
Ὀφθαλμὸς 35,10. — ἀκοίμητος 171,28.
Ὄφις 36,4. 37,5,6. 38,6,7. σελ. 52. σελ. 54. σελ. 55.
Ὀχεύειν 50,17.

**Πά**θη 98,28. σελ. 106.
Παιδεία 166,23. — εἰρήνης 257,2.
Παῖδες. Τρεῖς — 90,18. σελ. 91. 197,16.
Παλιγγενεσία 23,8.
Παμποίκιλος 67,17.
Πανάριον 25,3. 28, ὑποσημ.
Πάνθηρ σελ. 65. σελ. 66. σελ. 67.
Παννυξία 150,18.
Παράβασις 118,13.
Παράδεισος σελ. 157.
Παράκλητος 135,6.
Παρθενία 65,26. 66,21. 67,18. 176,22. 179,22. τό τῆς — μυστήριον τῆς Θεοτόκου 32,26. Ἀγγελόμορφος — 172,8.
Παρθένος σελ. 76. 103,27. 148,28. σελ. 174. σελ. 175. σελ. 176. σελ. 177. σελ. 178. σελ. 179. σελ. 180. σελ. 181. 193,17. 220,22,23. σελ. 245. 246,2. — ἀπόνως ἔτεκεν, οὐχ ὡς πᾶσα γυνὴ 179, 34. — Μαρία 29,18. 32,13. 76,9. — νύμφη Τριάδος 177,6. Τάγμα τῶν — 103,21. 104,7.
Παρμενᾶς 232,7.
Παρουσία. Δευτέρα — 265,11.
Παῤῥησία 163,21.
Πάσχα σελ. 19. 159,33. σελ. 160. 162,1.
Πατέρες 15,9,14.
Πατήρ. — αἰτία πρωταίτιος Υἱοῦ καὶ Ἁγίου Πνεύματος 193,31. — τῶν ὅλων 100,18.
Πάτμος 226,24.
Πάτραι 226,16,17.
Πατραλοίας 50,21. 51,9,24.
Πατριάρχαι 14,5. 197,1.
Πατριάρχης σελ. 269.
Πατρόβας. — ἐπίσκοπος ἐν Ποτιόλοις 233,22.
Πατρολῶος 52,16.
Παῦλος 14,6. 199,10. 228,24,32. 229,1. 231,7. σελ. 232. σελ. 233. σελ. 234. σελ. 235. σελ. 236.
Πειρασμὸς 53,30. 56,10. σελ. 86. 87,7. — καύσων 86,6,21.
Πελεκὰν σελ. 38. σελ. 39. σελ. 40.
Πένθος 186,15.
Πεντηκόνταρχος 211,21.
Πεντηκοστὴ 20,2. 168,26.
Πέρδιξ 69,26,27. σελ. 70.
Περιδέξιον. — δένδρον 98,6. σελ. 99. 100,6,7.
Περίεργος 147,21.
Περιστερὰ σελ. 84. σελ. 98. σελ. 99. σελ. 101. σελ. 102. σελ. 103. σελ. 104. σελ. 105.
Περιτομὴ 26,15,20. 160,5.



Πέτρος 14,5,17. 25,17. σελ. 26. 198,27. 200,5. 227,4. 228,31. σελ. 238. 255,2. Ἡ τοῦ — σκιὰ ἐδίωκε τὸν θάνατον 98,23. 99,27. 100,23.
Πηγὴ σελ. 43. σελ. 44.
Πηγματιστὴς σελ. 101. 102,14,17.
Πίθηκος σελ. 125.
Πιλᾶτος σελ. 20. 141,11,21. 143,22. 146,8,9. σελ. 144.
Πῖνα σελ. 121. σελ. 122.
Πίστις 15,16. 57,21. 59,17. 65,27. 66,21. 67,18. 163,14. 166,27. σελ. 196. 198,5. — Ὀρθόδοξος — 58,19. Τριπόθητος — 181,2.
Πλάτων 135,5.
Πλεονεξία 98,29.
Πλευρὰ 258,6. — Κυρίου Ἰησοῦ Χριστοῦ 129,30.
Πληρότης 168,25.
Πνεῦμα σελ. 192. 196,26. — Ἅγιον 25,9. 101,4. 121,4. 123,19. 170,3. 183,19. 261,27. — ἀκάθαρτον 291,5. Πονηρὸν — 62,20. 63,9,22.
Ποιητὴς 172,18.
Πολυθεΐα 169,31.
Πολύκαρπος 233,5.
Πολυόμματα 148,8. 152,5.
Πολυσαρκία 119,11.
Πόρθησις 213,18.
Πορνεία 77,11,26. 98,28. 171,17. 210,32.
Πούδης 236,15.
Πραιτώριον 20,15,20.
Πρεσβύτερος 17,21.
Πρίσκας. — ἐπίσκοπος Κολοφῶνος 236,7.
Πρίων 109,18,19. σελ. 110. 111,7,8.
Προαίρεσις 171,28.
Πρόβλημα. — καὶ Πνεῦμα 192,11.
Πρόνοια 288,23.
Προσευχὴ 208,7,13. 221,31.
Πρόστιμον 14,32.
Πρόσωπον σελ. 243.
Προτείχισμα 261,8,11.
Προφῆται 14,5. 50,26. 51,29. 52,19. 68,14. 69,9. 70,10,24. 101,19. 102,24. σελ. 113. 114,2. 117,2. 118,21. 120,14. 123,15. 138,3. 150,15. 225,1.
Προφητεία 198,6.
Προφήτης 185,4. σελ. 205. σελ. 208. 289,4.
Προφήτιδες 225,1,25.
Πρόχωρος. — ἐπίσκοπος Νικομηδείας 231,25.
Πρωτόθνητος 149,21.
Πρωτόκτιστος 155,10.
Πρωτόπλαστος 40,26. 149,5,20. 155,10.
Πτολεμαῖος 220,15,24.
Πύλη σελ. 148.
Πῶλος 136,4,18. 137,5,10. σελ. 185.

**Ῥα**άβ. — ἡ πόρνη 101,24. 102,30.
Ῥαγὰς 33,27. 34,12,25. 53,2. 54,11. 55,19.
Ῥάπισμα 156,10.
Ῥαχὴλ 200,26.
Ῥεβέκκα 198,3.
Ῥεμβασμὸς 16,8.
Ῥοῦφος. — ἐπίσκοπος Θηβῶν 233,12.
Ῥωδίων 234,4.

**Σά**ββατον 202,28. — ἀσιτεῖν ἄχρις ἐνάτης ὥρας, μεθ' ἣν ἀπονηστίζεσθαι 15,24.
Σαλαμάνδρα σελ. 90. σελ. 91. 93,6.
Σαμαρεῖτις 200,1.
Σαμουὴλ 101,18. 102,23. 197,11.
Σαμψὼν 107,15,23. 140,15. 197,14. 201,10.
Σάῤῥα 197,3. 198,2. 207,30. 221,21.
Σατάν. Πνεῦμα — 209,23.

Σατανᾶς 17,1.
Σαύρα 33,22,23. σελ. 34.
Σειρὴν σελ. 59. σελ. 60. σελ. 61.
Σεμνότης 23,17,18.
Σέραπις σελ. 279.
Σεραφὶμ 139,11. 148,6. 173,24. 175,11,33. 177,31. 180,26. 181,5.
Σὴθ 197,1.
Σημεῖον 267,24,25.
Σημείωσις σελ. 264.
Σιγὴ σελ. 139.
Σίλας. — ἐν Κορίνθῳ ἐπίσκοπος 232,16.
Σίμων 25,3. — ἐπίσκοπος Βόστρων 232,5. — Κανανίτης 238,10. — ὁ ἐπικληθεὶς Ἰούδας 228,10. — ὁ ζηλωτὴς 227,28. — ὁ Καναναῖος 228,14. — Πέτρος 226,4.
Σκήνωσις 129,3.
Σκληραγωγία 88,14.
Σολομὼν 107,23. 150,9. 203,22,25. 206,11. 219,24,30.
Σουσάννα (Βλ. καὶ Σωσάννα) 69,10. 112,27.
Σοφονίας 213,29. 218,5.
Σπάργανον 142,20,21.
Σπαρτίον 101,26.
Σταυρὸς 40,28. 98,31. 151,18. 154,20. 155,21. 156,26. 166,26. 170,19,23. 180,19. 183,13. 184,27. 187,17. 189,21. 194,30. 202,14. Σημεῖον τοῦ — 112,1,21. Τύπος τοῦ — σελ. 112.
Σταφυλὴ 255,19.
Στάχυς. — ἐπίσκοπος Βυζαντίου 232,32.
Στέφανος 231,19.
Συγκτίστης 239,23.
Συκάμινος σελ. 129. σελ. 130.
Σύλληψις 193,24. — ἄσπορος 193,21.
Σύμβολον 15,21.
Συμεὼν 143,21. 189,1,24. 190,16,20. 215,17. — ἐξάδελφος Κυρίου 228,5.
Συναγωγὴ 132,14.
Συναΐδιος. — Υἱὸς τῷ Πατρὶ 289,9.
Σύνοδος. Οἰκουμενικὴ — 15,13.
Συνουσία 117,12. 118,14. Πρὸ τῆς παραβάσεως οἱ πρωτόπλαστοι — οὐκ ᾔδεισαν 120,6.
Συντέλεια 198,11. 207,16. 209,1. — τοῦ ναοῦ 213,17.
Σωσάννα (Βλ. καὶ Σουσάννα) 68,15.
Σωσθένης. — ἐπίσκοπος Κολοφονιάδος 235,6.
Σωσίπατρος. — ἐπίσκοπος Ἰκονίου 234,9.
Σωτήρ. — ἅπαξ ἐκυοφορήθη, ἅπαξ ἐγεννήθη, ἅπαξ ἐσταυρώθη, ἅπαξ ἐτάφη, ἅπαξ ἀνέστη 97,4.
Σωτηρία 21,9. 38,27. 132,12. Ἐθνῶν — 26,30.
Σωφροσύνη 172,7.

**Τ**άγματα. Μεταρσίων — 148, 10. Οὐράνια — 152,5.
Ταπροβάνη 237,6.
Τάρταροι 139,13.
Ταφὴ 139,20.
Τάφος 143,17,18.
Τέρτιος. — ἐπίσκοπος Ἰκονίου 234,13.
Τεσσαρακοστὴ 15,24.
Τιμόθεος 236,24,25. — ἐπίσκοπος Ἐφέσου 231,7. 236,24.
Τίτος. — ἐπίσκοπος Κρήτης 231,11. 236,29.
Τόκος σελ. 193.
Τραϊανὸς 226,23,27.
Τριὰς σελ. 196. 283,1. Ἀριθμὸς τῆς — 196,21.
Τροπὴ 189,11.
Τρόφιμος 236,16.
Τρυγὼν σελ. 83. σελ. 84. σελ. 85.



Τυχικός. — ἐπίσκοπος Χαλκηδόνος 235,25.

**Ὕ**αινα σελ. 78.
Ὑδρωπικὸς σελ. 126. σελ. 127.
Ὕδρωψ 105,13,14.
Ὕδωρ 38,26,28. 39,20. 87,25.
Υἱοθεσία 41,8. 42,13.
Υἱὸς 239,9. — ὁμοούσιος Πατρὸς καὶ Ἁγόυ Πνεύματος 178,12.
Ὕλλος 79,21. 80,8.
Ὕμνος σελ.138.
Ὑμνῳδία 104,11.
Ὑπαπαντὴ 189,2.
Ὑποκάμπτριον 91,11.
Ὑπόστασις 196,13.
Ὑπουργὸς 141,10. 148,1. 193,28.

**Φ**αλακρὸς 14,20.
Φαμενὼθ (μήν) 21,17,21. 45,12. 46,9.
Φαντασία 284,10.
Φαρισαῖοι 14,24. 19,5. 50,24. 51,26.
Φαρμουθί (μήν) 21,22. 45,12. 46,10.
Φιλανθρωπία 26,28. 151,3. 163,23. 166,8,24. 167,8. 172,19.
Φιλαργυρία 77,26.
Φιληδονία 209,16.
Φιλήμων. — ἐπίσκοπος Γάζης 236,1.
Φίλιππος 25,5,8. 227,3. 231,22. 238,6.
Φιλόλογος. — ἐπίσκοπος Σινώπης 233,30.
Φιλότεχνος 38,13. 39,5.
Φινεὲς 197,12.
Φλέγων. – ἐπίσκοπος Μαραθῶνος 233,16.
Φλυαρία 167,31.
Φόβος. — Χριστοῦ 88,22.
Φοῖνιξ σελ. 45. σελ. 46. 47,1,14.
Φοιτητὴς 224,15.
Φόνος 77, 12.
Φραγγέλωσις 156,12.
Φρύαγμα 140,7.
Φύγελος 234,18,26.
Φυσιολόγος 30,28. 32,3. 35,8. 36,12. 37,9. 39,22. 41,4. 42,24. 43,20. 44,13. 45,30. 47,1. 48,3. σελ. 49. 50,8. 51,16. 52,8. σελ. 53. 56,17. 61,4. σελ. 62. σελ. 66. σελ. 71. σελ. 78. σελ. 82. σελ. 84. σελ. 92. σελ. 101.
Φῶς σελ. 177. σελ. 178.
Φωτισμὸς 288,14.

**Χ**αλδαῖοι 213,14.
Χάλεβ 197,12.
Χαρὰ 104,26. 105,11. 168,32.
Χαραδριὸς σελ. 35. σελ. 36. σελ. 37. 38,4.
Χάρισμα 236,28.
Χειμὼν 57,2. 96,17,20. σελ. 97.
Χειροθεσία 25,7.
Χειροποίητον 11,11.
Χελιδὼν σελ. 96. σελ. 97.
Χερουβὶμ 139,10. 146,23. 147,30. σελ. 148. 173,24. 175,11,33. 180,29. 190,6. 196,24.
Χιτών. Δερμάτινος — 157,9.
Χολὴ 255,22,24.
Χρηματισμὸς 204,28.
Χρησμὸς 206,9. 218,27. 224,5.
Χρηστολογία 68,10.
Χριστιανοὶ 166,4. 167,6. 264,8.
Χριστὸς σελ. 137. σελ. 138. σελ. 140. σελ. 141. σελ. 143. σελ. 158. σελ. 182. — μὴ ἀρνούμενοι 53,32. 56,11. — νοερὸς λέων 29,13. 31,6. — ὁ νέος Ἀδὰμ 117,5. Εὐτόκιος λίθος ὁ — 71,20. 72,17. 73,12. Παμποίκιλός ἐστιν ὁ — 65,26. 66,20, 67,17.

**Ψ**αλμῳδία 103,25.

Ψαλμῳδὸς 41,3.
Ψευδοδιδασκαλία 60,27.
Ψευδόχριστος 60,30.
Ψυχή σελ. 261. — ἔννους ἀνθρώπου 289,12.

Ὥρα σελ. 21.
Ὠριγένης 18,3,12. 20,28.
Ὠσηὲ 210,27. 216,3.

Corderius B. 24, ὑποσημ.
Cramer J.A. 23, ὑποσημ. 24, ὑποσημ. 27 ὑποσημ.

Devreesse R. 23, ὑποσημ.
Diekamp Fr. 282, ὑποσημ. 283, ὑποσημ.

Garitte G. 289, ὑποσημ.
Gelzer H. 269, ὑποσημ.

Hilberg J. 17, ὑποσημ.
Holl K. 16, ὑποσημ. 19, ὑποσημ. 28, ὑποσημ.

Lebon J. 21, ὑποσημ.

Maas P. 16, ὑποσημ.
Migne J.-P. 132, ὑποσημ. 139, ὑποσημ. 158, ὑποσημ. 167, ὑποσημ. 173, ὑποσημ. 183, ὑποσημ. 196, ὑποσημ. 279, ὑποσημ. 291, ὑποσημ.
Morcelli S.A. 239, ὑποσημ.

Nautin P. 186, ὑποσημ.

Offermans D. 29, ὑποσημ.
Ostrogorski G. 11, ὑποσημ. 16, ὑποσημ.

Possinus P. 24, ὑποσημ.

Sbordone F. 29, ὑποσημ.
Schermann Th. 203, ὑποσημ.216, ὑποσημ. 225, ὑποσημ. 226, ὑποσημ. 231, ὑποσημ. 238, ὑποσημ.

Εἰς τὸν καταρτισμὸν τοῦ πίνακος τὰ φιλοσοφικὰ λήμματα ἐπελέγησαν ὑπὸ τοῦ κ. Παναγιώτου Γ. Νικολοπούλου, Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν. Ἡ ἁγιογραφικὴ καὶ ἡ καθόλου ἐνημέρωσις τοῦ τόμου ἐγένετο ὑπὸ τῆς Γεωργίας Κουνάβη, θεολόγου.

Σημειωτέον ὅτι οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J. - P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.